10. De hac legatione statim post mortem regis ad Antiochum missa in antecedentibus sermonem fuisse etiam ex superstitibus Excerptis eorumque serie colligitur. Vide lib. XV, 20 (Exc. Antiq.). Ad Philippi consilia, a Polybio severe castigata, referendum quoque est Exc. Vatican. (XV, 24), ubi nostro loco respondent hæc: Ἐπεὶ πάσας καθ' ἕκαστον ἔτος τὰς κατάλληλα πράξεις γενομένας κατὰ τὴν οἰκουμένην ἐξηγούμεθα, δῆλον ὅτι ἀναγκαῖόν ἐστι καὶ τὸ τέλος ἐπ' ἐνίων πρότερον ἐκφέρειν τῆς ἀρχῆς κτλ. — 11. Quæ sequuntur, inde ab Ἀγαθοκλῆς usque ad καὶ ταύτῃ προσανέχοντες, leguntur etiam in editis (libro XV, 25, 3—8), sed multo plenius. Etenim ea omnia quæ uncis inclusi, in nostro codice desunt. — 12. ἔχοντες καὶ] hæc duo vocabula in editis desunt; absque damno. — 13. καὶ] particulam huc transposui ex seqq., ubi codex præbet: ἔχθραν καὶ τάς τε δυνάμεις. — * ἥξειν] cod. ἕξειν.

ὑπάρχειν Ἀγαθοκλέους πρὸς πᾶν ἔτι μᾶλλον (14), πυνθανόμενος δὲ καὶ τὰς ὑφ' ἑαυτὸν ταττομένας δυνάμεις καὶ τὰς κατὰ τὴν Ἀλεξάνδρειαν ἐπ' ἐκείνῳ τὰς ἐλπίδας ἔχειν τοῦ καταλύειν τὴν Ἀγαθοκλέους ὕβριν. Οὔσης δὲ περὶ αὐτὸν οἵας εἴρηκα διαλήψεως, ταχέως τὰ τῆς διαφορᾶς αὔξησιν ἔλαβε, συνεργούντων ἀμφοτέρων πρὸς τὴν τοιαύτην ὑπόθεσιν. Ὁ μὲν γὰρ Τληπόλεμος ἐξιδιάζεσθαι σπεύδων τοὺς ἡγεμόνας καὶ ταξιάρχας καὶ τοὺς ἐπὶ τούτων (15) ταττομένους, συνῆγε πότους ἐπιμελῶς, καὶ παρὰ τὰς συνουσίας τὰ μὲν ὑπὸ τῶν πρὸς χάριν λεγόντων ἐκκηλούμενος (16), τὰ δὲ ὑπὸ τῆς ἰδίας ὁρμῆς, ἅτε νέος ὢν καὶ παρὰ τὸν οἶνον γενομένης τῆς ὁμιλίας, ἐρρίπτει λόγους κατὰ τῆς συγγενείας τῆς τῶν περὶ τὸν Ἀγαθοκλέα, τὰς μὲν ἀρχὰς αἰνιγματώδεις, εἶτ' ἀμφιβόλους, τὸ δὲ τελευταῖον ἐκφανεῖς καὶ τὴν πικροτάτην ἔχοντας λοιδορίαν· ἐπεχεῖτο (17) γὰρ τοῦ θρανογράφου καὶ τῆς καλλωπιστρίας (18) καὶ τῆς κουρίδος, ἔτι δὲ τοῦ παιδαρίου τοῦ πάντα πεποιηκότος καὶ πεπονθότος παρὰ τοὺς πότους, ὅτε ᾠνοχόει τῷ (*) βασιλεῖ παῖς ὤν. Ἐπὶ δὲ τούτοις ἀεὶ τῶν συμπαρόντων γελώντων, καὶ συμβαλλομένων τι πρὸς τὸν χλευασμὸν, ταχέως εἰς τοὺς περὶ τὸν Ἀγαθοκλέα τὸ πρᾶγμα παρεγενήθη. Γενομένης δ' ἔχθρας ὁμολογουμένης, εὐθέως ὁ Ἀγαθοκλῆς διαβολὴν εἰσῆγε κατὰ τοῦ Τληπολέμου, φάσκων αὐτὸν ἀλλοτριάζειν τοῦ βασιλέως καὶ καλεῖν Ἀντίοχον ἐπὶ τὰ πράγματα· καὶ πολλὰς εἰς τοῦτο τὸ μέρος ηὐπόρει πιθανότητας, τὰς μὲν ἐκ τῶν συμβαινόντων παρεκδεχόμενος καὶ διαστρέφων, τὰς δὲ ἐκ καταβολῆς πλάττων καὶ διασκευάζων. Ταῦτα δ' ἐποίει βουλόμενος τὰ πλήθη παροξύνειν κατὰ τοῦ Τληπολέμου· συνέβαινε δὲ τοὐναντίον. Πάλαι γὰρ ἐπὶ τῷ προειρημένῳ τὰς ἐλπίδας ἔχοντες οἱ πολλοὶ καὶ λίαν ἡδέως ἑώρων ἐκκαιομένην τὴν διαφοράν. Ἐγένετο δ' ἡ καταρχὴ τοῦ περὶ τὰ πλήθη κινήματος (19) διά τινας τοιαύτας αἰτίας. Νίκων (20) ὁ συγγενὴς τῶν περὶ τὸν Ἀγαθοκλέα, ζῶντος ἔτι τοῦ βασιλέως καθεστάμενος ἦν ἐπὶ τοῦ ναυτικοῦ, τότε δὲ τῶν ***.

neum censebat, tum vero comperiebat et quibus ipse præesset, et qui Alexandriæ degerent milites in ipso spes de compescenda Agathoclis insolentia repositas habere. Talia quum agitaret consilia, mox in majus auctum dissidium est, sua utroque ad hoc contribuente. Nam Tlepolemus duces, centuriones ceterosque ordinum præfectos conciliare sibi studens ad compotationes sedulo convocabat, et inter confabulationes partim ab assentatoribus excitatus partim suo ingenio indulgens (quippe juvenilis adhuc ætatis erat et ad pocula sermones nectebantur), dicteria jaciebat in familiam Agathoclis primum obscuriora, mox ambigua, tandem aperta et acerbissimi plena convicii. Sic pocula implebat ebibebatque in honorem pictoris parietum et mulieris comtricis et tonstricis, porro in honorem pueri, qui regis in compotationibus pincerna nihil non fecerit fierique sibi passus sit. Hæc quum risu convivæ exciperent et de suo aliquid cavillationi adjicerent, cito ad Agathoclem res pervenit. Quoniam igitur in confesso simultas erat, statim Agathocles calumniari Tlepolemum cœpit, dictitans eum a rege alienum esse et Antiochum ad regnum arcessere. Ac multa ad persuadendum argumenta in promptu habebat, quæ vel ex iis quæ revera accidebant detorquendo eruebat, vel a fundamento ipse confingebat adornabatque. Consilium vero erat, ut sic multitudinem contra Tlepolemum exacerbaret: at contrarium prorsus evenit. Nam vulgus, quod jam dudum in Tlepolemo spes collocaverat, lubenter admodum exardescentem istam simultatem spectabat. Initium vero motus populi factum est ob causas hujusmodi. Nico, affinis Agathoclis, rege superstite, classi præfectus fuerat, tunc vero ***.

---

14. ἔτι μᾶλλον] Sic codex. Quæ si sana sunt, scribe πρὸς πᾶν, ἔτι μᾶλλον δὲ πυνθανόμενος κτλ. Attamen corrupta potius esse mihi videntur, reponendumque: πρὸς πᾶν ὅ τι μέλλον. — 15. ἐπὶ τούτων] scribendum potius ἐπὶ τούτοις, *eos qui post taxiarchas locum obtinent*, ἑκατοντάρχας etc. — 16. ἐκκηλ.] ἐκηλ. codex. Ceterum dubites an non fuerit ἐκκινούμενος, vox bene nota. Contra verbum ἐκκηλέω nusquam, quantum scio, occurrit, nisi quod apud Hesychium: ἐξεκελέμησεν, ἐξηύλησεν, ἔθελξεν, Casaubonus reponi vult ἐξεκήλησεν. — 17. ἐπεχεῖτο] dictum est, ut ἐπιχεομένους τοῦ Δημητρίου ap. Phylarchum in Athen. Deipnos. VI, p. 261, B, pro quibus Plutarchus in Demetr. 25: ἐπιχύσεις λαμβάνοντας Δημητρίου. De voce θρανογράφος hucusque ex uno constabat Hesychio, qui θρανογράφους esse dicit τοὺς εὐπρεπεῖς τοιχογράφους. Proprie sunt pictores qui coloribus ornant τοὺς θράνους, i. e. sec. Pollucem X, 49, τὰ ξύλα τὰ κατακλείοντα τοὺς πλινθίνους τοίχους. — 18. καλλωπιστρίας] sic scripsi pro cod. ἀμμουνκιστρίας, quamquam non defore spero, qui nescio quam Ammonis ministram expiscandam esse putent. — * ᾠνοχόει τῷ] codex ᾠνοχοεῖτο — 19. κινήματος] νικήματος codex. — 20. Νίκων] Exstat hujus Niconis mentio in editis (XV, 33, 7), ubi una cum matre Agathoclis et sororibus reliquisque cognatis a plebe trucidatus esse dicitur.

ΕΚ ΤΗΣ ΙΣΤΟΡΙΑΣ

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

[ΕΚ ΒΙΒΛ. ΙΒ΄.]

Ὅτι λιμοῦ κατὰ τὴν Ῥώμην γενομένου ἰσχυροῦ, ἀνήρ τις οἴκου τε οὐκ ἀφανοῦς καὶ χρήμασιν ἐν τοῖς μάλιστα δυνατὸς, Σπόριος Μάλλιος (1), εὐδαίμων ἐπίκλησιν ἐπὶ τῆς πολλῆς εὐπορίας, νεωστὶ μὲν παρειληφὼς τὸν οἶκον τοῦ πατρὸς, ἡλικίαν δὲ (1*) καὶ τάξιν ἔχων ἱππικὴν, οἷα μήτε ἀρχὰς παραλαμβάνειν μήτε ἄλλην κοινὴν ἐπιμέλειαν μηδεμίαν, λαμπρὸς εἴ καί τις ἄλλος τὰ πολεμικὰ (2), καὶ πολλοῖς κεκοσμημένος ἀριστείοις, κράτιστον ὑπολαβὼν καιρὸν ἐπιθέσει τυραννίδος, ἐπὶ δημαγωγίαν τοῦ πλήθους ἐτράπετο, τὴν ῥᾳστώνην τῶν ἐπὶ τυραννίδα φερουσῶν ὁδῶν. Ἔχων δὲ πολλοὺς ἑταίρους καὶ πελάτας, ἄλλους ἄλλῃ διέπεμψε, χρήματα δοὺς ἐκ τῶν ἰδίων ἐς συναγυρμοὺς (3) τροφῆς· καὶ αὐτὸς εἰς Τυρρηνίαν (4) ᾤχετο. Ἐν βραχεῖ δὲ χρόνῳ δι' ἑαυτοῦ τε καὶ τῶν ἑταίρων πολλὴν καταχομίσας ἀγορὰν, διεμέτρει (5) τοῖς πολίταις, ἀντὶ δώδεκα δραχμῶν διδράχμου ἀπομετρῶν τὸν μόδιον· ὅσους δὲ αἴσθοιτο παντάπασιν ἀδυνάτους καὶ μηδ' (6) ὑπὲρ τῆς ἐφημέρου τροφῆς ἔχοντας προέσθαι τὸ διάφορον ἄνευ τιμῆς χαριζόμενος. Ταύτῃ τῇ φιλανθρωπίᾳ τὸν δῆμον ἀναλαβὼν καὶ θαυμαστὴν ὅσην δόξαν ἀπενεγκάμενος ᾤχετο πάλιν ἐμπορευσόμενος ἑτέρας ἀγορᾶς· καὶ παρῆν οὐ διὰ μακροῦ ποταμηγοὺς (7) ἄγων σκάφας πολλὰς πάνυ μετὰ τροφῆς· καὶ τὸν αὐτὸν τρόπον τοῖς [πολίταις] ἐμέτρει. Οἱ δὲ πατρίκιοι ταῦτα πράττοντα ὁρῶντες αὐτὸν ὑποψίας τε ἐλάμβανον τῆς ἄγαν φιλοτιμίας τοῦ ἀνδρὸς, οὐδὲν ἀγαθοῦ ἀπολαύσειν οἰόμενοι, καὶ συνιστάμενοι κατὰ τὴν ἀγορὰν ἐσκόπουν ὅντινα χρὴ τρόπον εὐπρεπέστερον ἄνευ κινδύνου παῦσαι τούτων αὐτὸν τῶν πολιτευμάτων, κρύφα μὲν τὸ πρῶτον καὶ κατ' ὀλίγους συνιόντες καὶ διαλεγόμενοι πρὸς ἀλλήλους, ἔπειτα καὶ ἐκ τοῦ φανεροῦ καταβοῶντες, ἐπειδὴ βαρύς τε (8) καὶ ἀφόρητος ἦν, ἔργῳ τε πράττων ὑπερηφανίας

[E LIBRO XII.]

Fame per urbem sæviente, vir generis haud obscuri et opibus quam maxime pollens, Spurius Mælius, cui Felicis cognomentum ob bonorum abundantiam, nuper hereditate paterna potitus, in ætatis flore constitutus, ordini equestri adscriptus, neque magistratu neque alio quovis munere publico unquam functus, ceterum si quis alius re bellica clarus multisque virtutis præmiis ornatus : is igitur, egregiam tyrannidis affectandæ occasionem sese nactum ratus, gratiam et auctoritatem popularem captare cœpit : quæ quidem via omnium facillime ad tyrannidem ducere solet. Itaque quum multos familiares et clientes haberet, alios dimisit, qui pecunia ejus privata frumentum coemerent; eodemque ipse consilio in Etruriam profectus est. Et quum brevi magnam annonæ copiam tum sua tum sodalium opera in urbem convexisset, inter cives eam dimetiebatur, pretio modii a duodecim drachmis ad duas reducto; quotquot vero prorsus egenos noverat et qui ne quotidiani quidem victus impensam facere possent, iis sine pretio gratificabatur. Qua humanitate postquam populi favorem sibi conciliaverat et mirum quantam nominis celebritatem nactus erat, denuo ad annonam quærendam profectus est, nec multo post rediit naves fluviatiles ducens multo refertas frumento, quod sicuti antea civibus dimetiebatur. Hæc videntes patricii nimiam viri ambitionem suspectabant, nec boni quidquam inde sibi evasurum augurabantur. Et coeuntes in foro dispiciebant num qua ratione speciosa absque periculo avertere Spurium a cœptis istis possent. Congressus illi primum clandestini erant et paucorum inter se colloquia, deinde vero etiam ex aperto agere et clamoribus Spurium accusare : nimirum molestus admodum et plane intolerabilis evaserat, tum

---

I. *Fol.* 186, 1 *r.* — 193, 8 *r.* Quæ hoc loco de Sp. Mælio narrantur, Titus Livius exponit lib. IV, c. 16 sqq.; succinctius de iisdem e Dionis Cassii libris deperditis agit Zonaras VII, 20; paucis rem tangunt complures, ut Cicero De rep. II, 27. 29; Cato 16, 56; Pro Milon. 27, 72; in Catilin. I, 1, 4; Philipp. II, 44, 114; Læl. 11, 36. Florus I, 26, 7, alii. Cf. etiam de Æquimelio Cicero De divin. II, 17; Pro domo 38, 101; Valerius Max. VI, 3, 1. Dionysius eandem quam Livius narrationem sequitur, verum multo fusius rem tradit, et præter narrationem, quæ ipsi videbatur verisimillima esse, aliam subjungit ex probatissimis auctoribus, L. Cincio Alimento et Calpurnio Pisone, repetitam. Quam si nosset Niebuhrius (*Ræm. Gesch.* II, p. 470 sqq.), multo etiam confidentius memoriam Sp. Mælii ab affectatæ tyrannidis crimine purgare, ac patriciorum potius odio virum oppressum dicere sustinuisset. — Fragmentum nostrum e libro XII depromptum esse non est cur pluribus ostendam.

1. Μάλλιος] codex modo Μάλλιος modo Μάλιος. Eodem modo codices Zonaræ. — 1*. δὲ] τε codex. — 2. πολεμικὰ] codex πολέμια, quod etsi excerptor pro πολεμικὰ usurpare potuit, a Dionysio tamen alienum est. Deinde codex καὶ κοσμένης pro κεκοσμένης. — 3. ἐς συναγ.] ἐκσυναγυρμοὺς codex. — 4. Τυρρηνίαν] τυραννίαν codex. — 5. διεμέτρει] διεμέρει codex. — 6. μηδ'] μήδ' codex. — 7. ποταμηγοὺς] ποταμιγοὺς codex. Mox inserui v. πολίταις. — 8. τε] ἔτι codex. Fort. erat βαρύτε-

μεστὰ, καὶ λόγους διεξιὼν αὐθάδεις ὑπὲρ ἑαυτοῦ· ὅς γε πρῶτον μὲν καθεζόμενος ἐπὶ βήματος περιφανοῦς, ὥσπερ ἔθος ἐστὶν τοῖς τὰς ἀρχὰς ἔχουσιν, ἐχρημάτιζε τοῖς προσιοῦσιν δι' ἡμέρας περὶ τὴν σιτοδοσίαν, ἐκβαλὼν τῆς τιμῆς ταύτης τὸν ἀποδειχθέντα ὕπαρχον ὑπὸ τῆς βουλῆς· ἔπειτα [δὲ] συνεχεῖς ποιούμενος ἐκκλησίας, οὐκ ὂν ἐν ἔθει Ῥωμαίοις ἰδιώτην ἐκκλησίαν συναγαγεῖν, πολλὰ μὲν τοῦ Μινυκίου κατηγόρει πρὸς τὸν δῆμον, ὡς ὄνομα φέροντος ἀρχῆς μόνον, ἔργον δὲ οὐδὲν ἀποδειξαμένου τοῖς πένησιν ὠφέλιμον· πολλὰ δὲ τοὺς πατρικίους διέβαλλε πρὸς τὸν δῆμον, ὡς ταῦτα πράττοντας (9) ἐξ ὧν ὀλίγος τε καὶ οὐδενὸς ἄξιος ὁ δῆμος ἔσται, καὶ οὐδὲ ἐπὶ σιτοδείᾳ φροντίδα τῶν ἀπόρων ἔχοντας οὐδεμίαν οὔτε κοινῇ πάντας οὔτε ἰδίᾳ τοὺς δυνατοὺς, πάντων (10) μάλιστα δέον αὐτοὺς χρήμασί τε καὶ σώμασιν, ὥσπερ αὐτὸς δὴ, κακοπαθεῖν, καὶ πάντοθεν ἐπεισάγειν τῇ πόλει τὰς ἀγοράς· ἠξίου τε πρὸς τὰ τῶν ἄλλων ἔργα πατρικίων τὰ ὑφ' ἑαυτοῦ πραττόμενα ἐξετάζειν, ὡς πολὺ καὶ τὸ πᾶν ἀλλήλων διαφέροντα. (11) Ἐκείνους μὲν γὰρ οὐδὲν ἐκ τῶν ἰδίων εἰς τὸ κοινὸν ἀναλίσκοντας ἔτι καὶ τὴν δημοσίαν γῆν σφετερισαμένους πολὺν (12) ἤδη καρποῦσθαι χρόνον, ἑαυτὸν δὲ τῶν δημοσίων οὐδὲν ἔχοντα ἔτι καὶ τὴν πατρῴαν καταχορηγεῖν οὐσίαν εἰς βοήθειαν τῶν ἀπόρων· καὶ ἐπειδὰν τὰ ὄντα καταναλώσῃ, δανείσματα ποιεῖσθαι παρὰ φίλων, οὐδὲν (13) ἀντικαταλλαττόμενον τῆς τοσαύτης φιλοτιμίας ὅτι μὴ τὴν πολιτικὴν εὔνοιαν, ἧς οὐδὲ τὸν ἐξ ἀνθρώπων πλοῦτον ἡγεῖσθαι τιμιώτερον. Οἱ δὲ περὶ αὐτὸν συνεστῶτες ἀεὶ σωτῆρα καὶ πατέρα καὶ κτίστην ἀπεκάλουν (14) τῆς πατρίδος· καὶ τὴν μὲν ὑπατικὴν ἐξουσίαν ἐλάττονα χάριν ἢ κατὰ τὸ μέγεθος τῶν ἔργων αὐτοῦ γενήσεσθαι δοθεῖσαν ἀπέφαινον, ἄλλῃ δέ τινι μείζονι καὶ λαμπρᾷ τιμῇ κοσμεῖν ἠξίουν αὐτὸν, ἣν καὶ τὸ γένος ἕξει τὸ ἐξ ἐκείνου. Ὡς δὲ καὶ τὴν τρίτην ἔξοδον ποιησάμενος ἐπὶ τὰ παραθαλάττια τῆς Ἰταλίας, ἔκ τε Κύμης καὶ τῶν περὶ Μίσηνον λιμένων σιτηγοὺς ὁλκάδας ἄγων πολλὰς κατέπλευσεν εἰς Ὠστίαν, ὃ τῆς Ῥώμης ἐστὶν ἐπίνειον, καὶ κατέπλησε (15) ταῖς τροφαῖς τὴν πόλιν, ὡς μηδὲν ἔτι τῆς ἀρχαίας εὐετηρίας διαφέρειν, ἅπας ὁ δῆμος ἕτοιμος ἦν, εἰ γένοιτο τῆς ψήφου κύριος ἐπ' ἀρχαιρεσίαις, εἴτε ὑπατείαν εἴτε ἄλλην τινὰ τιμὴν μετίοι, μηδενὸς ἐπιστρεφόμενος (16) μήτε νόμου κωλύοντος μήτ' ἀνδρὸς ἐναντιουμένου, χαρίζεσθαι. Ταῦτα ὁρῶντες οἱ προεστηκότες τῆς ἀριστοκρατίας, καὶ οὔτε ἐπιτρέπειν ἀξιοῦντες οὔτε κωλύειν δύναμιν ἔχοντες, ἐν πολλῇ πάντες ἦσαν ἀθυμίᾳ· καὶ ἔτι μᾶλλον διεταράχθησαν, ἐπειδὴ κωλυόντων ἐκκλησίας συνάγειν αὐτὸν καὶ δημηγορεῖν τῶν τε δημάρχων καὶ ὑπάτων, συστραφεὶς ὁ δῆμος ἐκείνους μὲν ἐξέβαλεν ἐκ

factorum arrogantia, tum sermonibus quos de se jactabat superbissimis. Nam conspicuo sedens in suggestu, uti publici magistratus solent, quotidie accedentibus de frumentorum largitione responsa dabat, ejecto quasi L. Minucio, qui senatus decreto præfectus annonæ creatus erat; deinde crebras conciones habens (quanquam conciones habere apud Romanos non licet privato), multis Minucium apud populum accusabat, utpote qui nomen tantum magistratus præ se ferret, opus pauperibus utile edidisset nullum; multa etiam in patricios sevit, quippe qui id agerent ut ad paucitatem populum redigerent ac potestatem ejus frangerent, qui in tanta annonæ caritate pauperum curam ne minimam quidem haberent, neque in communi omnes, neque privatim divites; quanquam omnium maxime hos potissimum deceret opibus suis et personis, uti ipse videlicet, nihil non pati, ut undique frumenta in urbem introducerentur. Denique studia patriciorum cum suis ipsius rebus gestis comparans, quam diversa et plane contraria sibi essent demonstrare instituebat. Illos enim non modo de suis in rempublicam nihil expendere, sed etiam publicos usurpare agros, ex iisque a multo inde tempore fructus percipere; se vero non modo nihil boni publici habere, sed paternas etiam opes erogare in auxilium indigorum; et exhausta hereditate pecunias mutuas ab amicis esse sumpturum, nec quidquam pro tanta liberalitate se petere præter populi benevolentiam, quam omnibus divitiis humanis præferendam esse censeret. Tum circumstantes servatorem et patrem et conditorem patriæ appellitare, atque consularem potestatem dicere minorem fore quam pro accepti beneficii magnitudine gratiam; aliis quibusdam majoribus splendidioribusque ornandum honoribus esse, qui etiam ad prosapiam ejus essent perventuri. Ubi deinceps etiam tertio itinere in maritima Italiæ suscepto, e Cumæ et Miseni portubus cum frumentariis navibus plurimis in Ostiam, quod Romæ navale est, innavigaret, ac tanta annonæ copia urbem repleret, ut nihil pristinæ proventuum felicitatis amplius desideraretur: tum vero populus universus pollicebatur, quando in magistratuum electione penes ipsum suffragia essent, sive consularem sive aliam quamcumque Spurius dignitatem ambiret, hanc se, nihil curantem neque leges vetantes neque homines obstrepentes, ei gratificaturum esse. Hæc videntes optimatium principes quum neque concedere vellent neque possent impedire, in summa omnes perplexitate versabantur. Ac mox in majus aucta animorum consternatio est, ubi tribunos consulesque, ne conciones Mælius haberet prohibituros, e foro plebs tumultuans ejecit, eoque multum

---

εος ἔτι. Dein cod. ὑπεριφανίας. — 9. πράττοντας] πράττοντες et mox ὀλίγους codex. — 10. πάντων] παντὸς codex. — 11. Post vocem διαφέροντα in eadem linea sequuntur: μετὰ δὲ τρεῖς ἢ τέτταρας et reliqua Polybiana, quæ dedimus supra. Continentur hæc nostri codicis lineis 53, quæ in codice, ex quo nostra descripta sunt, unum implebant folium. Codex Escor. singulis foliis lineas sexaginta continet. — 12. πολὺν] πολλὴν... ἑαυτὸν δὲ τὴν δημοσίων.. καταχωρηγεῖν cod. — 13. οὐδὲν] οὐθὲν h. l. codex. — 14. ἀπεκ.] ἀποκ. codex; mox ἐλάττωνα id. — 15. κατέπλησε] ὠστίαν.. ἐπίνεον.. κατέπαυσε codex. — 16. ἐπιστρεφόμενος] ἐπιτρέποντος cod.

τῆς ἀγορᾶς, τῷ δὲ Μαλλίῳ πολλὴν ἄδειαν καὶ ῥώμην παρέσχεν. Ἐν τοιαύτῃ δὴ καταστάσει τῆς πόλεως ὑπαρχούσης, ὁ τῆς ἀγορᾶς ἀποδειχθεὶς ἔπαρχος, ἀχθόμενος μὲν ἐπὶ τοῖς προπηλακισμοῖς τῶν λόγων, οἷς αὐτὸν ὑβρίζων ὁ Μάλλιος ἐν ταῖς ἐκκλησίαις διετέλει, δεδοικὼς δὲ τὸν ἄνδρα μάλιστα τῶν ἄλλων, εἴ τινος ἐπιλάβοιτο ἀρχῆς, μὴ πρότερον τῆς ἀριστοκρατίας αὐτὸν ποιήσηται, ἢ τὸν δῆμον ἐξερεθίσας πρὸς αὐτὸν ποιήσηται (17) διὰ τὴν ἐκ τῆς ἑταιρείας ἐπιβουλήν τινα κατ' αὐτοῦ μηχανησάμενος· ἀγανακτῶν τε (18) δι' ἀμφότερα ταῦτα καὶ ἀπηλλάχθαι προθυμούμενος ἐκείνου, μείζονα ἢ κατ' ἰδιώτην ἰσχὺν ἔχοντος, ἐπιμελῆ ζήτησιν ἐποιεῖτο τῶν ὑπ' αὐτοῦ λεγομένων τε καὶ πραττομένων. Πολλῶν δὲ ὄντων, οἷς ὁ ἀνὴρ συνεργοῖς ἐχρῆτο τῶν ἀπορρήτων, καὶ οὔτε τὰς φύσεις ὁμοίων οὔτε τὰς γνώμας παραπλησίων, ἔμελλέ τις, ὅπερ εἰκὸς, οὐ βέβαιος αὐτῷ (19) ἔσεσθαι φίλος, ἢ διὰ φόβον ἢ διὰ κέρδος ἴδιον, ᾧ τὰ πιστὰ δοὺς ὁ Μινούκιος ὑπὲρ τοῦ μηδενὶ φράσειν ὅστις ἦν, ἅπασαν ἔγνω τήν τε διάνοιαν τοῦ Μαλλίου καὶ τὴν παρασκευήν. Ὡς δὲ καὶ τεκμήριον ἔλαβεν ἀναμφίλεκτον (20), καὶ τὴν πρᾶξιν ἐν χερσὶν οὖσαν ἔγνω, λέγει πρὸς τοὺς ὑπάτους. Ἐκεῖνοι δὲ οὐκ ἀξιοῦντες ἐφ' ἑαυτοῖς ποιῆσαι μόνοις ἐπιχειρήσεως τηλικαύτης ἐξέτασιν, εἰς τὴν βουλὴν ᾤοντο δεῖν τὸ πρᾶγμα εἰσφέρειν (21). Καὶ συνεκάλουν τὸ συνέδριον εὐθὺς, ὡς περὶ πολέμου δή τινος ὑπερορίου βουλευόμενοι. Πληρωθέντος δὲ τοῦ συνεδρίου διαταχέων παρελθὼν ἅτερος αὐτῶν ἔλεξεν ὅτι πρᾶξις αὐτοῖς μεμήνυται συσκευαζομένη κατὰ τῆς πόλεως, πολλῆς πάνυ καὶ ταχείας φυλακῆς δεομένη διὰ τὸ τοῦ κινδύνου μέγεθος. Ταύτης δ', ἔφη, μηνυτὴν οὐ τῶν ἐπιτυχόντων εἶναί τινα πολιτῶν, ἀλλ' ὃν αὐτοὶ δι' ἀρετὴν ἐπὶ τῆς μεγίστης τε καὶ ἀναγκειοτάτης τῷ κοινῷ χρείας ἔταξαν, δοκιμάσαντες αὐτοῦ τήν τε πίστιν καὶ τὴν πρὸς τὰ κοινὰ φιλοτιμίαν ἐκ τῶν παρὰ πάντα τὸν βίον ἐπιτηδευομένων. Μετεώρου (22) δὲ τῆς βουλῆς ἐπὶ τῇ προσδοκίᾳ γενομένης, ἐκάλει τὸν Μινούχιον. Κἀκεῖνος ἔλεξεν· Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν (23).

Ὡς δὲ ἐμηνύθη τῇ βουλῇ, δικτάτορα προχειρίζονται·

securitatis Mælio et roboris conciliavit. Quum ita res haberent, præfectus annonæ (L. Minucius) ægre quidem ferens verborum contumelias, quibus insolenter Mælius in concionibus ipsum insectari consueverat, simul vero metuens virum quam maxime, ne scilicet, ubi magistratum aliquem nactus fuerit, supra optimates se extollens imperium eorum everteret, aut multitudine contra Minucium excitata per factionis suæ machinationem in illum aliquid moliretur; et horum ob utrumque indignatus ac removere studens virum majori quam pro privato pollentem potentia, verba ejus factaque diligenter observare et explorare cœpit. Ac quum permultis Mælius uteretur consiliorum clandestinorum sociis, quibus non eadem omnibus esset mens et indoles, accidit, quod erat consentaneum, ut existeret inter eos amicus parum fidus sive metu sive privati spe lucri. Huic igitur data fide haud se nomen ejus proditurum spondens, quæ animo Mælius volveret et jam præpararet, cuncta rescivit. Nuntiata quum documentis dubitationem præscindentibus confirmasset, ac jam in manibus rem esse cognovisset, refert eam ad consules. Hi vero existimantes non esse penes se, ut ipsi soli in tanta molimina inquirerent, ad senatum rem deferendam esse censuerunt. Itaque confestim curiam convocant, quasi de bello aliquo extero deliberaturi. Simulac plenus erat senatus, prodiens alter consulum delatam sibi dicit rem contra civitatem susceptam tantique periculi, ut summa diligentia celeritateque sit præcavendum. Delatorem vero non ex obviis quibusque civibus esse, sed quem ipsi propter virtutem muneri gravissimo commodisque reipublicæ quam maxime necessario præfecissent, cujus fidem et erga civitatem benevolentiam ex anteactæ vitæ studiis haberent comprobatam. Quibus dictis, in senatum exspectatione suspensum invocat Minucium, qui hunc in modum locutus est. *Vide in Excerptis De concionibus.*

Exposita delatione, senatus dictatorem creavit, qui

7. ποιήσηται] verbum ποιήσηται procul dubio ex antecc. male repetitum ; quo commisso, aliquis verbum finitum μηχανήσηται mutavit in μηχανησάμενος. — 18. ἀγανακτῶντε] ἀγανακτῶντες codex. — 19. αὐτῷ vel αὐτοῦ] αὐτὸν codex. — 20. ἀναμφ.] ἀναφ. cod. — 21. εἰσφέρειν] ἐφερεῖν cod. — 22. μετεώρου] μετέωρον cod. — 23. Interruptam narrationem e Livio IV, 13 supplere quodammodo licet : *Hic Minucius eandem publice curationem agens, quam Mælius privatim agendam susceperat, quum in utraque domo idem genus hominum versaretur, rem compertam ad senatum refert : tela in domum Mælii conferri eumque conciones domi habere : ac non dubia regni consilia esse. Tempus agendæ rei nondum stare ; cetera jam convenisse ; et tribunos mercede emptos ad prodendam libertatem, et partita ducibus multitudinis ministeria esse. Serius se pæne quam tutum fuerit, ne cujus incerti vanique auctor esset, ea deferre. Quæ postquam sunt audita, et undique primores patrum et prioris anni consules increparent, quod eas largitiones cœtusque plebis in privata domo passi essent fieri, et novos consules, quod exspectassent, donec a præfecto annonæ tanta res ad senatum deferretur, quæ consulem non auctorem solum desideraret, sed etiam vindicem : tum T. Quinctius, consules immerito increpari ait, qui constricti legibus de provocatione ad dissolvendum imperium latis, nequaquam tantum virium in magistratu ad eam rem pro atrocitate vindicandam, quantum animi, haberent. Opus esse non forti solum viro, sed etiam libero exsolutoque legum vinculis. Itaque se dictatorem L. Quinctium dicturum : ibi animum parem tantæ potestati esse. Approbantibus cunctis, primo Quinctius abnuere, et, quid sibi vellent, rogitare, qui se ætate exacta tantæ dimicationi objicerent. Dein, quum undique plus in illo senili animo non consilii modo, sed etiam virtutis esse quam in omnibus aliis dicerent, laudibusque haud immeritis onerarent, et consul nihil remitteret : precatus tandem deos immortales Cincinnatus, ne senectus sua in*

ὁ δὲ τὸν ἱππάρχην * ἐκέλευσεν ἔχοντι (24) τοὺς ἱππεῖς ἥκειν ὡς αὐτὸν περὶ μέσας νύκτας· τοῖς δὲ βουλευταῖς, εἰς τὸ Καπιτώλιον ἕωθεν ἔτι συλλέγεσθαι· τῷ τε Μινουκίῳ τόν τε μηνυτὴν ἄγοντι καὶ τὰς ἄλλας ἀποδείξεις κομίζοντι πρὸς τὸ βῆμα παρεῖναι· ἅπασιν δὲ φυλάττειν ἀπόρρητα πρὸς τοὺς ἔξω τοῦ συνεδρίου τὰ βουλεύματα· μίαν εἶναι λέγων ἀσφάλειαν, εἰ μηδὲν ὁ Μάλλιος ἀκούσειε τῶν περὶ αὐτοῦ λεγομένων τε καὶ πραττομένων. Διατάξας δὲ τἄλλα ὅσων ἐδεῖτο, μέχρι δύσεως ἡλίου πάντας ἐν τῷ βουλευτηρίῳ κατασχὼν, σκότους ὄντος ἤδη διέλυσε τὸν σύλλογον. Ὡς δὲ μέση νὺξ ἐγένετο, προελθὼν ἐκ τῆς οἰκίας ἐξῄει (25) περὶ τὸν ὄρθρον τοὺς ἐπιλέκτους ἀμφοτέρων τῶν ὑπάτων ἐπαγόμενος καὶ αὐτοὺς τοὺς ὑπάτους. Οὗτοι μὲν οὖν τὸ Καπιτώλιον ἅμα τοῖς βουλευταῖς ἕωθεν κατειληφότες ἐφρούρουν· ὁ δὲ Μάλλιος οὐδὲν ἀκηκοὼς τούτων, ἡμέρας γενομένης, προελθὼν εἰς τὴν ἀγορὰν ἐχρημάτιζε τοῖς δεομένοις ἐπὶ τοῦ βήματος καθεζόμενος. Καὶ μετ' οὐ πολὺ παρῆν ὁ ἵππαρχος Σερουΐλιος πρὸς αὐτὸν ἄγων τοὺς ἀκμαιοτάτους τῶν ἱππέων, ἔχοντας ὑπὸ (26) τοῖς ἱματίοις ξίφη. Καὶ στὰς πλησίον αὐτοῦ λέγει· « Ὁ δικτάτωρ σε κελεύει, Μάλλιε, πρὸς αὐτὸν ἥκειν. » Κἀκεῖνος ὑποτυχὼν, « Ποῖος, ἔφη, κελεύει με, Σερουΐλιε, δικτάτωρ πρὸς αὐτὸν ἐλθεῖν; ὅπου καὶ πότε γενόμενος; » Καὶ ἅμα διαταραχθεὶς περιέβλεψεν εἰς τοὺς περὶ τὸ βῆμα. Ἀφασίας δὲ ἅπαντας κατασχούσης διὰ τὸ μηδένα γινώσκειν τὰ πραχθέντα ὑπὸ τῆς βουλῆς, λέγει πάλιν ὁ Σερουΐλιος· « Εἰσηγγέλθης χθὲς εἰς τὴν βουλὴν, ὦ Μάλλιε, νεωτέροις ἐπιχειρεῖν πράγμασιν, ἴσως οὐκ ἀληθῶς· οὐδενὸς γὰρ ἄξιον ἀπὸ τῆς αἰτίας προκαταγινώσκειν· ταύτην ἐξετάσαι τὴν μήνυσιν ἡ βουλὴ προελομένη, δικτάτορος ἔφησε δεῖν τοῖς πράγμασιν, ὡς οὐ τὸν ἐλάχιστον τῶν κινδύνων τρέχουσα· καὶ ἀπέδειξε τῆς ἐξουσίας ταύτης κύριον Λεύκιον Κοΐντιον Κικιννάτον, ὃν οἶσθα δή που καὶ σὺ κράτιστον ὄντα τῶν πατρικίων καὶ δὶς ἤδη ταύτην ἀνεπιλήπτως τετελεκότα τὴν ἀρχήν. Οὗτος ὁ ἀνὴρ δικαστήριόν σοι καθίσαι καὶ λόγον ἀποδοῦναι βουλόμενος, ἀπέσταλκεν ἡμᾶς, ἐμὲ τὸν ἵππαρχον ἅμα τοῖσδε τοῖς ἀνδράσι, ἄξοντάς σε ἀσφαλῶς ἐπὶ τὴν ἀπολογίαν. Εἰ δὲ μηδὲν ἀδικεῖν πέποιθας, ἴθι καὶ λέγε τὰ δίκαια περὶ σαυτοῦ πρὸς ἄνδρα φιλόπολιν, ὃς οὔτε διὰ τὸν κοινὸν φθόνον οὔτε δι' ἄλλην ἄδικον πρόφασιν οὐδεμίαν ἐκποδὼν ποιῆσαί σε (27) βουλήσεται. » Ὁ δ' ὡς ἤκουσεν, ἀνεπήδα τε καὶ μεγάλα ἀναβοήσας, « Ἄνδρες, ἔφη, δημοτικοὶ, βοηθεῖτέ μοι συναρπαζομένῳ διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν ὑπὸ τῶν δυνατῶν· οὐ γὰρ ἐπὶ δίκην καλοῦμαι πρὸς αὐτὸν, ἀλλ' ἐπὶ θάνατον καλοῦμαι. » Βοῆς δὲ γενομένης καὶ θορύβου

equitum magistrum *delegit Servilium*, eumque jussit cum equitibus convenire se circa noctem mediam; senatores autem a primo mane congregari in Capitolium; Minucium vero cum delatore criminis documentisque ad tribunal adesse; cunctos denique cavere, ne in vulgus arcana hæc senatus decreta emanarent; nam hanc unam securitatem fore dixit, si nihil leorum quæ dictis facti que contra Mælium agerentus, ille comperiret. Deinde reliqua, quibus opus erat, disposuit, et ad solis usque occasum in curia omnes detinens tandem abortis jam tenebris concionem dimisit. Nocte media *quum Servilius ad dictatorem* se contulisset, ipse primo diluculo foras progressus viros selectos consulis utriusque et consules ipsos secum abduxit. Hi igitur una cum senatoribus Capitolium primo mane occupatum custodiebant. Mælius autem, omnium horum ignarus, ubi dies illuxerat, in forum prodiit, ac responsa dabat petentibus sedens in suggestu. Nec multo post ad eum venit magister equitum Servilius cum flore equitatus, qui sub veste gestabant gladios. Ac propius accedens, « Dictator, inquit, te, Mæli, ad se venire jubet. » Ad hæc respondens ille : « Quisnam, Servili, me dictator vocat? ubinam est ille et a quo inde tempore? » Simulque perturbatus oculis circumstantem percurrit coronam. Ex qua quum nemo hisceret, quod a senatu facta omnes ignorarent, rursus Servilius ait : « Heri tu, Mæli, ad senatum delatus es, utpote res novas moliens; falso fortasse; nam ex accusatione nihil præjudicandum est. De hac delatione senatus inquirere statuens dictatore opus esse censuit, quippe haud minimo constitutus in periculo. Eamque potestatem commisit L. Quinctio Cincinnato, quem tu quoque nosti procul dubio præstantissimum esse patriciorum, ac bis jam munere hoc summa cum laude perfunctum. Is igitur, ut judicium tibi sistat, ac defendendi te facultatem præbeat, nos misit, me scilicet ac viros hosce, ut ad causam dicendam secure te adducamus. Jam si nullius tibi sceleris conscius es, venias et causam dicas coram viro, qui, quum civium commodis studeat, neque ob communem qua premeris invidiam neque alio ullo prætextu e medio te removere voluerit. » Quibus auditis exsiliens Mælius, summa voce, « Viri populares, clamavit, mihi succurrite, qui ob meam in vos benevolentiam ab optimatibus corripior. Neque enim in judicium a dictatore, sed ad necem vocor. » Editoque circa suggestum

---

tam trepidis rebus damno dedecorive reipublicæ esset, dictator a consule dicitur : *ipse deinde C. Servilium magistrum equitum dicit.* — 24. ἔχοντι] quod non mutandum esse in ἔχοντα, sequens suadet dativus τοῖς δὲ βουλευταῖς. Itaque lacunam notavi. Ac omnino male contracta est narratio Dionysii, qui et dictatoris nomen certe et creati ab eo magistri equitum non potuit omittere. Sed hæc excerptor ad insidias suas properans nihil curavit. Contra si quid librarius peccaverit, supplendum τὸν ἱπ. ἀποδείξας vel καλέσας ἐκέλευσε vel tale quid. — 25. ἐξῄει] ἐξίει cod. Ceterum locus noster male truncatus est. Circa mediam noctem Servilius ad dictatorem se conferre jussus erat, ut supra vidimus. Hoc ipsum h. l. commemoratum erat. In seqq. scripsi ἕωθεν pro ἔξωθεν, quod codex præbet. — 26. ὑπὸ] ἐπὶ cod. — 27. ποιῆσαί σε] ποιήσεσαι codex.

πολλοῦ περὶ τὸ βῆμα, συγγνοὺς ὅτι πλείους εἰσὶν τῶν βοηθούντων οἱ συλλαμβάνειν μέλλοντες αὐτὸν, καὶ οὐ μακρὰν ἑτέρους ὑποκαθιεῖσθαι ἐν ὅπλοις, καταπηδᾷ ταχέως ἀπὸ τοῦ βήματος καὶ διὰ τῆς ἀγορᾶς ἐχώρει δρόμῳ, σπεύδων εἰς τὴν οἰκίαν καταφυγεῖν. Καταλαμβανόμενος δὲ ὑπὸ τῶν ἱππέων εἰς ἐργαστήριον εἰστρέχει μαγειρικὸν, καὶ κοπίδα τῶν κρεοκόπων ἁρπάσας παίει τὸν πρῶτον αὐτῷ προσελθόντα· ἔπειτα πολλῶν ἐπιπεσόντων ἀθρόον, ἀμυνόμενος καὶ βραχὺν ἀντισχὼν χρόνον, ἀπεκόπη ὑπό τινος τὸν βραχίονα καὶ πίπτει καὶ κατακοπεὶς ὥσπερ θηρίον ἀποθνήσκει. Μάλλιος μὲν δὴ μεγάλων ὀρεχθεὶς πραγμάτων, καὶ μικροῦ πάνυ δεήσας τῶν Ῥωμαίων ἡγεμονίαν κατασχεῖν, οὕτως ἀζήλου καὶ πικρᾶς καταστροφῆς ἔτυχεν. Ἐξενεχθέντος δὲ εἰς τὴν ἀγορὰν τοῦ νεκροῦ, καὶ γενηθέντος πᾶσι φανεροῦ, δρόμος ἦν καὶ βοὴ καὶ θόρυβος ἁπάντων τῶν κατὰ τὴν ἀγορὰν, τῶν μὲν οἰκτειρόντων, τῶν δὲ ἀγανακτούντων, τῶν δὲ ὁμόσε τοῖς δεδρακόσι (28) χωρεῖν ἐσπουδακότων. Τοιαύτης ταραχῆς γενομένης, μαθὼν ὁ δικτάτωρ ὅτι διαπέπρακται τοῖς ἱππεῦσι τὸ προσταχθὲν ἔργον, κατέβαινεν ἀπὸ τῆς ἄκρας εἰς τὴν ἀγορὰν, τούς τε βουλευτὰς ἐπαγόμενος ἅπαντας καὶ τοὺς ἱππεῖς περὶ ἑαυτὸν ἔχων γυμνὰ φαίνοντας ξίφη· καὶ δημηγορήσας (29) ἐπ' ἐκκλησίας ἀπέλυσε τὸν ὄχλον. Τῶν δὲ δημοτικῶν οἱ [μὲν οὐ] (30) συμβουλεύσαντες τῇ καταλύσει τῆς πολιτείας ἠγανάκτουν καὶ δι' ὀργῆς τὴν ἐπιχείρησιν τοῦ ἀνδρὸς ἐλάμβανον· οἱ δὲ κοινωνήσαντες τῆς συνωμοσίας (31) ἀφειμένοι τοῦ φόβου χαίρειν τε προσεποιοῦντο καὶ τὸ συνέδριον τῶν βουλευμάτων ἐπῄνουν· ὀλίγοι δέ τινες ἐξ αὐτῶν οἱ πονηρότατοι λογοποιεῖν ἐτόλμων ἐν ταῖς (32) ἑξῆς ἡμέραις, ὡς ἀνηρπασμένου πρὸς τῶν δυνατῶν τοῦ Μαλλίου, καὶ διαστασιάζειν τὸν δῆμον ἐπεχείρουν, οὓς ἀφανεῖ θανάτῳ διαχρησάμενος ὁ δικτάτωρ, ἐπειδὴ κατέπαυσε τοῦ θορύβου, τὴν ἀρχὴν ἀποτίθεται.

Οἱ μὲν δὴ τὰ πιθανώτατά μοι (33) δοκοῦντες γράφειν περὶ τῆς Μαλλίου τελευτῆς, οὕτω παραδεδώκασι. Λεγέσθω δὲ καὶ ὁ δοκῶν ἧττον εἶναί μοι πιθανὸς λόγος, ᾧ κέχρηται Κίγκιος (34) καὶ Καλπούρνιος, ἐπιχώριοι συγγραφεῖς· οἵ φασιν οὔτε δικτάτορα ὑπὸ τῆς βουλῆς ἀποδειχθῆναι τὸν Κόϊντον, οὔτε ἱππάρχην ὑπὸ τοῦ Κοΐντου τὸν Σερουίλιον. Γενομένης δὲ τῆς μηνύσεως ὑπὸ τοῦ Μινουκίου, τοὺς παρόντας ἐν τῷ συνεδρίῳ πιστεύσαντας ἀληθῆ τὰ λεγόμενα εἶναι, καὶ (35) γνώμην

clamore et tumultu, ubi animadvertit majorem eorum qui correpturi quam qui defensuri essent numerum, ac jamjam alios in armis submitti, illico de suggestu desiliens per forum cursu se abripuit, ut domum aufugeret. Et quum in eo esset, ut ab equitibus deprehenderetur, in lanii officinam se recipit, ibique primum ad se accedentium arrepto ferit cultro; deinde autem aliis confertim adorientibus, postquam defendens se aliquantisper restitisset, tandem, quum brachium ei ab aliquo præcisum esset, cadit et prostratus belluæ in modum conficitur. Mælius igitur rem magnam sane aggressus, ubi haud multum aberat, quin regnum apud Romanos usurparet, tam miserandum tamque acerbum vitæ exitum nactus est. Elatum vero in forum cadaver quum in omnium venisset conspectum, discursatio erat et clamor et tumultus versantis ibi multitudinis; alii vicem viri lugebant, alii indignabantur, alii manum conserere cum auctoribus cædis properabant. Dum ita tumultuantur, dictator postquam rescivit peregisse equites imperata, in forum descendit cum senatu universo et cum equitibus, qui nudos tenebant gladios. Populumque in concionem vocavit et allocutus eum dimisit. Ceterum e plebe qui conjurationis de evertenda republica non fuerant participes, conamen indigne ferentes Mælio succensebant; socii vero cœptorum, quod metu liberati essent, gaudium simulantes decreta senatus collaudabant; quanquam pauci quidam eorum nequissimi per dies subsequentes fictis sermonibus Mælium ab optimatibus oppressum contendere, plebemque ad rebellionem excitare audebant. Hos in occulto tollendos curavit dictator, ac sedato tumultu magistratum deposuit.

Igitur qui verisimillima mihi videntur de fine Mælii scripsisse, hunc in modum rem tradiderunt. Verum apponam etiam narrationem, minus illam, opinor, probabilem, qua Cincius Alimentus et Calpurnius Piso, Romani scriptores, utuntur. Dicunt hi neque dictatorem a senatu Quinctium creatum, neque magistrum equitum a Quinctio Servilium delectum esse; sed re a Minucio delata, senatores in curia præsentes, quum veram esse delationem nihil

28. τοῖς δεδρακόσι] τῶν δεδρακότων cod. — 29. Ipsam dictatoris orationem excerptor omisit. Desumpta ex ea sunt quæ leguntur in Dionysii Exc. Vatican. De sentent. in Collect. Vat. II, p. 465 ed. Mai. : Ἔχων παρ' ἑαυτὸν ἀνθρώπους ἐξ ἁπάσης συνειλεγμένους κακίας, οὓς ἐσίτιζεν ὥσπερ θηρία κατὰ τῆς πατρίδος Εἰ μὲν οὖν ὑπήκουσέ μοι, καὶ παρέσχεν ἑαυτὸν ἐν τοῖς νόμοις μένοντα, μεγίστην ἂν τοῦτ' αὐτῷ παρέσχε ῥοπὴν εἰς τὴν ἀπολογίαν, καὶ τεκμήριον οὐκ ἐλάχιστον ἦν τοῦ μὴ βεβουλεῦσθαι κατὰ τῆς πατρίδος· νῦν δ' ὑπὸ τῆς συνειδήσεως ἐλαυνόμενος, ὃ πάσχουσιν ἅπαντες οἱ τὰς ἀνοσίους βουλὰς κατὰ τῶν ἀναγκαιοτάτων σφίσι ποιησάμενοι, τοῦτο ἔπαθε, φυγεῖν [τε] τὸν ἔλεγχον ἔγνω καὶ τοὺς ἥκοντας ἐπ' αὐτὸν ἱππεῖς μαγειρικῇ κοπίδι παίων ἀπήλαυνε. Cf. Livius IV, 15: *Tumultuantem deinde multitudinem incerta existimatione facti ad concionem vocari jussit; et Mælium jure cæsum pronuntiavit, etiamsi regni crimine insons fuerit; qui vocatus a magistro equitum ad dictatorem non venisset. Se ad causam cognoscendam consedisse; qua cognita, habiturum fuisse Mælium similem causæ fortunam. Vim parantem, ne judicio se committeret, vi coercitum esse,* etc. — 30. μὲν οὐ] supplevi. — 31. κοινωνήσαντες οὖν τῆς καὶ τὸ συνωμ. codex., expunctis verbis οὖν. καὶ. τὸ. — 32. ἐν ταῖς] ἐν ταῖς ἐν ταῖς cod. — 33. μοι] μου cod. — 34. κεχρ. Κίγκιος] κέχριται κίρκεος καὶ καλπουρνίνος cod. — 35. καὶ] Huc transposui particulam, quæ in codice legitur

ἀποδειξαμένου τῶν πρεσβυτέρων τινὸς, ἄκριτον ἦ μὴν (36) ἀποκτεῖναι τὸν ἄνδρα, παραχρῆμα πεισθέντας, οὕτω τὸν Σερουΐλιον ἐπὶ τοῦτο τάξαι τὸ ἔργον, νέον ὄντα καὶ κατὰ χεῖρα γενναῖον. Τοῦτον δέ φασι λαβόντα τὸ ξιφίδιον ὑπὸ μάλης, ἐλθεῖν πρὸς τὸν Μάλλιον πορευόμενον ἐκ τῆς ἀγορᾶς· καὶ προελθόντα εἰπεῖν, ὅτι βούλεται περὶ πράγματος ἀπορρήτου καὶ μεγάλου διαλεχθῆναι πρὸς αὐτόν. Κελεύσαντος δὲ τοῦ Μαλλίου μικρὸν ἀποχωρῆσαι τοὺς ἐγγὺς αὐτῷ παρόντας, ἐπειδὴ μονωθέντα τῆς φυλακῆς ἔλαβεν, γυμνώσαντα τὸ ξίφος βάψαι κατὰ τῆς σφαγῆς. Τοῦτο δὲ πράξαντα δρόμῳ χωρεῖν εἰς τὸ βουλευτήριον, ἔτι συγκαθημένων τῶν συνέδρων, ἔχοντα τὸ ξίφος ᾑμαγμένον, κεκραγότα πρὸς τοὺς διώκοντας, ὅτι κελευσθεὶς ὑπὸ τῆς βουλῆς ἀνῄρηκε τὸν τύραννον. Ἀκούσαντας δὲ τὸ τῆς βουλῆς ὄνομα τοὺς ὡρμηκότας παίειν τε καὶ ψάλλειν αὐτὸν, ἀποτραπέσθαι μηδὲν εἰς αὐτὸν παρανομῆσαι. Ἐκ τούτου καὶ τὴν ἐπωνυμίαν τὸν Ἄλαν αὐτῷ τεθῆναι λέγουσιν, ὅτι τὸ ξίφος ἔχων ὑπὸ μάλης ἦλθεν ἐπὶ τὸν ἄνδρα· ἄλας γὰρ καλοῦσι Ῥωμαῖοι τὰς μάλας.

Ἀναιρεθέντος δὲ τοῦ ἀνδρὸς καθ' ἑκάτερον τρόπον, συνελθοῦσα ἡ βουλὴ τήν τε οὐσίαν αὐτοῦ εἶναι δημοσίαν ἐψηφίσατο, καὶ τὴν οἰκίαν ἕως ἐδάφους κατασκαφῆναι. Οὗτος ὁ τόπος ἔτι καὶ εἰς ἐμὲ ἦν ἐν πολλαῖς ταῖς πέριξ οἰκίαις μόνος ἀνειμένος ἔρημος, καλούμενος ὑπὸ Ῥωμαίων Αἰκυμήλιον, ὡς ἂν ἡμεῖς εἴποιμεν ἰσόπεδον μένον· αἰκὸν γὰρ ὑπὸ Ῥωμαίων τὸ μηδεμίαν ἔχον ἐξοχὴν καλεῖται. [Τόπος οὖν Μήλιον ἐξ ἀρχῆς κληθεὶς, ὕστερον] συμφθαρέντων (37) ἀλλήλοις κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων, αἰκυμήλιον ἐκλήθη. Τῷ δὲ τὴν κατὰ τοῦ Μαλλίου μήνυσιν ἀποδόντι Μινουκίῳ στάσιν ἀνδριάντος ἐψηφίσατο ἡ βουλή.

II. Ὅτι Κοΐντου Σερουιλίου τὸ τρίτον καὶ Γαΐου Μαρκίου Ῥουτίλου [τὸ τέταρτον] ὑπατευόντων (1), κίνδυνοι τὴν Ῥώμην χαλεποὶ καὶ ἀπροσδόκητοι κατέσχον, οὓς εἰ μὴ θεία τις πρόνοια διεσκέδασε, δυεῖν κακῶν θάτερον ἂν αὐτῇ συνέπεσεν, ἢ δόξαν αἰσχίστην ἐνέγκαι ξενοκτονίας, ἢ φόνων ἅψασθαι πολιτικῶν. Ἀφ' ἧς δ' αἰτίας εἰς τούτους ἦλθε τοὺς κινδύνους, μικρὰ τῶν πρόσθεν ἀναλαβὼν δι' ὀλίγων πειράσομαι διελθεῖν. Ἐν τῷ παρελθόντι ἐνιαυτῷ τὸν Σαυνιτικὸν πόλεμον ὑπὲρ ἁπάσης Καμπανίας ἡ τῶν Ῥωμαίων πόλις ἀραμένη καὶ τρισὶ νικήσασα μάχαις τοὺς ἀντιταχθέντας, ἐβούλετο μὲν ἁπάσας ἄγειν τὰς δυνάμεις, ὡς οὐδενὸς ἔτι κινδύνου ταῖς πόλεσι καταλειπομένου. Δεομένων δὲ τῶν Καμπανῶν μὴ καταλιπεῖν αὐτοὺς συμμάχων ἐρήμους, ὡς ἐπιθησομένων σφίσι τῶν Σαυνιτῶν, εἰ μηδεμίαν ἔχοιεν ξενικὴν βοήθειαν, ἔγνω τὸν ἀπαλλάξαντα τοῦ πολέμου τὰς πόλεις ὕπατον Μάρκον Οὐαλέριον, ὅσην ἂν αὐτοὶ βουληθῶσι τρέφειν, στρατιὰν ἐν ταῖς πόλεσι καταλιπεῖν.

dubitassent, atque e senioribus quidam hominem indicta causa occidendum proposuisset, statim persuasos Servilio, viro juveni manuque strenuo, rem exsequendam demandasse. Hunc vero aiunt, gladiolo sub ala occultato, ad Mælium e foro discedentem venisse, et propius aggressum dixisse de re arcana magnique momenti se velle cum eo colloqui. Tum Mælio jubente adstantes paullulum recedere, ubi solum et custodia desertum nactus esset, strinxisse gladium et in jugulum defixisse. Quo perpetrato, eum cursu in curiam, considente adhuc senatu, sese contulisse, manu tenentem ferrum cruentum, et persequentibus alta voce clamantem jussu senatus se peremisse tyrannum. Audito autem nomine senatus, irruentes qui ferirent eum pulsarentque, a cœpto destitisse, ne quid contra leges committerent. Hinc etiam *Ahalæ* cognomen ei dicunt inditum, quod sub *ala* gladium habens ad Mælium accessisset; nam *alas* Romani dicunt, quod Græci μάλας vocant.

Interfecto Mælio, sive hac sive illa ratione res acciderit, conveniens senatus decrevit, ut bona ejus publicarentur, domus solo æquaretur. Atque locus, quo ea steterat, etiam mea adhuc ætate inter multas ædes, quæ circumcirca sunt, solus relinquitur desertus, et a Romanis *Æquimelium* vocatur. Nimirum *æquum* apud Romanos dicitur id quod non habet eminentiam. Itaque locus, quem pridem *Mælium* vocarunt, deinceps corruptis invicem et in unum conflatis nominibus, *Æquimelium* appellatus est. Præterea senatus decrevit, ut delatori Mælii Minucio poneretur statua.

II. Q. Servilio III et C. Marcio Rutilo IV consulibus, in grave periculum Roma præter exspectationem conjecta est, quod nisi divina quædam providentia dissipasset, ex duobus malis accidisset ei alterum : aut enim hospiticidii famam tulisset turpissimam, aut civili se cæde contaminasset. Unde vero in tantum devenerit periculum, re paullo altius repetita, brevi tentabo enarrare. Anno præcedente Romani, bello contra Samnites pro Campania universa suscepto, quum tribus prœliis hostes debellassent, omnem exercitum domum reducere voluerant, quod nullum amplius periculum Campanorum oppidis esset timendum. Rogantibus autem Campanis, ne sociorum præsidio destitutos se relinquerent, quippe quos, nisi peregrinum auxilium tutaretur, denuo Samnites aggressuri forent : decrevit senatus, ut consul Marcus Valerius, qui bello urbes liberaverat, quantam ipsi Campani vellent alere exercitus

ante οὕτω τὸν Σερουΐλιον. — 36. ἦ μὴν] ἡμὲν cod. — 37. συμφθαρ.] συμφθαρ. δὲ ἀλλήλοις cod. Inclusa supplevi e Dionysii Exc. Vat. p. 486 : τὸ ἰσόπεδον Αἰκομήλιον Ῥωμαῖοι καλοῦσιν· αἶκον γὰρ τὸ μηδεμίαν ἔχον ἐξοχὴν λέγουσι. Τόπον οὖν τινα, Μήλιον ἐξ ἀρχῆς κληθέντα, ὕστερον συμφθαρέντων ἀλλήλοι; κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων, Αἰκομήλιον ἐκάλεσαν.

II. *Fol.* 193, 8 *r.* — 194, 13 *vso.* De re vid. Livius VII, 38 et Appianus Samnit. fr. 1, p. 14 ed. Didot. Cf. Niebuhr. *R. Gesch.* III, p. 72 sqq — 1. τὸ τρίτον... ὑπατευόντων] codex : τὸ τρίτον ὑπατεύοντος καὶ γαΐου μαρκίου ροτύλου ὑπα-

Γενομένης δὲ τῆς ἐξουσίας ταύτης κύριος ὁ ὕπατος, ὅσοις ἦν βουλομένοις ὀψώνια καὶ μισθοὺς φέρεσθαι τῆς φυλακῆς, τούτους καθίστησιν ἐν ταῖς πόλεσιν. Ἐν οἷς ἦν τὸ πλεῖον μέρος ἀνεστίων καὶ καταχρέων καὶ τὴν οἴκοι πενίαν καὶ ἀγνωσίαν ἀσμένως ἀποδιδρασκόντων. Τούτους οἱ Καμπανοὶ ταῖς οἰκίαις ἀναλαμβάνοντες, τραπέζαις τε ὑπεδέχοντο λαμπραῖς καὶ ταῖς ἄλλαις ἐξένιζον φιλοφροσύναις. Πολυτελὴς δὲ καὶ ἁβροδίαιτος ἱκανῶς Καμπανίαν οἰκοῦσι καὶ νῦν ἐστὶ καὶ τότε ἦν ὁ βίος, καὶ πάντα τὸν λοιπὸν ἔσται χρόνον· πολύκαρπόν τε πεδιάδα καὶ πολύβοτον καὶ πρὸς ὑγείαν ἀνθρώποις γεωργοῦσιν ἀρίστην οὖσαν. Κατ' ἀρχὰς μὲν οὖν ἀγαπητῶς οἱ φρουροὶ τὴν φιλοξενίαν τῶν ἀνθρώπων ἐλάμβανον· ἔπειτα διαφθειρόμενοι τὰς ψυχὰς ὑπὸ τοῦ κόρου τῶν ἀγαθῶν πονηροὺς ὑπολογισμοὺς κατὰ μικρὸν ἐλάμβανον· καὶ συνιόντες ἀλλήλοις ἔλεγον, ὡς ἀνοήτων ἀνθρώπων ποιήσουσιν ἔργον, εἰ τοσαύτην καταλιπόντες εὐδαιμονίαν ἐπὶ τὸν ἐν Ῥώμῃ βίον ἀνακάμψουσιν, ἔνθα λυπρὰ μὲν ἡ γῆ, πολλαὶ δὲ εἰσφοραί, πολέμων δὲ καὶ κακῶν ἀνάπαυσις οὐδεμία, τὰ δὲ τῶν κοινῶν πόνων ἆθλα παρ' ὀλίγοις, οἱ δὲ ἀσθενεῖς τοῖς βίοις καὶ τῶν καθ' ἡμέραν ἀναγκαίων ἀποροῦντες, καὶ ἔτι μᾶλλον οἱ τὰ χρέα μὴ δυνάμενοι διαλῦσαι τοῖς συμβαλοῦσι· καὶ τὴν ἀνάγκην ἀποχρῶσαν εἶναι σύμβουλον τῶν συμφερόντων σφίσιν ἀποφαίνοντες ἄνευ τοῦ καλοῦ· οὐδ' εἰ πάντες νόμοι τε καὶ ἄρχοντες τὰς ἐσχάτας τιμωρίας ἀπειλοῖεν αὐτοῖς, ἐν Καμπανοῖς ἔτι μεθήσεσθαι τῆς παρούσης εὐδαιμονίας ἔλεγον, καὶ τελευτῶντες εἰς τοσαύτην ἀπόνοιαν ἦλθον, ὥστε καὶ λέγειν ἐτόλμων, « Τί δαὶ καὶ δράσομεν δεινὸν, ἐὰν Καμπανοὺς ἐκβαλόντες τὰς ἐκείνων πόλεις κατάσχωμεν; Οὗτοι γὰρ αὐτοὶ πρότερον οὐκ ἐκ τοῦ πεδίου (2) κτησάμενοι τὴν γῆν κατέσχον, ἀλλὰ ἐπιξενωθέντες Τυρρηνοῖς (3) τοῖς κατοικοῦσιν αὐτὴν, καὶ τοὺς ἄνδρας πάντας διαφθείραντες, τάς τε γυναῖκας αὐτῶν καὶ τοὺς βίους καὶ τὰς πόλεις καὶ τὴν περιμάχητον χώραν παρέλαβον, ὥστε σὺν δίκῃ πείσονται πᾶν ὅτι ἂν πάθωσιν (4) αὐτοὶ τῆς παρανομίας κατάρξαντες καθ' ἑτέρων. Τί δαὶ καὶ τὸ κωλῦσαν ἡμᾶς ἔσται ταῦτα μέχρι τοῦ παντὸς χρόνου καρποῦσθαι τἀγαθά; Σαυνῖται μέν γε καὶ Σιτικηνοὶ καὶ Αὔσονες (5) καὶ πάντες οἱ περίοικοι τοσοῦτον δεήσουσι Καμπανοῖς τιμωροῦντες ἐφ' ἡμᾶς στρατεύειν (6), ὥστε ἀποχρῆν ὑπολήψονταί σφισιν εἰ τὰ ἑαυτῶν ἐάσωμεν ἑκάστοις ἔχειν. Ῥωμαῖοι δὲ ἴσως μὲν καὶ κατ' εὐχὴν δέξονται τὸ πραχθὲν, ἅπασαν ἀξιοῦντες Ἰταλίαν ταῖς αὐτῶν ἀποικίαις κρατεῖσθαι· εἰ δὲ ἀγανακτεῖν προσποιούμενοι, πολεμίους ἡμᾶς κρίναντες * (7), οὐ τοσαῦτα δεινὰ διαθήσουσιν, ὅσα πείσονται πρὸς ἡμῶν· χώραν τε γὰρ αὐτῶν δῃώσομεν, ὅσον ἂν ἡμῖν δοκῇ, καὶ δεσμώτας ἐκ τῶν ἀγρῶν λύσομεν καὶ θεράποντας ἐλευθερώσομεν καὶ μετὰ τῶν ἐχθίστων αὐτοῖς Οὐολούσκων τε καὶ Τυρρηνῶν καὶ Σαυνιτῶν καὶ

partem in urbibus relinqueret. Consul igitur ejus rei ordinandæ arbiter factus, præsidiarios oppidis imposuit quicunque victum et stipendia custodiæ mereri cuperent. Pars major eorum homines erant aris et focis carentes et obærati et paupertatem domesticam et obscuritatem haud inviti deserentes. Hos Campani domibus suis mensisque splendidis excipiebant et in reliquis hospitali liberalitate beabant. Etenim sumptuosa admodum et delicatula Campaniæ incolis vita et nunc est et tunc erat et in omne futurum erit tempus. Nimirum planitiem colunt ubertate fructuum pascuorumque abundantia insignem aerisque temperatura hominibus saluberrimam. Initio igitur gratis animis præsidiarii prodigam hominum hospitalitatem accipiebant, deinde vero bonorum fastidio corrupti prava paullatim inibant consilia. Congredientes inter se dictitare cœperunt, dementiæ fore opus, si ipsi tanta vitæ felicitate relicta Romam reverterentur, ubi solum esset aridum, ubi tributorum pensiones multæ, a bellis malisque requies nulla, ubi ærumnarum pro patria exantlatarum præmia redirent ad paucos, ubi inopia victus quotidiani laborarent re fruentes tenui, et magis adhuc qui fœnera creditoribus solvere non possent : vel necessitate adigi se declarabant, ut commodis suis consulerent, honesti ratione seposita. Quapropter etiamsi leges omnes et magistratus extremas sibi pœnas minitarentur, haud se renuntiaturos præsenti qua in Campania gauderent felicitati. Postremum eo processerunt vecordiæ et audaciæ, ut « Quid demum, dicerent, adeo atrox committemus, si Campanis ejectis urbes eorum occupaverimus? Nam ipsi olim non de suo penu acquirentes terram hanc occuparunt, sed a Tyrrhenis incolis hospitio recepti, viris cunctis trucidatis, uxores eorum et opes et urbes et expetendam istam omni contentione regionem sibi vindicarunt. Igitur jure merito quæque patientur, quum ipsi priores in alios jus et æquum violarunt. Quid denique impediet quominus per omne tempus bonis his fruamur? Samnites certe, Siticeni, Ausones, reliqui populi finitimi tantum aberit ut Campanis auxiliantes expeditionem contra nos suscipiant, ut æqui boni sint facturi, si sua quibusque habere et possidere sinamus. Romanis vero fortasse etiam ex voto res venerit, quippe qui universa Italia coloniarum opera potiri moliuntur : sin iram simulantes hostium loco nos habuerint, non tantis nos afficient damnis, quanta a nobis ipsi accipient : nam ditionem eorum vastabimus pro lubitu, vinctos in agris exsolvemus, servos in libertatem vindicabimus, cum hostibus eorum acerbissimis, Volscis, Tyrrhenis, Samnitibus, nec non cum Latinis, qui nunc

τευόντων — 2. num ἰδίου? — 3. τυρανοῖς cod. — 4. fortassis πράξωσιν. — 5. αὔσωνες cod. — 6. ἐφ' ἡμᾶς τε στρατεύειν cod. — 7. κοίναντες] verbum excidit, aut scr. κρίνουσιν.

τῶν ἔτι ἐνδοιαστῶς ἀκροωμένων Λατίνων στησόμεθα· ἠναγκασμένοις δ' ἀνθρώποις καὶ τὸν ἔσχατον περὶ ψυχῆς τρέχουσι δρόμον οὔτ' ἄπορον οὐδὲν οὔτ' ἀντίπαλον.» Τοιαῦτα διαλεγόμενοι πρὸς ἀλλήλους, ὀλίγοι μὲν τὰ πρῶτα, ἔπειτα πλείους ἔγνωσαν ἐπιχειρεῖν ταῖς πόλεσι, καὶ δι' ὅρκων ἐδίδοσαν ἀλλήλοις τὸ πιστόν. Ἔφθασε δὲ τὴν ἐπιχείρησιν αὐτῶν εἰς ἐμφανὲς ἀγαγοῦσα μήνυσις, ἣν τῶν συνωμοσάντων τινὲς ἐποιήσαντο πρὸς τὸν ἕτερον τῶν ὑπάτων Μάρκιον, ᾧ τὸν κατὰ Σαυνιτῶν πόλεμον ὁ κλῆρος ἀπένειμεν, ἤδη παρειληφότι (8) τὰς ἐν τῇ Ῥώμῃ καταγραφείσας δυνάμεις, καὶ ὄντι ἐν ὁδῷ. Ὁ δὲ ὕπατος ἀπροσδοκήτου καὶ δεινοῦ πράγματος ἀκούσας ἔκρινε μὴ λέξειν τὸ πρᾶγμα μήτ' εἰδέναι δοκεῖν, ἀλλὰ δι' ἀπάτης τινὸς καὶ στρατηγίας κωλῦσαι τὰ συμβησόμενα ταῖς πόλεσιν. Ἀποστείλας δή τινας ἅμα τοῖς μηνυταῖς κατασκευαστοὺς εἰς τὰς πόλεις πρὶν αὐτὸν (9) ἐλθεῖν, προσεσκεύασε λέγεσθαι πρὸς τοὺς ἐν ταῖς παραχειμασίαις, ὅτι τὰς μὲν φρουρὰς ἔγνω καταλιπεῖν ἐν ταῖς πόλεσι τὰς τότε οὔσας, ἐπεί γε (10) βουλομένοις ἐστὶν τοῖς Καμπανοῖς αὐτὰς μένειν, τῇ δὲ οἴκοθεν ἀφιγμένῃ σὺν αὐτῷ δυνάμει πολεμεῖν πρὸς Σαυνίτας παρασκευάζεται. Καὶ ἔπεισεν ἅπαντας ταῦτα ὑπολαβεῖν. Ἀφικόμενος δὲ εἰς τὴν Καμπανίαν μετὰ τῆς στρατιᾶς ἁπάσης εἰς ἑκάστην παρῄει πόλιν, καὶ τοὺς ἐν ταῖς φρουραῖς ἀνακαλούμενος διέκρινεν ἁπάντων τοὺς μετασχόντας τῆς συνωμοσίας, ἔπειτα φιλανθρώπως ἑκάστοις διαλεγόμενος, οὓς μὲν ἀπέλυσε τῶν σημείων, ὡς ἂν χαριζόμενος τὴν ἄφεσιν τῆς στρατείας, οὓς δὲ τῷ πρεσβευτῇ καὶ τῷ χιλιάρχῳ παραδοὺς ὡς ἐπὶ χρείας δή τινας στρατιωτικὰς ἀπέλυσε (οὗτοι δ' ἦσαν οἱ πονηρότατοι καὶ οὐχ ὑπομένοντες ἀφεῖσθαι τῆς στρατείας), ἐντειλάμενος τοῖς ἄγουσιν αὐτοὺς εἰς Ῥώμην διακομίσαι καὶ φυλάττειν ἐν ἀδήλοις φυλακαῖς, χωρήσαντας ἄλλους ἀπ' ἄλλων, ἕως ἂν αὐτὸς ἀφίκηται. Τοῖς δὲ ἀνδράσιν ἐνθυμουμένοις ὅτι πάντες οἱ κορυφαιότατοι τῆς συνωμοσίας οἱ μὲν ἀπολύονται τῶν σημείων, οἱ δ' ἀποστέλλονται δίχα τῶν ἄλλων ὁποιδήποτε, λογισμὸς εἰσῆλθε περιφανῆ γεγονέναι σφῶν τὴν συνωμοσίαν, καὶ μετὰ τοῦτο δέος, εἰ χωρὶς ἀλλήλων γένοιντο καὶ τὰ ὅπλα θεῖεν, μὴ δίκας ὑπόσχωσιν εἰς Ῥώμην ἀπαχθέντες. Συνιόντες δὲ κατ' ὀλίγους ἐσκόπουν τί χρὴ πράττειν. Ἔπειτα γνώμην τινὸς εἰσηγησαμένου (11) περὶ ἀποστάσεως, ἐπαινέσαντες τὸ βούλευμα, καὶ πίστεις ἀπορρήτους ἐν ἀλλήλοις ποιησάμενοι, τῆς στρατιᾶς ἀφειμένοι περὶ Ταρρακινὰ πόλιν (12) ἐν ἐπιτηδείοις χωρίοις παρ' αὐτὴν τὴν ὁδὸν στρατοπεδεύονται. Ἐπειθ' οἱ μετὰ τοῦ πρεσβευτοῦ καὶ τῶν χιλιάρχων ἀποστελλόμενοι τοὺς ἡγεμόνας καταλιπόντες, ἔστιν δ' οὓς καὶ τῶν ἀγόντων σφᾶς στρατιωτῶν πείσαντες ἀποστῆναι, περὶ τὸν αὐτὸν ἱδρύονται τόπον. Ὡς δὲ ἅπαξ οὗτοι τὰς παρόδους κατελάβοντο, πολλοὶ προσῄεσαν αὐτοῖς ὁσήμεραι. Καὶ γὰρ **

inter utramque partem fluctuant, jungemus societatem. Denique viris, quos in extremo vitæ periculo positos Necessitas agitat, nihil non pervium, nihil non est superabile.» Hujusmodi utentes sermonibus primum pauci, mox complures urbibus vi potiundum esse decernunt ac fidem suam sacramentis invicem obligant. At exitum consiliorum prævertit delatio conjuratorum quorundam, qui totum negotium Marcio consuli patefecerunt. Huic enim bellum Samniticum sorte evenerat, ac tum cum copiis Romæ recens conscriptis jam erat in itinere. Consul, comperta re gravissima et inopinata, non evulgandam sed dissimulandam esse censebat, ut fraude quadam et artificio imperatorio impendentem urbibus tempestatem dissiparet. Itaque subornavit nonnullos, qui in urbes dimissi ante ipsius adventum inter hibernantes ibi milites rumorem spargerent, decrevisse consulem, ut præsidiarii in iisdem quique urbibus anno sequenti manerent, siquidem Campani manere eos vellent, bellum vero contra Samnites eum cum copiis gesturum esse, quas Roma secum eduxisset. Effecitque ut omnibus id persuaderetur. Deinde ubi ipse Campaniam venit cum toto exercitu, singulas urbes circumibat, et nominatim præsidiarios evocans distinguebat inter eos, qui conjurationis participes erant; blandisque unumquemque verbis alloquens, alios sacramento exsolvebat, quasi gratificans eos militia eximeret, alios legato et tribuno tradens per speciem militarium usuum ablegabat (et hi quidem omnium sceleratissimi erant, nec exauctorari volebant); jusserat autem ut Romam ducerentur, ibique alii ab aliis segregati clandestinis custodiis observarentur, usque dum ipse advenisset. Ceterum conjurati reputantes principes ipsorum omnes partim militia exsolvi, partim huc illuc dimitti, perspexerunt consilia sua emanasse, timorque animos incessit, ne, si hoc pacto separati essent armaque posuissent, Romam abducti judicia et pœnas essent subituri. Coeuntes igitur nonnulli dispiciebant quid faciendum esset. Tum proponente quodam de defectione sententiam, collaudantes id consilium et fidem mutuo sibi in occulto obstringentes, relictis castris haud procul a Tarracina urbe in locis idoneis ad ipsam viam considunt. Deinde ii qui cum legatis et tribunis ablegati erant, duces suos deserentes et ex ipsis ducibus nonnullos suadendo ad defectionem pertrahentes, eundem circa locum castra metantur. Qui quum semel transitus occupassent,

8. παρείληφεν ὅτι cod. — 9. αὐτοὺς cod. — 10. ἐπεὶ δὲ cod. Mox malim ἔπεισαν. — 11. τινὰς εἰσηγησαμένων cod. — 12. Ταρακινάπολιν cod Ad h. l. spectat Steph. Byz.: Ταρρακηνὰ (l. Ταρρακινὰ), πόλις Ἰταλίας. Διονύσιος πεντεκαιδεκάτῳ Ῥωμ.

(13) ἐγένετο περὶ αὐτοὺς καρτερά. Ἔπειτα τὰ δεσμωτήρια ἁπάντων (14), ὅσα κατὰ τοὺς ἀγροὺς ἦν, ἐλύετο καὶ συνέρρει.

Idem Cimon. c. 4, 6 : Στησίμβροτος δ' ὁ Θάσιος περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονὼς φησιν αὐτὸν οὔτε μουσικὴν οὔτε ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι, δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα· ταῦτα γὰρ ἔστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν.

Idem Stesimbrotus subesse videtur sequentibus: Εἰσὶ δ' οἱ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν· ἐπεὶ δὲ Καλλίας τῶν εὐπόρων τις Ἀθήνησιν ἐρασθεὶς προσῆλθε τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίνειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην.

οὔτε μουσικὴν] Longe aliter Ion. fr. 4.

4.

Ib. c. 14 : Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χερσόνησον ἐκλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο καταφρονοῦντες τοῦ Κίμωνος μετ' ὀλίγων παντάπασι τριήρων Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς τέσσαρσι μὲν ναυσὶ, τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν, ἐξελάσας δὲ τοὺς Πέρσας καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χερσόνησον. (2) Ἐκ δὲ τούτου Θασίους μὲν ἀποστάν-

---

2.

Eodem Themistocli Epicrates Acharnensis uxorem et liberos ejus misit, quos furtim Athenis adduxerat : ejusque facti causa post a Cimone in judicium pertractum hunc et morte affectum, Stesimbrotus scribit. Idem, nescio quo pacto, horum oblitus, aut oblitum fuisse Themistoclem judicans, postea scribit, eum inde in Siciliam navigasse, pollicitumque Hieroni tyranno, si filiam suam matrimonio sibi jungeret, velle se Græcos in potestatem ejus redigere, recusanteque Hierone, in Asiam abiisse. Hæc ita acta fuisse, non est verisimile.

3.

Stesimbrotus Thasius, qui iisdem fere quibus Cimon temporibus vixit, neque in musica eum, neque ulla alia liberali disciplina, quæ tum apud Græcos passim in usu erant, institutum fuisse affirmat : a facundia etiam Attica leporeque dicendi plane fuisse alienum : indole fuisse admodum generosa atque aperta, animoque magis Peloponnesio quam Attico, et quod de Hercule Euripides dicit,

Incultum, ineptum, in maximis rebus bonum :

hoc enim nobis licet addere iis quæ Stesimbrotus scripsit.

Sunt qui non furtim Elpinicam cum Cimone, sed palam contractis nuptiis consuetudinem habuisse dicant, quum ob paupertatem nullum sua nobilitate dignum inveniret maritum : quum autem Callias, unus ex locupletibus Atheniensibus, amore ejus captus accessisset, paratus mulctam Miltiadi irrogatam ærario publico pendere, et ipsam assensisse et Cimonem eam Calliæ nuptum dedisse.

4.

Quum Persarum quidam Chersoneso decedere nollent, sed Thraces supra accolentes sibi asciscerent, spreto Cimone, qui cum perpaucis triremibus Athenis solverat, facto in eos impetu, quattuor suis navibus tredecim ipsorum naves cepit, ejectisque Persis et superatis Thracibus, totam Cher-

τας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε καὶ τὴν πόλιν ἐξεπολιόρκησε καὶ τὰ χρυσεῖα τὰ πέραν Ἀθηναίοις προσεκτήσατο καὶ χώραν, ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. (3) Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιϐῆναι Μακεδονίας καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν, ὡς ἐδόκει, μὴ θελήσας αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι, καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. (4) Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφη προξενεῖν οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην, ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. (5) Μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτός φησι τὴν Ἐλπινίκην ὑπὲρ τοῦ Κίμωνος δεομένην ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος), τὸν δὲ μειδιάσαντα, « Γραῦς εἶ, φάναι, γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα· » πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

Eadem, non nominato Stesimbroto, iterum tangit Plutarch. in Pericle c. 10, ubi fortasse etiam antecedentia : ἔνιοι δέ φασιν... δύναμιν ὑπάρχειν ex eodem fonte fluxerunt.

5.

Plut. Cim. 16, 1 : Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων (ὁ Κίμων)· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· δι' ὃ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν.

Aliter rem narrat Diodorus Periegeta quem vide ap. Plutarch. l. l.

5.

Idem ib. c. 16, 5 : Ἔπειτα δυνατώτεροι γενόμενοι καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον ὁρῶντες ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν, « Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι. » Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν.

7.

Idem in Pericle c. 26, 2 : Ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις ἔπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσφερομένων, ἀπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον στελλόμενος· ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι. Ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν ἁμαρτεῖν ἔδοξε.

Caunum versus in Cariam contendit Pericles sec. Thucyd. I, 116, 3. Neque Diodorus XII, 27, 5, Cypri mentionem facit.

8.

Id. ib. c. 8, 9 : Ὁ δὲ Στησίμβροτός φησιν ὅτι τοὺς ἐν Σάμῳ τεθνηκότας ἐγκωμιάζων ἐπὶ τοῦ βήμα-

sonesum Atheniensium ditionis fecit. (2) Inde Thasios, qui ab Atheniensibus defecerant, navali pugna vicit, captis tribus et triginta hostium navibus, urbem expugnavit, aurique metalla, quæ ii in opposita continente possederant, Atheniensibus propria reddidit, agrumque, cui imperabant, Thasiis ademit. (3) Inde quum facile in Macedoniam irrumpere, agrumque sibi vindicare posset, quia id facere nolebat, culpatus est a rege Alexandro donis acceptis ita egisse, coitioneque inimicorum facta, in jus pertractus est. (4) Apud judices causam suam agens : Non Ionibus, inquit, neque Thessalis divitibus patrocinor, id quod alii faciunt, ut ab iis colantur muneribusque afficiantur, sed Lacedæmoniis, imitans eorum diligensque frugalitatem et temperantiam, quæ ego ante omnes divitias pono; lætor tamen, quod hostilibus bonis urbem ditaverim. (5) Stesimbrotus ubi hujus judicii meminit, Elpinicen ait deprecatum pro fratre ad Periclem (is enim erat accusatorum vehementissimus) accessisse : eumque subridentem respondisse : Vetula jam es, o Elpinice, et provectiori ætate, quam ut hujusmodi res conficere possis. Verumtamen in judicio eum in Cimonem fuisse benignissimum, semelque tantum, ut accusatione sibi mandata defungeretur, surrexisse.

5.

Fuit autem jam inde ab initio Lacedæmoniorum studiosus. Et narrat Stesimbrotus, duobus eum gemellis sibi ex Clitoria uxore natis, alteri Lacedæmonio, Eleo alteri nomen posuisse, ideoque iis Periclem sæpe maternum genus exprobravisse.

6.

Aucti jam opibus (Athenienses), quum Cimonem haud obscure Spartanis addictum cernerent, moleste id tulerunt. Passim enim Spartanorum laudes coram Atheniensibus prædicabat et præcipue, ut ait Stesimbrotus, sicubi eos reprehenderet aut cohortaretur, dicere solebat : At vero Lacedæmonii non tales sese gerunt. Ea re in offensas invidiamque civium incurrit.

7.

Sed postquam alia classis major Athenis venit, undique jam septis Samiis, cum triremibus sexaginta mare exterius petiit, ut Phœnicum navibus (hæc enim est majoris partis auctorum sententia) auxilio Samiis venientibus occurreret, ac quam longissime ab insula depugnaret, Stesimbrotus in Cyprum eum navigare voluisse ait, quod non videtur verisimile : utracunque ejus fuerit ratio, constat in eo peccasse ipsum.

8.

Stesimbrotus refert eum, quum in Samo mortuos pro con-

τος ἀθανάτους ἔλεγε γεγονέναι καθάπερ τοὺς θεούς· οὐ γὰρ ἐκείνους αὐτοὺς ὁρῶμεν, ἀλλὰ ταῖς τιμαῖς, ἃς ἔχουσι, καὶ τοῖς ἀγαθοῖς, ἃ παρέχουσιν, ἀθανάτους εἶναι τεκμαιρόμεθα· ταῦτ' οὖν ὑπάρχειν καὶ τοῖς ὑπὲρ τῆς πατρίδος ἀποθανοῦσιν.

9.

Plutarch. Pericl. c. 13, 14 : Οἱ κωμικοὶ πολλὴν ἀσέλγειαν αὐτοῦ (Περικλέους) κατεσκέδασαν... Καὶ τί ἄν τις ἀνθρώπους σατυρικοὺς τοῖς βίοις καὶ τὰς κατὰ τῶν κρειττόνων βλασφημίας ὥσπερ δαίμονι κακῷ τῷ φθόνῳ τῶν πολλῶν ἀποθύοντας ἑκάστοτε θαυμάσειεν, ὅπου καὶ Στησίμβροτος ὁ Θάσιος δεινὸν ἀσέβημα καὶ μυθῶδες ἐξενεγκεῖν ἐτόλμησεν εἰς τὴν γυναῖκα τοῦ υἱοῦ κατὰ τοῦ Περικλέους; Οὕτως ἔοικε πάντη χαλεπὸν εἶναι καὶ δυσθήρατον ἱστορίᾳ τἀληθὲς, ὅταν οἱ μὲν ὕστερον γεγονότες τὸν χρόνον ἔχωσιν ἐπιπροσθοῦντα τῇ γνώσει τῶν πραγμάτων, ἡ δὲ τῶν πράξεων καὶ τῶν βίων ἡλικιῶτις ἱστορία τὰ μὲν φθόνοις καὶ δυσμενείαις, τὰ δὲ χαριζομένη καὶ κολακεύουσα λυμαίνηται καὶ διαστρέφῃ τὴν ἀλήθειαν.

10.

Athenæus XIII, p. 589, D, E, de Pericle : Ἦν δ' οὗτος ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς αὐτῷ χρόνους γενόμενος καὶ ἑωρακὼς αὐτὸν, ἐν τῷ ἐπιγραφομένῳ Περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους.

11.

Plutarch. Pericl. c. 36, 2 : Ὁ γὰρ πρεσβύτατος αὐτοῦ τῶν γνησίων υἱῶν Ξάνθιππος φύσει τε δαπανηρὸς ὢν καὶ γυναικὶ νέᾳ καὶ πολυτελεῖ συνοικῶν, Τισάνδρου θυγατρὶ, τοῦ Ἐπιλύκου, χαλεπῶς ἔφερε τὴν τοῦ πατρὸς ἀκρίβειαν γλίσχρα καὶ κατὰ μικρὸν αὐτῷ χορηγοῦντος. Πέμψας οὖν πρός τινα τῶν φίλων ἔλαβεν ἀργύριον ὡς τοῦ Περικλέους κελεύσαντος. (3) Ἐκείνου δ' ὕστερον ἀπαιτοῦντος, ὁ μὲν Περικλῆς καὶ δίκην αὐτῷ προσέλαχε, τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τούτῳ χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα, πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἴκοι διατριβὰς αὐτοῦ καὶ τοὺς λόγους, οὓς ἐποίει μετὰ τῶν σοφιστῶν. (4) Πεντάθλου γὰρ Χαρίππου ἀκοντίῳ πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως καὶ κατακτείναντος, ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόντιον ἢ τὸν βαλόντα ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. (5) Πρὸς δὲ τούτοις καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τοῦ Ξανθίππου φησὶν ὁ Στησίμβροτος εἰς τοὺς πολλοὺς διασπαρῆναι καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῷ νεανίσκῳ πρὸς τὸν πατέρα παραμεῖναι τὴν διαφοράν· ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας.

Τίσανδρος] sic pro vulgata Ἴσανδρος scribendum, uti monet Sintenis., laudato Andocide Or. de pace § 29 et 147.

12.

Fulgent. Vocum antiqq. interpret. init. : *Sandapilam antiqui dici voluerunt feretrum mortuorum, id est loculum; non in quo nobilium corpora, sed in quo plebeiorum atque damnatorum cadavera portabantur : sicut Stesimbrotus Thasius de morte Polycratis Samiorum regis scripsit dicens : Posteaquam de cruce depositus sandapila etiam deportatus est.* — Pro *Thasius* codd. nonnulli *Stasius*. Quem habuerit Fulgentius Stesimbroti interpretem latinum quæro. Non magis constat de opere, ubi hæc Ste-

---

cione laudaret, dixisse, immortales eos esse factos ac deorum similes; ut enim hos non videant homines, sed ex honoribus tantum ac bonis quæ largiuntur, esse judicent immortales; ita his quoque evenisse, qui pro patria occubuerint.

9.

Comici multis conviciis Periclem insectati sunt. Quanquam quid attinet admirari homines instituto vitæ satyricos, quique obtrectationes potentium invidiæ vulgi, tanquam malo alicui genio, consecrare solerent, quando Stesimbrotus etiam Thasius atrox et fabulosum scelus Periclis in filii uxorem perpetratum ausus fuit comminisci? Adeo difficilis investigatu res est historia vera, quum posterioribus præteritum tempus cognitionem rerum præripiat; qui vero æquales sunt ejus, cujus vitam aut acta describunt, ii partim invidia odioque, partim gratificandi studio et adulatione corrupti, veritati officiant.

10.

Pericles ad rem veneream admodum proclivis fuit : qui etiam cum filii sui uxore rem habuit, ut tradit Stesimbrotus Thasius, qui iisdem temporibus vixit, illumque viderat, in libro cui titulus est De Themistocle et Thucydide et Pericle.

11.

Legitimorum enim ipsius filiorum natu maximus Xanthippus, homo tum natura sumptuosus tum mulieris juvenis et prodigæ maritus (erat hæc filia Tisandri, neptis Epilyci), patris parsimoniam ægre ferens, tenuiter ei sumptus et non confertim suppeditantis, misit qui ab amico quodam quasi jussu Periclis pecuniam peteret. (3) Eo deinde datam pecuniam reposcente, Pericles in judicium vocavit. Hoc Xanthippus adolescens indigne ferens, patrem conviciis insectatus est, primo per risum evulgans ejus studia domestica sermonesque cum rhetoribus habitos. Nempe quum Charippus quinquertio Epitimum Pharsalium jaculo imprudens confixisset, Periclem cum Protagora totum diem absumpsisse disceptando : jaculumne, an qui id jecisset, an vero præfecti ludorum rectius dicerentur causam ei casui præbuisse. Præterea calumniam de uxore sua in vulgus sparsam a Xanthippo Stesimbrotus ait, omninoque implacabilem discordiam usque ad mortem ei cum patre permansisse : peste enim periit Xanthippus.

simbrotus tradiderit. Num Thasius Samiorum historiam texuit, an librum scripsit talem fere, qualem Phanias composuit Τυράννων ἀναιρέσεις inscriptum? De morte Polycratis v. interprett. ad Herodot. III, 125; Valerius Max. VI, 9, 5. Ceterum cf. L. Lersch. De Fulgentio, Bonn. 1844, p. 36.

ΠΕΡΙ ΤΕΛΕΤΩΝ.

13.

Etym. M. p. 465, 30 : Ἰδαῖοι ἐκλήθησαν οἱ Δάκτυλοι ὅτι ἡ κόνις ἣν ἔρριψαν (sc. Jovis nutrices) ἐξ Ἴδης ἦν. Στησίμβροτος δὲ ἐν τῷ Περὶ τελετῶν Διὸς καὶ Ἴδης νύμφης αὐτοὺς λέγει* φησὶν ὅτι Ζεὺς ἐκέλευσε τὰς ἰδίας τροφοὺς λαβεῖν κόνιν καὶ ῥῖψαι εἰς τοὔπισω καὶ ἐκ τῆς κόνεως γενέσθαι τοὺς Ἰδαίους Δακτύλους.

Post λέγει lacunam indicavi. Nomen auctoris nescio cujus excidisse videtur. Cf. Welcker. *Trilog.* p. 179; Lobeck. Aglaoph. p. 1158.

Apollon. Rhod. I, 1129 :

Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε νύμφη
Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος, ἀμφοτέρῃσιν
δραξαμένη γαίης Οἰαξίδος, ἐβλάστησεν.

Ad hæc schol. : Ὅτι δὲ νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ (fr. 712) αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς Σατύροις.

Cf. Varro apud Serv. ad Virg. Ecl. I, 66 : « Varro ait : *Quos magno Anchiale partus adducta dolore Et geminis capiens tellurem OEaxida palmis* (*Edidit in Creta*. V. Poet. Min. tom. V, p. 3, p. 1412). » — Diomedes Gramm. III, p. 474 P. : *Aiunt Opem in Idam montem insulæ Cretæ fugiendo delatam manus suas imposuisse memorato monti et sic infantem ipsum edidisse, et ex manuum impressione emersisse Curetas sive Corybantas, quos a montis nomine et a qualitate facti Idæos Dactylos appellarunt.* — Καὶ ὅτι δ. τ. ῥ.] Hæc ad eam narrationem spectant, ex qua Dactyli e jactu pulveris Nympharum digitis sparsi nati nominatique dicuntur. Quare plura videntur omissa; et scholiast. et Etym. M. ex eodem fonte corrupto sua habere probabile est.

14.

Strabo X, p. 472 : Ἔτι δὲ Κρόνου τινὲς τοὺς Κορύβαντας, οἱ δὲ τοῦ Διὸς καὶ Καλλιόπης φασὶ τοὺς αὐτοὺς τοῖς Καβείροις ὄντας, ἀπελθεῖν δὲ τούτους εἰς Σαμοθράκην, καλουμένην πρότερον μελίτην· τὰς δὲ πράξεις αὐτῶν μυστικὰς εἶναι. Ταῦτα δ' οὐκ ἀποδεξάμενος ὁ Σκήψιος ὁ τοὺς μύθους τούτους συναγαγών, ὡς μηδενὸς ἐν Σαμοθράκῃ μυστικοῦ λόγου περὶ Καβείρων λεγομένου, παρατίθησιν ὅμως καὶ Στησιμβρότου τοῦ Θασίου δόξαν, ὡς τὰ ἐν Σαμοθράκῃ ἱερὰ τοῖς Καβείροις ἐπετελεῖτο· καλεῖσθαι δέ φησιν αὐτοὺς ἐκεῖνος ἀπὸ τοῦ ὄρους τοῦ ἐν Βερεκυντίᾳ Καβείρου.

Lege etiam quæ antecedunt ap. Strabonem. « Quorum hæc, ut conjicio, sententia est : Nonnulli Corybantes (incertum omnes an duntaxat aliquos) in Samothraciam abiisse memorant, et esse eosdem, qui in hac insula Cabiri nominentur, sed, quia Corybantum Phrygiorum vel Cretensium πράξεις h. e. opera et ministeria omnium sermone celebrantur, de Samothraciis autem Corybantibus nihil innotuit, dicere coacti sunt τὰς πράξεις αὐτῶν μυστικὰς εἶναι. Id autem impugnat Demetrius, in mysteriis nihil de Cabirorum rebus gestis tradi, neque ut Rheam comitati sint, neque ut Jovem Bacchumque educaverint, ideoque nullam causam esse cur Cabiri iidem Corybantes esse credantur. Mülleri (*Prolegg.* p. 150) conjectura pro μηδενὸς μυστικοῦ λόγου περὶ Καβείρων λεγ. substituentis περὶ Κουρήτων, non solum justo audacior, sed etiam a Demetrii argumentatione, quæ tota in Curetum Corybantumve et Cabirorum distinctione versatur, aliena videtur; nam quod sequitur οἱ δὲ Ἑκάτης προπόλους νομίζουσι τοὺς Κουρῆτας τοὺς αὐτοὺς τοῖς Κορύβασιν ὄντας, id Strabonis additamentum est, quo inchoatum de Curetibus sermonem absolvit. Nihilo magis probo quod alii subsequentia verba παρατίθησιν ὁμοίως sollicitant ὅμως præoptantes; nam illud ὁμοίως refertur ad præcedentia ὁ τοὺς μύθους συναγαγὼν τούτους, totumque enuntiatum hoc valet : *Demetrius ut cetera quæ huc pertinent, ita etiam Stesimbroti sententiam commemorat, sacra Samothracia Cabirorum in honorem instituta esse;* quæ Stesimbroti δόξα fuit. Hinc perspicuum fit non idem omnes sensisse; dissentientium vero non alia opinio esse potuit, quam ea sacra quæ ἱερὰ Καβείρων dicantur, hoc nomen habere quia a Cabiris condita et administrata fuerint, non quia Cabirorum causa

---

DE INITIIS.

13. Stesimbrotus in libro De Initiis Idæos Dactylos Jovis et Idæ nymphæ filios dicit.

Quod nympha quædam Œaxidem terram manibus prehendens Idæos Dactylos enixa sit, id Apollonius a Stesimbroto mutuatus est.

14.

Alii Corybantes Saturni prolem faciunt; sunt qui Jove et Calliope natos autument, eosdem cum Cabiris : eosque venisse in Samothracen, quæ antea Melita dicta sit : eorum actiones esse mysticas. Hæc non probans (Demetrius) Scepsius, qui fabulas istas collegit, quia in Samothrace nulla de Cabiris mystica narratio feratur, Stesimbroti tamen Thasii

fiant. Ea sine controversia Strabonis opinio fuit omniumque qui Cabiros divinarum ceremoniarum administros fuisse statuerunt, Corybantum, Dactylorum, Curetumque similes, h. e. deorum majorum paredros. Stesimbrotus vero contrarium decernit, eos esse deos sacrorum principes præsidesque. Unde intelligi oportet eum Cabiros nequaquam in numero dæmonum terrestrium et gregariorum duxisse, sed deorum consentium ordini adscriptos putasse, sive ille Mercurium Proserpinamque animo complexus est, sive alios cœlicolarum, qui in progressu sermonis e penetralibus evocabantur. » Lobeck Aglaoph. p. 1216. Cum his conf. quæ disputat Welck. *Trilog.* p. 235, 233. — ὄρους.. Καβείρου mons ignotus. Servius ad Æn. VI, 785: *Berecyntum, castellum Phrygiæ juxta Sangarium, ubi Mater deûm colitur.* Plura v. ap. Lobeck. l. l.

15.

Apostol. Prov. XIX, 65: Τυφλότερος ἀσπάλακος· τοῦτο τὸ ζῷον οὐκ ἔχει ὀφθαλμούς· φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς.

Eadem Arsenius, Photius, Suidas s. v. Cf. Leutsch. ad Diogenian. VIII, 309, ubi de talpa laudat Schneider, ad Aristot. H. A. IV, 8, 9, Ælian. H. A. XI, 37. — Hæc quoque in libris De mysteriis legi poterant.

16.

Etym. M. p. 277, v. Διόνυσος: Οἱ μὲν Διόνυξον αὐτὸν ὀνομάζουσιν, ὅτι σὺν κέρασι γεννώμενος (ὅτι κερατοφόρος ἐξελθὼν Tzetz. Lyc. 209) ἔνυξε τὸν Διὸς μηρὸν, ὡς Στησίμβροτος. Vide Steph. Thes. v. Διόνυξος.

17.

Schol. Apoll. Rh. I, 1304: Στησίμβροτος δέ φησιν (Boreadas ab Hercule interfectos esse) ὅτι διαφορὰν ἔσχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι.

ΠΕΡΙ ΟΜΗΡΟΥ.

18.

Iriart. Vit. Hom. p. 233: Ἀντίμαχος Κολοφώνιον, Στησίμβροτος δὲ Σμυρναῖον (τὸν Ὅμηρον γεγονέναι φασί). V. Nitzsch. Hist. Hom. II, p. 86; Welck. *Cycl.* p. 143.

Schol. ad Hom. Il. Λ, 636: Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης πλεῖον ἐὸν (sc. τὸ δέπας in anteced. descriptum), Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν]. Cur Nestorem potissimum poeta dixerit, quærunt. Στησίμβροτος μέν φησιν, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παραμόνιος ἡ ἰσχὺς, καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια· Ἀντιφάνης δὲ, οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει, ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον· Γλαῦκος δὲ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πᾶν εὔφορον. Eadem, sed manca, in Crameri Anecd. Paris. vol. III, p. 16, 14.

Id. ib. Φ, 76: Ἀποροῦσι πῶς ὁ ἱκετεύων (Lycaon vitam ab Achille precans) πρὸς τὸν Ἀχιλλέα ἔφη· « Πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτήν. » Τὸ γὰρ λέγειν, καθάπερ Στησίμβροτος, ὅτι οἱ βάρβαροι ἄλφιτα οὐκ ἐσθίουσιν, ἀλλ' ἄρτους κριθίνους, ψεῦδος. Eadem in Crameri An. Par. III, p. 27, 13.

Id. ib. Ο', 193, γαῖα δ' ἔτι κτλ.] Κράτης ἐν β' Ὁμηρικῶν καὶ Στησίμβροτος οὕτως δέδασται.

---

refert opinionem, qui sacrificia Samothracica instituta esse dicit in honorem Cabirorum qui nomen habeant a monte Berecyntiæ Cabiro.

15.

Talpa cæcior. Hocce animal non habet oculos. Id a Terra cæcum redditum propterea quod fruges perdat, tradit Stesimbrotus.

16.

Dionysum alii Dionyxum vocant, quod cornibus instructus dum a Jove ederetur femur ejus pupugerit, ut Stesimbrotus ait.

17.

Stesimbrotus ait Boreadas ab Hercule interfectos esse quod rixa iis esset cum Hercule de donis, quos a Iasone principes acceperant.

DE HOMERO.

18.

Antimachus Homerum fuisse Colophonium, Stesimbrotus Smyrnæum dicit.

HIPPIAS ELEUS.

Gorgiam Leontinum a Clemente Alexandrino ἱστορικόν appellari supra vidimus (p. 20); ibidem suspicati sumus Eudemum Parium, qui cum Gorgia componitur, non diversum esse ab Eueno sophista. Uterque Amelesagoram Atticarum fabularum narratorem expilasse dicitur. Quod ad declamationes spectare videtur, quales erant Gorgiæ Ἀπολογία ὑπὲρ Παλαμήδους et Ἑλένης ἐγκώμιον. Aliæ a Gorgia orationes habitæ sunt, quibus vere historicum argumentum suberat : Λόγον Ὀλυμπικὸν dico, Λόγον ἐπιτάφιον, nec non Ἐγκώμιον εἰς Ἠλείους. (Vide Geel. Hist. crit. Sophist. in Actis Nov. societ. Rheno-Traj. 1823; II, p. 31, Foss. De Gorgia, Halæ 1828.) Ejusdem de Homeri genere sententiam servavit Auctor Vit. Hom. Iriart. (v. fragm. Damastis); ejus de tragœdia judicium habes ap. Plutarch. De glor. Athen. p. 348. Porro in Cimonis Vita Plutarchus c. 10 : Γοργίας ὁ Λεοντῖνος φησὶ τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι ὡς μὲν χρῷτο, χρῆσθαι δὲ ὡς τιμῷτο. Verum ejusmodi res quavis occasione proferri potuerunt, neque ullum librum, quem historicum dicere liceat, a Gorgia scriptum esse accepimus. Idem valet de Prodico (*) et Protagora (**). Atque omnino triumviri veteris sophisticæ principes, ut propiores sapientiæ philosophicæ, sic ab historicis doctrinis alieniores fuisse videntur. Horum autem successores quum humani generis disciplinas ad unam omnes attingerent et in usus suos converterent, cum eloquentia etiam eruditionem historicam sociare summopere studuerunt. Inter eos eminet Hippias Eleus, sophistarum uti arrogantissimus, sic facile doctissimus : σωρὸν καὶ ἑσμὸν σοφίας dicit Themistius Or. XXIX, p. 345, D.

Suidas : Ἱππίας, Διοπείθους, Ἠλεῖος, σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. Ἔγραψε πολλά.

Geel. l. l. p. 181 : « De Hippiæ ætate nihil amplius affirmare licet, nisi eum fuisse Protagora multo juniorem (*) : hoc ipse testatur apud Platonem Hipp. maj. p. 96, C. Suida teste, in Ἱππίας, audivit Hegesidemum (**), de quo horum temporum philosopho vel sophista, nos ne fando quidem audivimus; vero simile quidem est, cum sui æqualibus sophistis versatum esse, quibuscum sane divertebat apud Calliam Atheniensem; vid. Plat. Protag. p. 195, E. Credendum est eum musicam a Lampro, rhetoricam ab Antiphonte Rhamnusio didicisse : Athenæus enim (X, p. 506, F), Ἐν δὲ τῷ Μενεξένῳ, inquit, οὐ μόνον ὁ Ἱππίας ὁ Ἠλεῖος χλευάζεται, ἀλλὰ καὶ ὁ Ῥαμνούσιος Ἀντιφῶν καὶ ὁ μουσικὸς Λάμπρος. In Platonis autem Menexeno Hippiæ nomen nusquam occurrit; sed Socrates rhetorum laudationes orationesque funebres videns, se has etiam facere posse gloriatur, quippe musicam edoctum a Conno, rhetoricam ab Aspasia : Οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα (inquit p. 236, A) οὐδὲν θαυμαστὸν δεινὸν εἶναι λέγειν· ἀλλὰ καὶ ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθεὶς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. Quodsi Athenæus tam certo scivit, Hippiam a Platone tacite designari, necesse est aliunde illi innotuerit, hos præceptores Hippiam habuisse.

« Minus frequenter Athenis commorabatur, in quam urbem se raro venire simulat, propter infinitum legationum obeundarum laborem. Vid. Hipp. maj. p. 95, D; Xenophon. Mem. IV, 4 : Διὰ χρόνου ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῷ Σωκράτει. Itaque veteres sophistas per Græciam circumvagantes sectatus sit, aut alios etiam artium magistros, jam tum in quovis genere orientes, diligenter audiverit, e quorum institutione, quum

(*) Aristot. Rhet. II, 23 : Ἄλλος (τόπος) ἀπὸ τοῦ ὀνόματος... ὡς Κόνων Θρασύβουλον θρασύβουλον, καὶ Ἡρόδικος Θρασύμαχον, ἀεὶ θρασύμαχος εἶ, καὶ Πῶλον, ἀεὶ σὺ πῶλος εἶ. Ad hæc Schol. ὁ δὲ Ἡρόδικος Ἀθηναῖος ἱστορικός. At de Atheniense H. nihil constat. In aprico est sophistam intelligi, vel Herodicum Selymbrianum, medicum artisque gymnasticæ magistrum (Plato Phædr. p. 227, D, Protag. 316, E, Rep. 406 A, v. Geel. l. l.; C. Hermann. ad Lucian. De conscr. hist. c. 35, p. 267. Alius Herodicus, Gorgiæ frater, memoratur Platoni in Gorg. p. 448, B.); vel pro Ἡρόδικος scribendum Πρόδικος, uti censet Spengel. Συναγ. τεχν. p. 94, assentiente Welkero in *Rhein. Mus.* tom. I, p. 563 sq. Frequens horum nominum confusio. Cf. Welk. Cycl. p. 255.

(**) Commentarios historicos (*Memoirische Arbeiten*) a Protagora compositos esse putat Roscher. (*Clio* p. 294), laudato Plutarcho Consolat. ad Apollon. c. 33, ubi est Protagoræ locus de animi constantia et altitudine quam post amissos filios Pericles ostenderit. Sed hæc percommode referas ad librum Περὶ ἀρετῶν (Diog. L. IX, 51. Geel. l. l. p. 84), in quo præcepta exemplis philosophus illustraverit. Aliis rebus historicis locum dedit liber Περὶ πολιτείας.

(*) Uxor Hippiæ fuit Plathane, ex eaque tres genuerat filios, quorum natu minimus Aphareus. Hunc adoptavit, Plathanenque viduam Isocrates jam senex uxorem duxit, teste Plutarch. Dec. Orat. IV, §. 41, p. 1022 ed. Didot. (Cf. Westermann. *Gesch. d. gr. Bereds.* § 48, 8.) Igitur Hippias Platone multo antiquior esse non potuit.

(**) *Hegesidemum* quendam Cythnium laudat Plin. H. N. IX, 8, de Delphinum erga homines amore. Eadem Solin. c. 18.

felicissima valeret memoria (Plato Hipp. maj. p. 97, E (*); Philostrat. V. Sophist. p. 597), ita profecerit, ut omnem artium disciplinarumque ambitum complecteretur, neque eas tantum, quæ sola vi ingenii excolerentur, verum etiam quæ manuum artificio exercerentur, probabiliter novisset (Hipp. min. p. 230, B, et 231, G (**) coll. Philostr. l. l.). Quo factum est ut a civitate sua idoneus haberetur aliquam reipublicæ curam gerendo (***), sæpiusque legatus tum ad alias urbes, tum inprimis Lacedæmonem mitteretur. Plato l. l. Ac per ipsam quidem harum legationum opportunitatem, suam doctrinam divenditabat : Athenis, ubi a Platone (****) et Xenophane sermonem cum Socrate habens fingitur; in Sicilia, ubi e regione quadam Inyca, magna institutionis mercede poscenda, ingentem pecuniam coegit (Plato l. l. 96, C, et Philostrat. l. l.); Lacedæmone, ubi quum homines minus avidos harum deliciarum deprehenderet, magis austero utebatur dicendi genere gravioribusque loquendi argumentis, rerum publicarum genera recensens, de coloniis operibusque publicis disputans : Περὶ τῶν γενῶν, ὦ Σώκρατες, τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων καὶ τῶν κατοικίσεων, ὡς τὸ ἀρχαῖον ἐκτίσθησαν αἱ πόλεις, καὶ συλλήβδην πάσης τῆς ἀρχαιολογίας ἥδιστα ἀκροῶνται (*****), ὥστ' ἔγωγε δι' αὐτοὺς ἠνάγκασμαι ἐκμεμαθηκέναι καὶ μεμελετηκέναι πάντα τὰ τοιαῦτα. Hæc ipse Hippias ap. Plat. p. 97, E (275). »

Hactenus de vita Hippiæ. Quæ præterea de vanitate viri et jactantia deque placitis ejus et dicendi genere ex dialogis Platonis erui possunt, apud ipsum Geelium legere est. Cf. Brandis. *Gesch. d. Philos.* tom. I, p. 545, et Heindorf. et Stallbaum. ad Platon. Hipp. maj.

Scripta, quæ Hippiæ Eleo tribuuntur, novimus duo, Συναγωγήν (fr. 1) et Ἀναγραφὴν Ὀλυμπιονικῶν (fr. 2). His addendæ sunt Ἐθνῶν ὀνομασίαι (fr. 3), si quidem recte conjeci apud schol. Ap. Rh. III, 1079 pro Ἱ. ὁ Δήλιος scribendum esse Ἱ. ὁ Ἠλεῖος. Similiter Osannus l. l. pro Hippia *Thasio* ap. Aristotelem reponi vult *Eleum* (*). — Quæ ex Συναγωγῇ Athenæus citat, ea sunt de Thargelia, cunno celeberrimo. Hinc si concludere aliquid licet, Συναγωγὴν fuisse putaverim τῶν ἐνδόξων γυναικῶν (**). Accedit quod ejusmodi libri indoles bene quadrat cum Catalogo Olympionicarum et cum opere de Nominibus populorum. Neque aliena hujus generis argumenta a studiis sophistarum fuisse vel inde colligas, quod Polus quoque Catalogum eorum, qui ante Trojam pugnarunt, texuisse ferebatur (v. fragm. Damastæ). Aliter statuit Bode (*Gesch. d. ep. Dichtk.* p. 28), qui Hippiam in Συναγωγῇ de pulchro et venusto disputasse censet. Contra Osannus l. l. declamationes ab Hippia paratas et scriptas postea ab aliquo collectas, eamque collectionem Συναγωγή inscriptam esse statuit. Tu videas. — Quæ reliqua ex Hippia afferuntur, certis libris vel declamationibus assignare non licet.

(*) Ἅπαξ ἀκούσας πεντήκοντα ὀνόματα ἀπομνημονεύω.

(**) Socrates ad Hippiam : Ἔφησθα δὲ ἀφικέσθαι πότε εἰς Ὀλυμπίαν, ἃ εἶχες περὶ τὸ σῶμα ἅπαντα, σαυτοῦ ἔργα ἔχων. Πρῶτον μὲν δακτύλιον (ἐντεῦθεν γὰρ ἤρχου) ὃν εἶχες, σαυτοῦ ἔχειν ἔργον· ὡς ἐπιστάμενος δακτυλίους γλύφειν· καὶ ἄλλην σφραγῖδα, σὸν ἔργον, καὶ στλεγγίδα, καὶ λήκυθον, ἃ αὐτὸς εἰργάσω· ἔπειτα ὑποδήματα ἃ εἶχες, ἔφησθα αὐτὸς σκυτοτομῆσαι, καὶ τὸ ἱμάτιον ὑφῆναι, καὶ τὸν χιτωνίσκον· καὶ (ὅ γε πᾶσιν ἔδοξεν ἀτοπώτατον, καὶ σοφίας πλείστης ἐπίδειγμα) ἐπειδὴ τὴν ζώνην ἔφησθα τοῦ χιτωνίσκου, ἣν εἶχες, εἶναι μὲν οἷαι αἱ Περσικαὶ τῶν πολυτελῶν, ταύτην δὲ αὐτὸς πλέξαι. Πρὸς δὲ τούτοις ποιήματα ἔχων ἐλθεῖν, καὶ ἔπη καὶ τραγῳδίας καὶ διθυράμβους καὶ καταλογάδην πολλοὺς λόγους καὶ παντοδαποὺς συγκειμένους· καὶ περὶ τῶν τεχνῶν δὴ ὧν ἄρτι ἐγὼ ἔλεγον, ἐπιστήμων ἀφικέσθαι διαφερόντως τῶν ἄλλων, καὶ περὶ ῥυθμῶν καὶ ἁρμονιῶν καὶ γραμμάτων ὀρθότητος. Modo teneas Socratem esse, qui hæc jactet. Cf. Cicero De orat. III, 32.

(***) Hippias maj. p. 95, D (285) : Ἡ γὰρ Ἦλις, Hippias inquit, ὅταν τι δέηται διαπράξασθαι πρός τινα τῶν πόλεων, ἀεὶ ἐπὶ πρῶτον ἐμὲ ἔρχεται τῶν πολιτῶν, αἱρουμένη πρεσβευτήν, ἡγουμένη δικαστὴν καὶ ἄγγελον ἱκανώτατον εἶναι τῶν λόγων, οἳ ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται.

(****) Athenæus V, p. 218, C : Ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν συμπαρόντα ποιεῖ ἐν τῷ Πρωταγόρᾳ, μετά τινων ἰδίων πολιτῶν· οὓς οὐκ εἰκὸς ἐν Ἀθήναις ἀσφαλῶς διατρίβειν πρὸ τοῦ τὰς ἐνιαυσίας ἐπὶ Ἰσάρχου (Ol. 89, 1. a. C. 424) Ἐλαφηβολιῶνος συντελεσθῆναι σπονδάς. Sequentia ap. ipsum legas.

(*****) Philostrat. V. Soph. p. 495 dicit Hippiam in ceteris Græciæ urbibus sermones instituisse de geometria, astronomia, musica, historia naturali, pingendi arte : ἐν Λακεδαίμονι δὲ γένη τε διῄει πόλεων καὶ ἀποικίας καὶ ἔργα, ἐπεὶ οἱ Λακεδαιμόνιοι διὰ τὸ βούλεσθαι ἄρχειν τῇ ἰδέᾳ ταύτῃ ἔχαιρον. De his Lacedæmoniorum deliciis cf. Osann. *Beitræge z. Gesch. d. gr. u. r. Lit.* II, p. 26; Idem in *Rhein. Mus.* 1843, p. 495 sq. : *Der Sophist Hippias als Archæolog.*

(*) Aristot. Poet c. 25 (26 Herm.) Hippiæ *Thasii* emendationes affert duorum locorum Homeri (Iliad β', 15 et ψ, 328. Cf. Wolf Prolegg. p. 168, ubi Hippiæ acumen Loyolæ artibus dignum tribuit). Aliunde de Thasio isto non constat. Eleum vero multum in Homeri carminibus versatum esse scimus (V. Cic. De orat. III, 12, *et quæ* disputat Spengel. Art. script. p. 60). Quare Osannus l. l. p. 510 nomen ΗΛΕΙΟC abiisse censet in ΘΑCΙΟC. Id quod veri simillimum. Corruptio tamen antiqua, ut patet ex Alexandro Aphrodis. ad Aristot. Elench. Sophist. IV, 8 (ubi Ar. eadem repetit non nominato auctore) fol. 12. — Præterea memoratur *Hippias Erythræus*, incertæ ætatis scriptor, qui patriæ historiam composuit (Athen. p. 258, F). De hoc, suo loco.

(**) Sic Istri Συναγωγὴ citatur simpliciter, quam alii plenius dicunt Σ. Ἀττικὴν vel τῶν Ἀτθίδων. Quamquam idem etiam Συναγωγὴν τῶν Κρητικῶν θυσιῶν scripserat.

ΣΥΝΑΓΩΓΗ.

1.

Athen. XIII, p. 609, A : Ἐπὶ κάλλει δὲ... διαβόητοι γεγόνασι γυναῖκες, Θαργηλία ἡ Μιλησία, ἥτις καὶ τεσσαρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφὴ, ὥς φησιν Ἱππίας ὁ σοφιστὴς ἐν τῷ ἐπιγραφομένῳ Συναγωγῇ.

Osannus suspicatur Hippiæ de Thargelia narrationem fontem fuisse eorum, quæ seriores scriptores de eadem muliere fabulantur. V. Plutarch. Pericl. c. 24; Anonym. De mulier. in *Bibl. f. alte K. u. W.* 6, p. 22 (Westermann. Paradox. p. 217); Lucian. Eunuch. c. 7; Suidas, Hesych. Etym. M. v. Θαργήλια; Æchinis Socrat. dialogus Περὶ τ. Θαργ. ap. Philostrat. V. S. p. 919, Diog. L. II, 7, 3, de quo plura v. ap. Osann. p. 504 sq.

ΟΛΥΜΠΙΟΝΙΚΩΝ ΑΝΑΓΡΑΦΗ.

2.

Plutarch. Numa c. 1 : Τῶν Ὀλυμπιονικῶν... τὴν ἀναγραφὴν ὀψὲ φασὶν Ἱππίαν ἐκδοῦναι τὸν Ἠλεῖον, ἀπ' οὐδενὸς ὁρμώμενον ἀναγκαίου πρὸς πίστιν.

Ἠλεῖον] Δήλιον voluit Meziriacus, sine causa. Agnoscis levitatem sophistæ. De declamationibus Hippiæ Olympicis v. Platon. Hip. min. init., Lucian. Herodot. c. 3. Confer etiam Pausaniam V, 24, ubi loquitur de signis chori puerorum, quæ Messenii naufragi posuerant : Τὸ μὲν δὴ ἐπίγραμμα ἐδήλου τὸ ἀρχαῖον, ἀναθήματα εἶναι τῶν ἐν πόρθμῳ Μεσσηνίων· χρόνῳ δὲ ὕστερον Ἱππίας ὁ λεγόμενος ὑπὸ Ἑλλήνων σοφὸς, τὰ ἐλεγεῖα ἐπ' αὐτοῖς ἐποίησεν. Cf. Osann. l. l. p. 498.

ΕΘΝΩΝ ΟΝΟΜΑΣΙΑΙ.

3.

Schol. Apoll. Rhod. III, 1079 : Ἱππίας δὲ ὁ Δήλιος (scr. videtur Ἠλεῖος) ἐν Ἐθνῶν ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι Σπάρτους. Idem statuit Dionysius (Samius fr. 2) ap. schol. Eur. Phœn. p. 670. Ad eundem librum pertinere videntur sequentia.

4.

Eustath. ad Dionys. 270 : Ἱππίας ἀπὸ Ἀσίας καὶ Εὐρώπης τῶν Ὠκεανίδων τὰς Ἠπείρους καλεῖ.

Schol. ad. l. l. : Ἱππίας μέντοι φησὶν ἀπὸ τῶν Ὠκεανοῦ θυγατέρων (sc. nomen habere Asiam et Europam)· δύο γὰρ Ὠκεανίδας πρότερον γενέσθαι, Ἀσίαν καὶ Εὐρώπην, ἀφ' ὧν τὰς χώρας εἰρῆσθαι.

5.

Schol. Pindar. Nem. VIII, 53 : Quattuor commemorant urbes Ephyræ nomine : τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἱππίας μνημονεύει. Cf. Apollodor. fr. 170.

Sequuntur quæ certis libris assignari nequeunt.

6.

Clem. Al. Strom. VI, p. 265, 5 Sylb. : Ἀλλ' ἵνα μὴ ἐπιπλέον προΐῃ ὁ λόγος φιλοτιμουμένων ἡμῶν τὸ ἐνεπίφορον εἰς κλοπὴν τῶν Ἑλλήνων κατὰ τοὺς λόγους τε καὶ τὰ δόγματα ἐπιδεικνύναι, φέρε ἄντικρυς μαρτυροῦντα ἡμῖν Ἱππίαν τὸν σοφιστὴν τὸν Ἠλεῖον, ὃς τὸν αὐτὸν περὶ τοῦ προκειμένου μοι σκέμματος ἥκειν λόγον, παραστησώμεθα ὧδέ πως λέγοντα·

« Τούτων ἴσως εἴρηται τὰ μὲν Ὀρφεῖ, τὰ δὲ Μουσαίῳ κατὰ βραχὺ, ἄλλῳ ἀλλαχοῦ, τὰ δὲ Ἡσιόδῳ, τὰ δὲ Ὁμήρῳ, τὰ δὲ τοῖς ἄλλοις τῶν ποιητῶν, τὰ δὲ ἐν συγγραφαῖς, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροις· ἐγὼ δὲ ἐκ πάντων τούτων τὰ μέγιστα καὶ ὁμόφυλα συνθεὶς, τοῦτον καινὸν καὶ πολυειδῆ τὸν λόγον ποιήσομαι. »

COLLECTIO.

1.

Ob formæ speciem claræ mulieres fuerunt : Thargelia Milesia, quæ quattuordecim viris nupsit, formosa admodum et sollers, ut ait Hippias Sophista in libro *Synagoge* inscripto.

OLYMPIONICARUM RECENSUS.

2.

Olympionicarum Recensum sero demum aiunt Hippiam Eleum edidisse, nullis tamen fultum argumentis ad fidem faciendam necessariis.

NOMINA GENTIUM.

3.

Hippias Eleus in Nominibus gentium populum quendam dicit appellari Spartos.

4.

Hippias ab Asia et Europa Oceani filiabus continentes nomen habere ait.

5.

Ephyra tertia circa Elin sita est; meminit ejus Hippias.

6.

Sed ne nostra longius procedat oratio, dum hoc agimus ut ostendamus, quam sint Græci proclives ad furtum et in orationibus et in dogmatibus, age adducamus Hippiam sophistam Eleum, qui aperte nobiscum facit, et id ipsum tractabat, quod ad considerandum nobis est propositum. Sic autem dicit : « Ex his fortasse dicta sunt alia quidem ab Orpheo, alia a Musæo breviter, alia alibi : alia autem ab Hesiodo, alia ab Homero, alia ab aliis poetis; alia ab iis quæ scripta sunt soluta oratione; alia a Græcis, alia a barbaris. Ego autem quum ex his omnibus ea, quæ sunt maxima et ejusdem generis, composuero, hanc novam et multiformem conficiam orationem. »

Hæc ex procemio declamationis alicujus. — Lobeck. Aglaoph. p. 337 : « Horum auctorem eum esse qui præfertur, nihil dubitat Ebertus (Diss. Sic. p. 8), equidem præstare nolim. » Judicii causam non perspicio. Ceterum locus l. ad judicandam rationem qua argumenta sua tractarint sophistæ, apprime accommodatus.

7.

Argument. ad Sophoclis Œd. Tyr. : Ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταὶ τοὺς πρὸ τῶν Τρωικῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. — Cf. Suidas v. Τύραννος.

Primum τύραννον innuit Gygen (Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν, sc. quo Gyges regnavit, χρόνον γενόμενος Herodot. I, 12). Clem. Alex. Strom. I, p. 389 Sylb. : Εὐφορίων ἐν τῷ περὶ Ἀλευαδῶν κατὰ Γύγην αὐτὸν (Ὅμηρον) τίθησι γεγονέναι· ὃς βασιλεύειν ἤρξατο ἀπὸ τῆς ιη' Ὀλυμπιάδος· ὃν καί φησι πρῶτον ὠνομάσθαι τύραννον. Cf. Ebert. Sicul. p. 1 et 9 sqq.

8.

Vit. Homeri ed. Iriarte p. 233 : Ἱππίας καὶ Ἔφορος Κυμαῖον (τὸν Ὅμηρόν φησι γεγονέναι).

Eleum Hippiam, neque alium, intelligendum esse recte contendit Welcker. *Cycl.* p. 143, not. 167. — Fortasse hæc petita sunt ex oratione de studiis quibus juvenem incumbere decet, quam habuerat Lacedæmone. V. Plato Hipp. maj. p. 97, F (286), ubi Hippias loquitur hunc in modum : Περὶ δὲ ἐπιτηδευμάτων καλῶν καὶ ἔναγχος αὐτόθι (Spartæ) ηὐδοκίμησα διεξιὼν ἃ χρὴ τὸν νέον ἐπιτηδεύειν. Ἔστι γάρ μοι περὶ αὐτῶν πάγκαλος λόγος συγκείμενος, καὶ ἄλλως εὖ διακείμενος καὶ τοῖς ὀνόμασι. Πρόσχημα δέ μοί ἐστι καὶ ἀρχὴ τοιάδε τις τοῦ λόγου· ἐπειδὴ ἡ Τροία ἥλω, λέγει ὁ λόγος ὅτι Νεοπτόλεμος Νέστορα ἔροιτο ποῖά ἐστι καλὰ ἐπιτηδεύματα, ἃ ἄν τις ἐπιτηδεύσας νέος ὢν δοκιμώτατος γένοιτο. Μετὰ ταῦτα δὴ λέγων ἐστὶν ὁ Νέστωρ καὶ ὑποτιθέμενος αὐτῷ πάμπολλα νόμιμα καὶ πάγκαλα. Deinde dicit : in eadem oratione καὶ ἄλλα πολλὰ καὶ παντοδαπὰ ἐπιδέδεικται καὶ περὶ ποιητῶν καὶ ἄλλων καὶ περὶ Ὁμήρου. — Ex hoc loco sua effinxit Philostratus Vit. Soph. I, 11, p. 495 : Ἔστι δὲ αὐτῷ (Ἱππίᾳ) καὶ Τρωικὸς διάλογος, οὐ λόγος· ὁ Νέστωρ ἐν Τροίᾳ κ. τ. λ. V. Geel. p. 191, Osann. l. l. p. 508.

9.

Plutarch. Lycurg. c. 23 : Αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον στρατηγιῶν.

10.

Diogen. L. I, 25, de Thalete : Ἀριστοτέλης δὲ καὶ Ἱππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχὰς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. V. Brandis. *Gesch. d. gr. Philos.* I, p. 119.

11.

Schol. Arat. Phæn. 172 : Ἱππίας δὲ καὶ Φερεκύδης (fr. 46) ζ' (Hyadas esse dicunt).

12.

Schol. Pind. Pyth. IV, 288 : Ταύτην (Phrixi novercam) ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημωτικήν φησιν, Ἱππίας δὲ Γοργῶπιν. Cf. Pherecyd. fr. 52, ubi pro *matrem* scribe *novercam.*

13.

Stobæus Flor. XXXVIII, 32, ex Plutarcho : Ἱππίας λέγει δύο εἶναι φθόνους, τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῇ τιμωμένοις, τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς· καὶ διπλᾶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς. Cf. Æschyl. Agam. 843.

7.

Notandum est poetas posthomericos reges antetrojanos appellare *tyrannos*, quum sero demum hocce nomen apud Græcos percrebuerit, Archilochi temporibus, uti Hippias sophista tradit.

8.

Hippias et Ephorus Homerum Cumanum fuisse perhibent.

9.

Lycurgum Hippias sophista dicit bellicosissimum atque peritia imperatoria insignem fuisse.

10.

Aristoteles et Hippias tradunt Thaletem etiam rebus inanimatis animas tribuisse, et argumentum ejus sententiæ petiisse a magnete lapide et ab electro.

11.

Hippias et Pherecydes septem Hyadas esse dicunt.

12.

Phrixi novercam Pindarus in Hymnis Demoticen, Hippias Gorgopin esse dicit.

13.

Hippias ait duo esse genera invidiæ : alterum justæ, si quis malis et tamen honoratis invideat; alterum injustæ, si quis bonis invideat. Ac duplici malo invidi afficiuntur; nam non solum sua damna dolent, uti reliqui, sed etiam bona aliena.

14.

Idem ibid. XLII, 10, ex eodem Plutarcho : Ἱππίας φησὶν ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων, ὅτι οὐδὲ τιμωρία τις κατ' αὐτῶν γέγραπται ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν· καὶ ἄριστον ὂν κτῆμα τὴν φιλίαν κλέπτουσιν, ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς, διὰ τὸ μὴ ἀφανὴς εἶναι.

15.

Phrynichus p. 312 : Παρκαθήκην Ἱππίαν καὶ Ἴωνά τινα συγγραφέα φασὶν εἰρηκέναι, ἡμεῖς δὲ τοῦτο παρακαταθήκην ἐροῦμεν, ὡς Πλάτων καὶ Θουκυδίδης καὶ Δημοσθένης.

14.

Hippias ait, ingens malum esse calumniam, propterea quod nulla legibus in calumniatores scripta sit pœna, sicuti est in fures : nam amicitiam, quod bonum est optimum, suffurantur, adeo ut insolentia, etsi multorum malorum causa, tamen justior sit calumnia, quia non est clandestina.

15.

Παραθήκην Hippiam et Ionem scriptorem quendam dixisse aiunt; nos id dicimus παρακαταθήκην (*depositum*), ut Plato, Thucydides et Demosthenes.

DAMASTES SIGEENSIS.

Dionys. Hal. Jud. de Thuc. c. 5 : Ὀλίγῳ πρεσϐύτεροι τῶν Πελοποννησιακῶν καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας Ἑλλάνικός τε ὁ Λέσϐιος καὶ Δαμάστης ὁ Σιγειεὺς, καὶ Ξενομήδης ὁ Χῖος καὶ Ξάνθος ὁ Λυδὸς καὶ ἄλλοι συχνοί.

Suidas : Δαμάστης, Σιγειεὺς ἀπὸ Σιγείου τῆς Τρωάδος, Διωξίππου υἱὸς, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότῳ, [τῶν πλουσιωτάτων,] ἱστορικός. Γέγραφε Περὶ τῶν ἐν Ἑλλάδι γενομένων, Περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιϐλία δύο, Ἐθνῶν κατάλογον καὶ πόλεων, Περὶ ποιητῶν καὶ σοφιστῶν, καὶ ἄλλα συχνά. Γέγονε δ' Ἑλλανίκου μαθητής.

Πλουσιωτάτων] Mss. Paris., editt. Mediolan. et Veneta; παλαιοτάτων editt. Basil. et Genev. — σύγχρ. Ἡρ.· χρονογράφος, γέγραφε κτλ. Eudoc. p. 127.

Idem : Πῶλος, Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου, ἔγραψε Γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρϐάρων, καὶ πῶς ἕκαστος ἀπήλλαξε· τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι. Νεῶν κατάλογον. Περὶ λέξεως. Cf. Eudocia p. 355.

Agathemerus I, 1 : Ἀναξίμανδρος ὁ Μιλήσιος, ἀκουστὴς Θάλεω, πρῶτος ἐτόλμησε τὴν οἰκουμένην ἐν πίνακι γράψαι. Μεθ' ὃν Ἑκαταῖος ὁ Μιλήσιος, ἀνὴρ πολυπλάνης διηκρίϐωσεν ὥστε θαυμασθῆναι τὸ πρᾶγμα. Ἑλλάνικος γὰρ ὁ Λέσϐιος ἀνὴρ πολυΐστωρ, ἀπλάστως παρέδωκε τὴν ἱστορίαν. Εἶτα Δαμάστης ὁ Κιττιεὺς (scr. ὁ Σιγειεὺς) τὰ πλεῖστα ἐκ τοῦ Ἑκαταίου μεταγράψας Περίπλουν ἔγραψε.

Porphyrius lib. I Φιλολ. ἀκροασ. ap. Euseb. Pr. E. p. 466 : Τὰ βαρϐαρικὰ νόμιμα Ἑλλανίκου ἐκ τῶν Ἡροδότου καὶ Δαμάστου (vulg. Δαμάσου); συνῆκται.

Avienus Oræ mar. 42 veteres geographos recensens post Hecatæum, Hellanicum, Phileam et ignotum aliunde Pausimachum Samium ponit *Damastem nobili natum Sige.*

Damastes (*) Sigeensis Herodoti æqualis fuisse dicitur; equidem supparem potius dixerim, quandoquidem discipulum esse volunt Hellanici, vicini Lesbii. Nihil tamen premo verba grammatici, quum fama ista inde orta esse possit, quod in operibus suis Damastes Hellanici maxime vestigia legerit. Idque fragmentis comprobatur (fr. 1. 5. 6).

Nobilis generis divitias testari videtur Suidas verbis τῶν πλουσιωτάτων : nam alterius lectionis (τῶν παλαιοτάτων) auctoritas est pæne nulla, quamquam acquiescendum ea putavit vir doctus in Museo crit. Cantabrig. tom. II, p. 108. At nemo negabit verbis τῶν πλουσ. insoliti aliquid inesse; accedit quod omittuntur ab Eudocia. Nescio an ex antedentibus τῶν Πελοποννησιακῶν parum distincte scriptis nata sint. Corrupta esse et loco mota etiam Bernhardyus censet. « Jam in continuis, ait, liber Περὶ τῶν ἐν Ἑλλ. γεν. quum argumentum aut obscurum ostendat aut incredibile, placet inscriptionem sic resarciri, περὶ τῶν ἐν Ἑλλάδι γενομένων ἀρχαιοτάτων [γενῶν vel ἐθνῶν]. Atque haud scio an infra posita ἐθνῶν κατάλογον καὶ πόλεων huc referenda sint. » Hæc ille; atque laborare titulum π. τ. ἐν Ἑλλ. γεν. mihi quoque persuasum est, quum Ἑλληνικὰς ἱστορίας vix quisquam eo modo indicaverit. Deletis γενομένων περὶ, scripserim περὶ τῶν ἐν Ἑλλάδι γονέων etc., quibus opposita erat altera operis pars de *Barbaris,* qui ante Trojam pugnaverint. Hujus enim mentionem Suidas, quum s. v. Δαμάστης omiserit, v. Πῶλος meminisse non neglexit. — Opus quoniam duobus libris absolutum est, Damastes breviter rem tractasse ac fila genealogica texuisse habuerit satis. De eodem loco postea amplissimum opus composuit Demetrius Scepsius, quem secutus est Apollodorus Atheniensis. Ceterum qui factum sit ut Damastis liber ab aliis Polo, Gorgiæ discipulo, adscriberetur, haud liquet. Argumentum ejus accommodatum sane erat, quo tractando eruditionem sophista ostenderet.

Sequitur ap. Suid. v. Πῶλος, Νεῶν κατάλογος, qui cum antecedente opere non potuit non conjunctus esse; v. Δαμάστης sequitur Ἐθνῶν κατάλογος καὶ πόλεων : suspiceris νεῶν κατάλογος· περίπλους; at domanda conjectandi prurigo : nam recte hæc sese habere videntur, quum Damastes Περὶ ἐθνῶν citetur Stephano Byz. (fr. 1.) Ab hoc libro non diversus qui ab Agathemero memoratur Περίπλους. — Ad librum Περὶ ποιητῶν καὶ σοφιστῶν retuli fragm. 8 de majoribus Homeri. Inter ea, quæ deinceps a Suida ponuntur ἄλλα συχνά, fuerint libri Περὶ εὑρημάτων (fr. 9) et chronologica quædam, si quidem recte Damastes ab Eudocia χρονολόγος appellatur. Fragmentum habemus de die quo Troja expugnata sit. Fortasse etiam in libro De poetis ad chronologicum maxime rerum ordinem (secundum seriem sacerdotum Junonis Argivæ?) recte constituendum auctor attenderat.

(*) De Damaste vel Damaso, fratre Democriti, Damasippi filio, v. Mullach. Fragm. Democrit. p. 36 sqq. — Alium Damastem habes in Plutarcho (Thes. c. 11). — *Damasos* varios v. in Steph. Thes. s. v.

Quod attinet Hellanici Νόμιμα βαρβαρικά, quæ ex Damastis libris Porphyrius conflata esse opinatur, vide quæ dixi in Vita Hellanici.

Geographica Damastis haud semel consuluit Eratosthenes; quod crimini vertit Strabo I, p. 47 : Οὐδὲ τοῦτ' εὖ Ἐρατοσθένης, ὅτι ἀνδρῶν οὐκ ἀξίων μνήμης ἐπιπλέον μέμνηται, τὰ μὲν ἐλέγχων, τὰ δὲ πιστεύων, καὶ μάρτυσι χρώμενος αὐτοῖς, οἷον Δαμάστῃ καὶ τοιούτοις ἄλλοις. Καὶ γὰρ εἴ τι λέγουσιν ἀληθὲς, οὐ μάρτυσί γε ἐκείνοις χρηστέον περὶ αὐτοῦ, οὐδὲ πιστευτέον διὰ τοῦτο... Ὁ δὲ Δαμάστῃ χρώμενος μάρτυρι οὐδὲν διαφέρει τοῦ καλοῦντος μάρτυρα τὸν Βεργαῖον (sc. Antiphanem), ἢ τὸν Μεσσήνιον Εὐήμερον καὶ τοὺς ἄλλους, οὓς αὐτὸς (ὁ Ἐρατοσθένης) εἴρηκε διαβάλλων τὴν φλυαρίαν. Καὶ τούτου (Damastis puto) δ' ἕνα τῶν λήρων αὐτὸς λέγει, τὸν μὲν Ἀράβιον κόλπον λίμνην ὑπολαμβάνοντος εἶναι. Cf. fr. 3. Quas reprehensiones justo severiores esse, quum ratio temporum, quibus auctores vixerint, non habita sit, recte monuerunt. Vide Bernhardy ad Eratosth. p. 44 sqq. et passim. Ceterum quum de rebus ipsis Damastes ex Hecatæo et Hellanico in plerisque penderet, maxima operum virtus in elegantiore narrationis forma posita fuisse videtur. Eum sophistarum si non studia, consuetudinem certe (Athenis) coluisse, ex opere, in quo poetis sophistas adjunxit, jure colligas. Gorgias inter majores Homeri numeravit Musæum; idem Damasti placuit (fr. 8).

ΠΕΡΙΠΛΟΥΣ. (ΠΕΡΙ ΕΘΝΩΝ.)

1.

Stephan. Byz. : Ὑπερβόρεοι... Δαμάστης δ' ἐν τῷ Περὶ ἐθνῶν· Ἄνω Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμάσπους, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δ' αὐτὰ μήποτε ἐλλείπειν· ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν.

Sequitur Hellanicum (fr. 96). Cf. Ukert. *Ueber Hecatæus u. Damast. geogr.* p. 51; Müller. *Dor.* I, p. 276.

2.

Strabo XIII, p. 583 init., de finibus Troadis : Εὐθὺς ἐπὶ τῶν κατὰ τὴν Προποντίδα τόπων ὁ μὲν Ὅμηρος ἀπὸ τοῦ Αἰσήπου τὴν ἀρχὴν ποιεῖται τῆς Τρωάδος· Εὔδοξος δὲ ἀπὸ Πριάπου καὶ Ἀρτάκης, τοῦ ἐν τῇ Κυζικηνῶν νήσῳ χωρίου ἀνταίροντος τῷ Πριάπῳ, συστέλλων ἐπ' ἔλαττον τοὺς ὅρους· Δαμάστης δ' ἔτι μᾶλλον συστέλλει ἀπὸ Παρίου· καὶ γὰρ οὗτος μὲν ἕως Λεκτοῦ προάγει· ἄλλοι δὲ ἄλλως. In arctius fines contraxit Charon fr. 8.; cf. Ephorus fr.; 89; Schœmann. Geogr. Hom. p. 98; Heyn. ad Hom. tom. V, p. 596; Ukert. l. l. p. 47.

3.

Strabo XIV, p. 684, de Cypro : Τί δὲ δεῖ τῶν ποιητῶν θαυμάζειν, καὶ μάλιστα τῶν τοιούτων, οἷς ἡ πᾶσα περὶ τὴν φράσιν ἐστὶ σπουδὴ, τὰ τοῦ Δαμάστου συγκρίνοντας, ὅστις τῆς νήσου τὸ μῆκος ἀπὸ τῶν ἄρκτων πρὸς μεσημβρίαν ἀποδίδωσιν, ἀπὸ Ἱεροκηπίας, ὥς φησιν, εἰς Κλεῖδας; Οὐδὲ ὁ Ἐρατοσθένης εὖ· αἰτιώμενος γὰρ τοῦτον, οὐκ ἀπ' ἄρκτων φησὶν εἶναι τὴν Ἱεροκηπίαν, ἀλλ' ἀπὸ νότου· οὐδὲ γὰρ ἀπὸ νότου, ἀλλ' ἀπὸ δύσεως, εἴπερ ἐν τῇ δυσμικῇ πλευρᾷ κεῖται, ἐν ᾗ καὶ ἡ Πάφος καὶ ὁ Ἀκάμας.

4.

Festus Ruf. Avienus Or. marit. 370 :

Sed ad columnas quidquid interfunditur
undæ æstuantis, stadia septem vix ait
Damastes esse. Caryandæus Scylax
medium fluentem inter columnas adserit
tantum patere quantum æstus Bospori est.

Ad hæc clar. Letronn. in *Fragments des poëmes géogr. de Scymnus*, etc. p. 240 : « Le passage de Scylax auquel le poëte fait allusion, n'existe pas dans notre périple, et n'a jamais pu y être, puisque la largeur du détroit des colonnes y est indiquée comme étant d'un jour de navigation, ce qui est fort différent de sept stades; mais comme cette mesure de sept stades est précisément celle que notre périple donne au Bosphore de Thrace, je crois qu'Aviénus a fait tout simplement une confusion de

DE GENTIBUS.

1.

Damastes in opere De gentibus supra Scythas dicit habitare Issedones, supra hos Arimaspos, supra hos esse montes Ripæos, ex quibus flaret boreas, et ubi nives nunquam deessent. Trans montes istos habitare Hyperboreos usque ad alterum mare pertinentes.

2.

Statim ab ipsis ad Propontidem locis Homerus ab Æsepo facit initium : Eudoxus ab Artace et Priapo, cui Artace in Cyzicenorum insula opponitur, arctius contractis finibus Troadis, sumit : Damastes etiam magis, a Pario eam incipiens. Atque hic quidem usque ad Lectum producit, alii vero aliter.

3.

Quid vero attinet poetas mirari, maxime eos, qui omne studium dictioni modo impendunt, si Damastis scripta componamus, qui longitudinem insulæ a septentrione ad meridiem metitur ab Hierocepia (i. e. *sacro horto*) ad Clidas? Ac ne Eratosthenes quidem recte : incusans enim hunc, Hierocepiam non a septentrione esse ait, sed a meridie : at ne a meridie quidem est, sed in occidua parte, ubi etiam Paphus sunt et Acamas.

Harpocration : Θεσμοθέται... Ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων· εἰσὶ δὲ ἐκ τῶν καλουμένων θ' ἀρχόντων. Καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον· θεσμοὶ δὲ ἐκαλοῦντο οἱ νόμοι, ὡς προείπομεν (v Θεσμός). Ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης τε ἐν τῷ κατὰ Κτησιφῶντος (§ 58) καὶ Θεόφραστος ἐν γ' Νόμων. Ὁ δὲ Ἀριστοτέλης ἐν τῇ (ἐν τῇ α' Ἀθ. cod. A) Ἀθηναίων πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.

30.

Lex. Rhetor. p. 670, 15 : Θεσμοθετῶν ἀνάκρισις. Κατὰ Ἀριστοτέλην οἱ θεσμοθέται ἐκ τῶν θ' ἀρχόντων, αὐτοὶ ἓξ ὄντες· οἱ δὲ λαχόντες ὑπὸ τῆς βουλῆς τῶν πενταχοσίων καὶ τοῦ δικαστηρίου δοκιμάζονται, πλὴν τοῦ γραμματέως, ἐρωτώμενοι τίνες αὐτῶν πατέρες, ὁμοίως καὶ δήμων τίνων εἰσί, καὶ εἰ ἔστιν αὐτοῖς Ἀπόλλων πατρῷος καὶ Ζεὺς ἕρκειος, καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι, καὶ εἰ τὰ τέλη τελοῦσι, καὶ εἰ τὰς ὑπὲρ τῆς πατρίδος στρατείας ἐστρατεύσαντο· πάντα οὖν [adde ταῦτα] ἀνάκρισιν εὐλόγως ὠνόμασαν.

Cf. Pollux VIII, 85 : Ἐκαλεῖτο δέ τις Θεσμοθετῶν ἀνάκρισις, εἰ Ἀθηναῖοι εἰσὶν ἑκατέρωθεν ἐκ τριγονίας, καὶ τὸν δῆμον πόθεν, καὶ εἰ Ἀπόλλων ἔστιν αὐτοῖς πατρῷος καὶ Ζεὺς ἕρκειος, καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι, καὶ εἰ ἐστράτευνται ὑπὲρ τῆς πατρίδος, καὶ εἰ τίμημα ἔστιν αὐτοῖς. Ἐπηρώτα δὲ ἡ βουλὴ, ὤμνυον δὲ οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ ἢ ἐπὶ τοῦ λίθου (cf. fr. 13), ὑφ' ᾧ τὰ ταμιεῖα (sic cod. Schotti; reliqui ἐφ' ᾧ τε), συμφυλάξειν τοὺς νόμους, καὶ μὴ δωροδοκήσειν, ἢ χρυσοῦν ἀνδριάντα ἀποτῖσαι· εἶτα ἐντεῦθεν εἰς τὴν ἀκρόπολιν ἀνελθόντες ὤμνυον ταὐτά. V. Dinarch. C. Aristog. § 17. — « Pro ὑπὸ βουλῆς codex Lex. Rhet. ὑπὲρ β. — Verba πλὴν τοῦ γραμματέως revocanda videntur post αὐτοὶ ἓξ ὄντες : quo enim nunc leguntur loco, turbant sententiam; postremum post πάντα οὖν desideres ταῦτα. Jam vero quod apud Dinarchum est, εἰ τὰ ἱερὰ πατρῷά ἐστιν, explicationem accipiunt ab iis, quæ hic grammaticus et Pollux habent : εἰ Ἀπόλλων ἐστιν αὐτοῖς πατρῷος καὶ Z. ἕ.; contra ea Pollucis εἰ τὸ τίμημα ἐστιν αὐτοῖς, explicatio est ejus, in quo cum hoc lexico Dinarchus conspirat, εἰ τὰ τέλη τελεῖ; denique Dinarchi εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευνται, verius videtur quam aut Pollucis εἰ ἐστρατεύοντο [ἐστράτευνται dedit Bekker.] ὑπὲρ τῆς πατρίδος, aut hujus grammatici τὰς ὑπὲρ πατρίδος στρ. ἐστρατεύσαντο. » *M. H. Meier*. Fragm. lex. Rhet. Hal. 1844.

31.

Harpocration. v. Δωροξενία : Καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει τουτί· « Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν (scr. τὴν ξενίαν). »

Idem v. Παράστασις verba Aristotelis plenius exhibet ita : « Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητίας καὶ βουλεύσεως καὶ ἀγραφίου (ἀργυρίου codd. plurimi, γραφίας Suidas) καὶ μοιχείας. » Eadem Suidas v. Κατάστασις. Alia supplentur e Photio.

Lex. Rhetor. (ad calcem Photii Lex.) p. 674, 8 : Ξενίας γραφὴ καὶ δωροξενίας διαφέρει. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ, περὶ τῶν θεσμοθετῶν διαλεγόμενος· « Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν τις κατηγορῆται ξένος εἶναι, δωροξενίας δὲ ἐάν τις δῶρα διδοὺς ἀποφύγῃ τὴν ξενίαν. »

Πρὸς αὐτοὺς, ὧν παράστασις] Meier.; codex : περὶ αὐτοῖς ὧν περιστάσεις. Verba ξενίας μὲν... δωροξενίας δὲ apud Harpocrationem librarius omisit, patet quonam erroris genere. Pro διδοὺς ex Harpocratione reponendum δοὺς censet Meierus. Idem : « Si

---

29.

Thesmothetæ, Atheniensium magistratus, numero erant sex, ex novem archontibus, quos dicunt. Nomen inde sortiti sunt, quod legum curam habebant; nam θεσμοί, ut ante diximus, appellabantur leges. Hi quotannis leges emendabant, ut docuit Æschines in oratione adv. Ctesiphontem et Theophrastus in libro tertio de Legibus. Munia eorum recenset Aristoteles in Rep. Atheniensium.

30.

Secundum Aristotelem Thesmothetæ ex novem archontibus erant sex numero (non annumerato scriba). Qui sorte creati a senatu quingentorum et a dicasterio examen subibant, quo interrogabantur, quinam eorum patres, cujusnam demi essent, num Apollo ipsis esset Patricius et Juppiter Herceus, num parentes suos bene haberent, censumque solverent, et pro patria militassent. Hæc omnia ἀνάκρισιν (inquisitionem) merito nominabant.

31.

Aristoteles in Rep. Atheniensium de Thesmothetis dicens scribit hæc : « Actiones apud eos intenduntur in quibus Parastasis sive sacramenta deponebantur, peregrinitatis, peregrinitatis dono tentatæ (et illius quidem, si quis peregrinus esse accusatur, hujus vero, si quis dona dando hanc peregrinitatis actionem devitare studet), falsæ relationis, ementitæ citationis, insidiarum, deleti nominis et adulterii. »

cui displiceat, inquit, τὴν ξενίαν, et malit pro eo rescribi τὴν ξενίας, uti Lex. Rhetor. p. 238, 26 in simili causa habet ἀγῶνα ξενίας, is teneat ξενίαν eadem breviloquentia dictum videri pro ἀγῶνα ξενίας, ut προξενία et ἀτέλεια pro ψήφισμα προξενίας, ἀτελείας dicebatur. »

Cf. Harpocratio v. Ἡγεμονία δικαστηρίου: Ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτῆς ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον ἡγουμένη καὶ προεστῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ τῶν ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας, πρὸς δὲ τὸν πολέμαρχον τοῦ ἀποστασίου καὶ ἀπροστασίου, πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων. Quæ item exscripsit Suidas s. v. Plura de Thesmothetis ex eodem haud dubie Aristotele, dat Pollux VIII, 87, 88 : Οἱ μὲν θεσμοθέται προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια· καὶ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας, καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφάς· καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειε, καὶ στρατηγοῖς εὐθύνας. Γίνονται δὲ γραφαὶ πρὸς αὐτοὺς ξενίας, δωροξενίας, δώρων, συκοφαντίας, ψευδοκλητείας, ψευδεγγραφῆς, βουλεύσεως, ἀγραφίου, μοιχείας· εἰσάγουσι δὲ καὶ δοκιμασίαν ταῖς ἀρχαῖς, καὶ τοὺς ἀπεψηφισμένους, καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις, καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικάς, καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τὰ ἴδια καὶ τὰ δημόσια· καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι, καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι, καὶ τὰς τῶν ψευδομαρτυρίων τῶν ἐξ Ἀρείου πάγου. Cf. Photius p. 670, 14 ed. Porson., Bekker. Anecd. I, p. 264.

32.

Lex. Rhetor. p. 672, 2 : Κυρία ἡ ἐκκλησία· Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ δευτέρῳ Περὶ τῆς Ἀθηναίων νομοθεσίας * * (15 fere litt. spatium) πλεῖστα ἐχρημάτιζεν ἢ μέγιστα τῶν κοινῶν· ἀλλ' ἐνῆν τὸν δεδεμένον φησίν· εἰκότως δ' ἄν τις αὐτῷ ἐπιτιμήσειεν· εἰ (τί?) γὰρ ἂν πότε κυρίας ἐκκλησίας τοὺς Ἀθηναίους νομίσαι ἐν * * (10 fere litt.) ἐμίσθουν * * (10 fere litt.). Ἄμεινον οὖν Ἀριστοτέλει [πείθεσθαι]· τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις φησὶν [ἐπι]χειροτονεῖσθαι, καὶ τὰς εἰσαγγελίας [τὸν βουλόμενον ποιεῖσθαι sive εἰσαγγέλλειν], καὶ τὰ ἄλλα (τὰς ἄλλας cod.) τῶν ἀναγκαίων χρηματίζειν· [χρηματίζειν δὲ] καὶ περὶ σίτου, [καὶ περὶ τῆς] φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγιγνώσκειν καὶ τὰς λήξεις (δείξεις cod.) τῶν κλήρων· ἐπὶ δὲ τῆς ὀστρακοφορίας προχειροτονίαν δίδοσθαι, εἰ δοκεῖ ἢ μὴ [εἰσφέρειν τὸ ὄστρακον].

Ad hæc Meierus p. 21 : « Initio malo κυρία ἐκκλησία. — Demetrii Phalerensis orationi integritatem reddant acutiores; quæ enim ipse perspexisse mihi videor, perpauca sunt, veluti quod rescripserim : πλεῖστα ἐχρ. καὶ μέγιστα; deinde restituerim : ἐπιτιμήσειεν· τί γὰρ ἄν ποτε... νομίσειεν. Quum vero χρηματίζειν primum in prytanes cadat, id est in prytanum proedros, quatenus hi potissimum cum populo agebant (sic enim concilianda videtur lex ap. Dem. C. Mid. p. 517, qua prytanes jubentur χρηματίζειν, cum ipsius oratoris explicatione, qui τοὺς προέδρους χρηματίζειν dicit, ut hic definite dixerit, quod in lege minus accurate significatum sit; cf. Schœmann. Antiqq. p. 221, 4), dein in senatum quingentorum (sic Demosthen. De cor. p. 285, 1 : Πρὶν ἐκείνην (i. e. τὴν βουλὴν) χρηματίσαι καὶ προβουλεῦσαι. Lycurg. C. Leocr. § 37, βουλὴν... χρηματιοῦσαν περὶ φυλακῆς. Pollux. VIII, 144, ἡ βουλὴ ἐχρημάτισεν), denique, certe apud grammaticos, populus ipse, quatenus cum eo in concione agebatur, χρηματίζειν dicatur (Pollux VIII, 96) : satis apparet quod subjectum ad ἐχρημάτισεν desideretur, non posse esse nisi aut τὴν βουλὴν aut τὸν δῆμον, quorum ut hoc præferam, ipsum lemma glossæ persuadet : spatium igitur XV literarum sic suppleverim [φησίν· « ὁ μὲν γὰρ δῆμος]. Verum etiam in verbis ἀλλ' ἐνῆν τὸν δεδεμένον, φησὶν, ubi malim certe τόν τε δῆμον, gravius latet ulcus neque minima labes; quæ enim post φησὶν leguntur, non Demetrii sunt, sed ad Demetrium refellendum pertinent. » — Ego Demetrium tale quid dixisse suspicor : [Κυρία ἐκκλησία, οὐχ ἐν ᾗ] πλεῖστα ἐχρημάτιζον ἢ μέγιστα τῶν κοινῶν, ἀλλ' ἐν ᾗ τὰς τῶν δημευομένων [ἀπογραφὰς ἀνεγίγνωσκον καὶ τὰ μισθώσιμα ἐμίσθουν]· εἰκότως δ'... ἐπιτιμήσειε· τίς γὰρ ἄν ποτε κυρίας ἐκκλησίας [καλέσαι] τοὺς Ἀθηναίους νομίσειεν [ἐν αἷς τὰ μισθώσιμα] ἐμίσθουν [καὶ * * *]. Ἄμεινον οὖν κτλ. — Pergit Meierus : « Feliciori mihi contigit esse in Aristotelis fragmento sanando, quod ut hodieque restituendum videtur, ita jam ante aliquot annos (in Procemio tabulis scholarum univ. Hal. præmisso, 1835-36) significavi rescribendum esse. » Sequitur locus Aristotelis ita constitutus, uti a nobis exaratus est. Lacunæ signa in codice sunt nulla.

32.

Præstat Aristoteli fidem habere. Is enim dicit in κυρίαις ἐκκλησίαις magistratus confirmari (si bene rem gesserint; sin minus, abrogari), et causas de criminibus publicis ad populum deferri, deque reliquis necessariis agi, et de frumentis, de custodia regionis, et libellos publicatorum recitari et sortes hereditatum, et decerni num ostracismi habendi causa sit necne.

Libellum illum Meieri Lutetiæ inspicere non licuit.

33.

Harpocration v. Κυρία ἐκκλησία : Τίνες δὲ αἱ κύριαι ἐκκλησίαι, Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος (ἄφετος Pollux) ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. « Προγράφουσι δὲ, φησὶ, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς δὲ τῆς χώρας. » Καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι, καὶ τὰ ἑξῆς.

Ex Harpocratione sua habent Photius p. 191, 1, Suidas et Etym. M. s. v. Cf. Hesychius atque Pollux VIII, 95, quem ex Aristotele hausisse non dubium est : Τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγιγνώσκουσιν οἱ πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. Ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις, ἱκετηρίαν θεμένοις, λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. Ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα. Ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων.

Pollucem festinanter exscripsit schol. in Æschin. C. Tim. p. 124, 1, p. 739 Reisk. — « Quod ad φυλακὴν τῆς χώρας, de qua in κυρίαις ἐκκλησίαις relatum esse Aristoteles scribit, de ea luculenter disseruit Bœckhius (*Urkunden über d. Seewesen* p. 467), quibus illud unum addo, pertinuisse eo inprimis φυλακτήρια, in quibus versari solitos esse peripolos idem Aristoteles ap. Harpocrat. v. Περίπολος (fr. 20) narrat; hi enim, ut ait Pollux VIII, 105, περιῄεσαν τὴν χώραν φυλάττοντες. » *Meier*. l. l. Ceterum alia tradit, neque unam, sed tres ecclesias κυρίας agnoscit, adeo ut κυρίας non distinxerit ab ordinariis (ἐννόμοις) omnibus, schol. Aristoph. Acharn. 19 (unde sua Suidas s. v.) : Εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι (κύριαι adde ex Suida) τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. Εἰσὶ δὲ καὶ πρόσκλητοι συναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. Αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται, ὡς ἔφαμεν, αἱ δὲ πρὸς τὰ κατεπείγοντα συναγόμεναι σύγκλητοι. Hæc ad tempora posteriora spectare videntur. Ceterum v. Schœmann. De comitiis p. 29 sqq., Antiqq. juris publ. p. 226 sqq. et Hermann. *Staatsalterth.* § 128, ibique laudatos.

34.

Schol. Aristoph. Plut. 278 : Περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει· « Τοῖς γὰρ δικαστηρίοις χρῶμα **** ἐπιγέγραπται ἐφ' ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. Ὁ δὲ λαβὼν τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα, ὅπερ ἐν τῇ βαλάνῳ. Ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμβολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρχήν. »

« Post χρῶμα, ab Hemsterhusio male in γράμμα mutatum, lacunam indicavit Dobræus. Quæ fortasse sic est explenda ut scribatur, τοῖς γὰρ δικαστηρίοις χρῶμά τέ ἐστιν ἴδιον ἑκάστῳ, καὶ γράμμα ἐπιγέγραπται ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου. Non est aliunde cognitus hic usus vocabuli σφηκίσκος, quod in σφηνίσκῳ mutandum videbatur Schœmanno (*Dissertat. de sortitione judicum ap. Athen. ad schol. Arist. Plut. v.* 277. *Gryphiswaldiæ* 1820) p. 15, male illud pro ἀέτωμα s. ἀετὸς accipienti. *Supercilium januæ* interpretatur Bœckhius Corp. Inscr. vol. I, p. 341. Mihi non de toto supercilio intelligendum esse videtur, sed de lapide vel ligno quod in medio supercilio januæ paululum eminet superciliumque cunei instar in duas partes dividit : quod et σφηκίσκος et σφηνίσκος apte dici potuit. Huic igitur cuneo inscripta fuit litera dicasterii, quemadmodum hodie numerum ædium non raro inscribi videmus. » Dindorfius. — τὸ ὁμόχρουν] Cf. schol. Vesp. 1105 : Ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα. Bekker. Anecd. p. 220, 17. — « Τὴν βάλανον glandem sive globulum esse arbitror, in summa

---

33.

Quæ fuerint conciones κύριαι, quas vocant, in Rep. Atheniensium docet Aristoteles; dicit vero prytanes senatum et populum convocare, et senatum quidem quotidie, nisi dies nefastus sit; populum vero quater intra spatium uniuscujusque prytaniæ. « Proscribunt autem etiam κυρίαν ἐκκλησίαν, in qua magistratus abrogant qui male munere suo fungi videantur, et de regionis custodia agunt. » Porro si quis publice nomen alicujus deferre velit, hoc eo die facere licet.

34.

De tessera quam judices in dicasterium ingredientes accipiebant, Aristoteles in Rep. Atheniensium sic scribit : « Unumquodque dicasterium suum habet colorem, (suamque literam) quæ in supercilio januæ inscripta legitur. Judex vero, sumto scipione, in id ingreditur dicasterium, quod eodem quo scipio ille colore est, eandemque habet literam, quæ glandi scipionis inscripta est. Ingressus deinde tesseram accipit ab eo, cui munus hoc demandatum est.

scipionis parte impositum, de quo ornamenti genere cf. Herodot. I, 195; et exstant hodieque, præcipue in vasis quæ dicuntur Etruscis, scipionum in hunc modum ornatorum exempla. Huic igitur scipionis glandulæ inscripta erat dicasterii nota. » Schœmann l. l p. 15. — παραλαμβάνει σύμβολον] Cf. schol. ad v. 277 : Εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τούτῳ εἰληχυίας ἀρχῆς, ἵν' οἱ ἐξιόντες καὶ τοῦτο προφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. — Cf. Hermann. § 134; Schœmann. Antiq. p. 265.

35.

Harpocration : Διαμεμετρημένη ἡμέρα· μέτρον τι ἐστὶν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον. Ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί· πρὸς δὴ τοῦτο (ὡς δὴ τούτῳ Suidas; ὡς etiam Harpocr. cod. antiquissimus) ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. Διενέμετο δὲ τρία (εἰς τρία alii codd.) μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (p. 587, cap. 63). Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. Σκεπτέον δὲ τὸ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρου, πῶς (ὃς cod. E.) μεμετρημένης τῆς ἡμέρας ὁτὲ μέν φησι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

Ex Harpocratione sua habet Suidas s. v. Cf. Pollux IV, 166; schol. ad Demosthen. De corona p. 265 ed. Bekker.; Xenophon. Hellen. I, 7, 24; Hermann. l. l. § 142, 5. Rhetorum locos notavit Küsterus ad Suidam l. l.

36.

Harpocration v. Τετρυπημένη : Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ γράφει ταυτί· « Ψῆφοι δέ εἰσι χαλκαῖ, αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι πλήρεις. Οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν β' ψήφους, τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις μήτε πάντη τετρυπημένας λαμβάνωσιν. »

37.

Lex. Rhet. p. 670, 30 : Ἴσαι αἱ ψῆφοι αὐτῶν· ἐγένοντο δὲ ἴσαι ψῆφοι, ** ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· « Καὶ ἦσαν τοῦ μὲν διώκοντος αἱ τετρυπημέναι, τοῦ δὲ φεύγοντος αἱ πλήρεις· ὁποτέρῳ δ' ἂν πλείους γένωνται, οὗτος ἐνίκα· ὅτε δὲ ἴσαι, ὁ φεύγων ἀπέφυγεν· » ὡς καὶ Θεοδέκτης ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

Meierus : « Malim ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο. » Ἀριστοτέλης ἐν τῇ Ἀθ. πολιτείᾳ· « Καὶ ... ἀπέφευγεν. » Οὕτως καὶ Θεοδέκτης, ut ἴσαι ἐγένοντο lemma constituant derivatum ex Æschin. C. Ctesiph. § 252, verba autem καὶ... ἀπέφευγεν ipsius sint Aristotelis. » Ceterum cf. Hermann. l. l. § 143; O. Müller. Addend. ad edit. Æschyl. Eumenid.

38.

Schol. Aristophan. Equit. 1150 : Κημὸς ὁ ἐπὶ τοῦ καδίσκου εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις... Ὕστερον δὲ ἀμφορεῖς δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος· καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. Ἔχει δὲ καὶ ὁ χαλκοῦς, ὥς φησιν Ἀριστοτέλης, διερρινημένον ἐπίθεμα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. Cf. Hesych. : Κημός, τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα, παρόμοιον χώνῃ. Photius et Suidas : Κ., πλέγμα χωνοειδές, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον. In medio operculo erat foramen tantum, quantum ad excipiendum calculum sufficiebat; ipsi foramini vero superimpositum erat quasi infundibulum, ut tutius et commodius calculi injici possent. Ita bene Grashof. in censura libri Neumanniani in Jahn. *Jahrb.* 1829, II, p. 160. Cf. Steph. Thes. v. Κημός.

35.

Διαμεμετρημένη ἡμέρα. Est mensura quædam aquæ ad definitum diei spatium fluens : quæ mense Posideone mensurabatur. Ad aquam istam judicia de causis maximi momenti habebantur. Aqua autem in tres dividebatur partes, quarum una actori, altera reo, tertia judicibus assignabatur. Id luculentissime ipsi rhetores declarant, uti v. c. Æschines in oratione contra Ctesiphontem. Aristoteles vero de his exponit in Rep. Atheniensium.

36.

Aristoteles in Rep. Atheniensium scribit hæc : « Sunt autem calculi ærei, auliscum in medio habentes, quorum dimidia pars perforata, dimidia solida. Ceterum ii quibus hoc demandatum est, postquam perorata utrimque causa est, singulis judicibus binos tradunt calculos, perforatum et solidum, idque adversariis inspectantibus, ne judices vel ambos solidos vel ambos perforatos accipiant. »

37.

Aristoteles in Rep. Athen. : « Calculi accusantis perforati, rei vero solidi erant. Cui plures erant, is vincebat; sin æquales, reus absolvebatur. »

38.

Κημὸς erat super urna, in quam calculi a judicibus injiciebantur. Postea duas in judiciis collocabant amphoras, alteram æneam, alteram ligneam; illa rata, hæc irrita. Ænea quoque, ut Aristoteles dicit, operculum habet perlimatum in tantum, ut foramen ipsum solummodo calculum immitti sinat.

39.

Harpocration : Διαιτηταί... Εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν· οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διήτουν. Καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μὴ, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. Λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Cf. Pollux VIII, 126 : Διαιτηταὶ δὲ ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται· καὶ ἀτιμία ἀφώριστο τῷ μὴ διαιτήσαντι τὴν ἐπικληρωθεῖσαν δίαιταν· τῶν δ' ἐν ἱεροῖς πάλαι οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο· ἔλεγον δὲ ἐπιτρέψαι δίαιταν, καὶ ἡ δίαιτα ἐκαλεῖτο ἐπιτροπή· ἡ δὲ ἔφεσις αὐτῶν εἰ εἰς δικαστήριον ἐγίγνετο, εἰς ἐχῖνον τὰς ψήφους ἐμβαλόντες ἰδίᾳ ἑκατέρας τοῦ φεύγοντος καὶ τοῦ διώκοντος κατεσημαίνοντο· ἐλάμβανον δὲ οἱ διαιτηταὶ δραχμὴν παρὰ τοῦ κρίνοντος τὴν καλουμένην παράστασιν, ἐγγράψαντος αὐτοῦ ἐν γραμματείῳ τὸ ἔγκλημα καὶ τὸ τίμημα· ἐλάμβανον δὲ καὶ ἑτέραν ὑπὲρ τῆς ἀντωμοσίας. Schol. in Platon. p. 457 Bekk.; Bekker. Anecd. I, p. 235. Hermann. l. l. § 145; Schœmann. Antiq. p. 266 et 284 sq.

40.

Schol. Aristoph. Vesp. 1437 : Ὁ ἐχῖνος, ἄγγος τι χαλκοῦν ἢ καὶ ἐκ κεράμου, εἰς ὃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. Τοῦ δ' ἄγγους τούτου καὶ Δημοσθένης μνημονεύουσι καὶ Ἀριστοτέλης. Scholiastam exscripserunt Photius et Suidas s. v.

Harpocration : Ἐχῖνος ἐστι μὲν ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον μνημονεύει Τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Confer Polluc. VIII, 17; Lex. Rhet. in Bekk. An. p. 258, 3; Stephan. Thesaur. s. v; Hermann. § 141, 12; Schœmann. p. 281.

41.

Harpocration : Κατὰ δήμους δικαστάς. Περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα, καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τεσσαράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Pollux VIII, 100 : Οἱ δὲ τεσσαράκοντα πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα, διαιτηταῖς παρεδίδοσαν. Μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν μίσει τοῦ ἀριθμοῦ τῶν τριάκοντα τεσσαράκοντα ἐγένοντο. Cf. Aristot. Pol. IV, 13, 2. Hermann. § 146.

41 a.

Pollux VIII, 62 : Ἔφεσις δέ ἐστιν, ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη· αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. Τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοτέλης λέγει.

42.

Harpocration : Ἐπιμελητὴς ἐμπορίου.. Ἀριστοτέλης· « Ἐμπορίου δ' ἐπιμελητὰς ι' κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. » Eadem in Bekk. Anecd. I, p. 255, ubi post δέκα τὸν ἀριθμὸν adduntur : ἑκάστου ἔτους καθιστάμενοι. Cf. Bœckh. Œcon. Civil. Athen. tom. I, p. 50 sq. Hermann. 136.

43.

Harpocration : Ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν

39.

Arbitri a judicibus diversi fuerunt; nam judices in assignatis foris judicarunt, litesque ab arbitris ad se translatas discreverunt; arbitri vero ante sorte lecti quam ii, quorum de re agitur, se iis permitterent, arbitrium reddiderunt, et si litigantibus placuisset, finem liti imposuerunt; sin minus, crimina et citationes et testimonia et leges et alias utriusque probationes in echinum conjectas atque obsignatas litium introductoribus tradiderunt. De quibus Aristoteles disserit in Rep. Atheniensium.

40.

Echinus, vas æneum vel etiam figulinum, in quod deponebant arbitri tabulas testimoniorum, et quod obsignatum tum quum in judicium res vocaretur, judicibus tradebant. Vasis hujus mentionem faciunt et Demosthenes et Aristoteles.

41.

De judicibus κατὰ δήμους, qui primum triginta, deinde quadraginta fuerunt, et singulos pagos obeuntes jus dicebant, Aristoteles scripsit in Rep. Athen.

42.

Aristoteles : « Decem emporii curatores sorte legunt, quibus id negotii datum est, ut emporiorum curam habeant et frumenti, quod in Atticum emporium advehatur, duas partes in urbem mercatores deferre cogant. »

ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ κληροῦσθαί φησι ε' μὲν εἰς Πειραιᾶ, ε' δὲ εἰς ἄστυ. In Blancardi editione perperam legitur : ιε' δὲ εἰς ἄστυ, quæ lectio neque in codd. Bekkeri invenitur, neque aliunde se commendat. V. Bœckh. C. Inscr. I, p. 337 B. Cf. schol. Aristoph. Av. 723; Theophrast. ap. Photium et Suidam v. Κατὰ τὴν ἀγοράν; Hermann. 150, 9; Schœmann. p. 246.

44.

Harpocration : Σιτοφύλακες· ἀρχή τις ἦν Ἀθήνησιν ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', [ι'] μὲν ἐν ἄστει, ε' δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

[ι'] addidit Valesius. Apud Photium postrema exhibentur ita : ἦσαν δὲ τὸν ἀριθμὸν πάλαι μὲν ιε', [ι'] ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ὕστερον δὲ λ' μὲν ἐν ἄστει, ε' δὲ ἐν Πειραιεῖ, ὡς Ἀρ. ἐν Ἀθ. πολ. Cf. Polluc. VI, 36 et Bekk. Anecd. I, p. 300. Bœckh. Œcon. Athen. I, 91; Hermann. 150, 11.

45.

Idem : Μετρονόμοι. Ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. Ἦσαν δὲ τὸν ἀριθμὸν ιε', εἰς μὲν τὸν Πειραιᾶ ι', ε' δ' εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ δηλοῖ.

ιε' μὲν εἰς Πειραιᾶ, θ' (ἐννέα, quod natum ex ε') δὲ εἰς ἄστυ cod. D. Paris. Ita etiam Suidas s. h. v., ubi tamen unus liber pro θ' habet ι'. Photius s. v. : ἦσαν δὲ τὸν ἀριθμὸν δεκαπέντε μὲν εἰς Πειραιᾶ, ἐννέα δὲ εἰς ἄστυ, et altera glossa : ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμὸν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ. Hoc etiam in Lex. Seg. ap. Bekk. Aned. p. 278, 25. — Ceterum dubitari vix potest cum Bœckhio, Œcon. Civ. Ath. I, p. 52, scribendum esse ap. Harpocrat. εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ' εἰς ἄστυ. Cf. Hermann. l. l. 152, 12.

46.

Harpocration : Ἀστυνόμος. Δημοσθένης κατὰ Τιμοκράτους (§ 112, p. 735, 10). Δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ε' μὲν ἐν Πειραιεῖ, ε' δ' ἐν ἄστει. Τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων. Cf. Aristot. Polit. VI, 4, 6; Bœckh. C. I. I, p. 337; Schubart. De ædil. p. 88; Hermann. 150, 7; Schœmann. p. 246.

47.

Phot. Lex. : Πεζὰς μόσχους· ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν πολιτείᾳ· τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ· « Αὐλητρίδα πεζήν »· καὶ Εὔπολις Κόλαξι. Huc pertinet quæ in sequentibus p. 405, 1 alieno loco s. v. Πεζή leguntur : Τὰς ἑταίρας τὰς μὴ μουσικὰς, ἀλλ' ἄνευ ὀργάνων καὶ ψιλὰς, πεζὰς καλοῦσιν. Cf. Hesych. : Πεζὰς μόσχους· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου. Etym. M. p. 658, 36 : Πεζαὶ ἑταῖραι αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι. Cf. schol. Eur. Alc. 460.

47 a.

Etym. M. Ἱεροποιοί (coll. Lex. Rhet. in Bekk. An. p. 265 et Photius s. v.), κληρωτοὶ ἄρχοντες εἰσὶ δέκα τὸν ἀριθμὸν, οἵ τά τε μαντεύματα ἱεροθετοῦσι (ἱεροθυτοῦσι, Lex. Rhet. et Phot.), κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι καὶ τὰς πενταετηρίδας ἁπάσας, πλὴν Παναθηναίων. Ταῦτα Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Deinde citato Demosthene p. 47, 13, addit : Μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν τὸν ἀριθμὸν δέκα (οἱ τὸν ἀριθμόν εἰσιν ἀόριστοι Phot.). Idque confirmat citato Demosthene p. 552, 6 et Dinarcho. Cf. Pollux VIII, 107 : Δέκα ὄντες (sc. οἱ ἱεροποιοὶ) οὗτοι ἔθυον θυσίας τὰς πενταετηρίδας, τὴν εἰς Δῆλον, τὴν ἐν Βραυρῶνι, τὴν τῶν Ἡρακλειδῶν (Ἡρακλείων?), τὴν Ἐλευσῖνάδε. Hermann. *Staatsalt.* 150, 1; *Gottesdienstliche Alterth.* 11, 10. 62, 11 et 13. De Διονυσίων ἐπιμελητῶν v. fr. 27 b.

43.

Agoranomi, magistratus qui res in foro venales administrant. Aristoteles in Rep. Atheniensium sorte eligi dicit, quinque in Piræeum, et quinque in urbem.

44.

Sitophylaces, magistratus erat Athenis, qui curabat ut frumentum, farinæ et panes justo pretio venderentur; eorumque quindecim erant, decem in urbe, quinque in Piræeo, uti Aristoteles in Rep Athen. monet.

45.

Metronomi, magistratus Athenis, qui mensuris præfecti, teste Dinarcho in oratione adversus Callisthenem. Erant autem quindecim, decem (*quinque*) in Piræeo, quinque (*decem*) in urbe; curabantque ut mensuræ vendentium justæ essent, quod Aristoteles quoque in Rep. Athen. docet.

46.

Decem esse astynomos Aristoteles dicit in Athen. Rep., quinque in Pyræeo, quinque in urbe; curæ iis esse dicit tibicinas, psaltrias, stercorilegos et horum similes.

47.

Πεζὰς μόσχους meretrices quasdam appellabant, ut Aristoteles in (Athen.) Rep. dicit, eas scilicet, quæ absque musicis instrumentis artem suam quasi nudam exercebant.

47 a.

Sacrifici, magistratus sorte lecti decem numero, qui vaticiniorum causa sacra instituunt, et si litare oporteat,

47 b.

Athenæus VI, p. 235 E: Ἀριστοτέλης δ' ἐν τῇ Μεθωναίων (Ἀθηναίων corr. Grashof. p. 158) πολιτείᾳ, Παράσιτοι, φησί, τοῖς μὲν ἄρχουσι δύο καθ' ἕκαστον ἦσαν· τοῖς δὲ πολεμάρχοις εἷς. Τεταγμένα δὲ ἐλάμβανον παρ' ἄλλων τέ τινων καὶ τῶν ἁλιέων ὄψον. » Cf. Preller. ad Pol. p. 117, Hermann. *Gottesd. Alt.* 36, 19.

48.

Harpocration: Ταμίαι. Ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, ι' τὸν ἀριθμόν. Παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀρ. ἐν τῇ Ἀθ. πολ. Εἰσὶ δέ τινες καὶ τῶν [ἱερῶν] τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. Ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ. Eadem Photius et Suidas. Cf. Etym. M. s. v., Philemon. Lex. p. 151 ed. Osann. Bekker. Anecd. p. 306. Pollux VIII, 97: Ταμίαι τῆς θεοῦ κληρωτοὶ μὲν ἐκ πεντακοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης. Ἐκαλοῦντο δ' οὗτοι κωλακρέται. Εἶχον δ' ἐξουσίαν καὶ ζημίαν ἀφελεῖν, εἰ ἀδίκως ὑπὸ τῶν ἀρχόντων ἐπιβληθείη. Idem VIII, 116: Ταμίας ἐκάλουν τοὺς ταῖς ἱεραῖς τριήρεσι λειτουργοῦντας, ἄλλους ἢ τριηράρχους. Καὶ οἱ ἐκ τῆς Παράλου καὶ τῆς Σαλαμινίας ναῦται ἐκαλοῦντο οἱ μὲν οὐ πάραλοι μόνον, ἀλλὰ καὶ Παραλῖται, οἱ δὲ Σαλαμίνιοι. Cf. Hermann. 151, 7. Apud Harpocrationem vocem ἱερῶν ante τριήρων inserendam esse monuit Meierus in *Ersch. u. Gruber. Encycl.* sect. III, vol. XI, p. 392. De sacris trieribus Aristotelis locus est in Lexico Rhetorico, quem hic apponere liceat.

49.

Lex. Rhet. p. 676, 2: Πάραλος καὶ Σαλαμινία. Ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο· ἐχρῶντο δὲ αὐταῖς, εἰ δέοι στρατηγὸν μεταπέμψασθαι, ὥσπερ Ἀλκιβιάδην. Ἡ δὲ Πάραλος ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη. Τῆς δὲ Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης, καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν· Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους· Φιλόχορος (fr. 130 b) δὲ ἐν τῇ ς' τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. Ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ (C. Ctesiph. § 162.), οἷον (l. οἱ δ' ἐν) τῇ Σαλαμινίᾳ, Σαλαμίνιοι. Suidas et Photius s. v.

Ad hæc Meierus: « ἐχρῶντο δ' αὐταῖς] cod. αὐτοῖς. — Πάραλος ἀπό τινος] cod. Π. καὶ ἀ. τ. Cf. Thuc. III, 33, 72; Arist. Avv. 1204. — Ἀμμωνιάδα] cod. utroque loco Ἀμοριάδα. Forma enim Ἀμμωνιάς quæ exstat etiam ap. Photium v. Πάραλος p. 386, 26 et ap. Ulpian. in Demosth. Mid. p. 214 ed. meæ, propius ad codicis scripturam accedit quam Ἀμμωνίς, quod est ap. Harpocr. s. v.; analogiæ autem ne illa quidem forma repugnat: certe in nominibus navium Atticarum reperitur non minus Ἀσκληπιάς, Δηλιάς, Ὀλυμπιάς, Ἀφροδισιάς, Σουνιάς, quam Αἰθιοπίς, Δελφίς, Δωρίς, Λεοντίς, Νηρηίς, Παλληνίς, Περσίς, Στρατηγίς. — Aristotelis nomine liber ejus Περὶ πολιτείας significatur. — Ammoniada inde esse dictam quod theoriis Ammoni Jovi mittendis adhiberi solita sit, Ulpiani l. c. sententia est: verum quum illius dei religio jam Peloponnesii belli temporibus non fuerit neglecta Atheniensibus, mirere Ammonidis navis apud Aristotelem demum et Dinarchum atque Philochorum exstitisse memoriam; nam si etiam apud oratores Dinarcho priores ea reperta esset, grammatici etiam antiquioribus testibus denunciassent testimonium. Acute igitur conjecit Grashofius in Jahnii Annall. X, 2, p. 166, Ammonidis nomen in Atticam civitatem receptum esse, quum Alexander Ammonis filium perhiberi se dicique jussisset, eoque dictam esse navem qua theori ad Alexandrum Ammonis filium missi veherentur, id quod fere Olymp. 112, 2 factum fuerit. Quæ si vere sunt dis-

---

litant cum vatibus, et sacrificia usu sancita faciunt, et quinquennalia festa adornant omnia præter Panathenæa. Hæc Aristoteles tradit in Atheniensium Rep.

47 b.

Aristoteles in Athen. Rep.: « Parasiti archontibus duo erant singulis, polemarchis vero unus. Accipiebant autem statuta quædam tum ab aliis, tum a piscatoribus obsonium. »

48.

Ταμίαι, quæstores. Magistratus fuerunt apud Athenienses quæstores, decem numero, qui Minervæ simulacrum et Victorias aliaque ornamenta et pecunias in conspectu senatus recipiebant, ut ait Aristoteles in Rep. Atheniensium. Sunt etiam triremium sacrarum quæstores, eodem philosopho teste. Trierarchis quoque adjunctos fuisse declarat Eupolis in Marica.

49.

Paralus et Salaminia. Has triremes perpetuo ad ministeria celeriter exsequenda paratas habebant. Earum etiam quæstores quosdam eligebant. Ceterum utebantur his navibus, si imperator arcessendus esset, uti v. c. Alcibiades. Paralus nomen habet a Paralo heroe indigena. Parali et Salaminiæ libro tertio meminit Thucydides et Aristophanes in Avibus. Aristoteles vero et Dinarchus in oratione contra Timocratem Ammoniadem et Paralum memorant. Philochorus autem libro sexto quattuor naves sacras novit, primum quidem Ammoniada et Paralum, quibus deinde accesserint Demetrias et Antigonis. Nautæ Parali navis nominabantur Parali, uti est etiam apud Æschinem, similiterque Salaminiæ nautæ, Salaminii.

putata, colligitur hinc Aristotelis librum de republica Atheniensium esse post id tempus editum, quo Alexander eos sibi arrogaret natales. Verum quod Aristoteles ut Dinarchus et Philochorus Paralum et Ammoniada novisse dicuntur, si ita accipiendum est, quasi vero Salaminiam non noverint, recte conjecisse putandus est idem Grashofius Ammoniada non novam navem sacram fuisse, sed nomen id Salaminiæ esse datum, ita ut quo tempore Ammonis fuerit, non fuerit Salaminia; atque eodem sane illud facere videtur, quod Protogenes pictor, qui circa Olymp. 104 natus et post Olymp. 119 obiisse videtur, quum Athenis propylæon pingeret, Paralum et Ammoniada ibi fecit, non omissurus Salaminiam, si Salaminia eo tempore fuisset. Neque vero contra eam conjecturam pugnat, quod in inscriptionibus quibusdam, quæ ad rem navalem Atheniensium spectant, — Bœckhius eas a. 1840 edidit et elegantissimæ doctrinæ plenissimo commentario instruxit (*Urkunden über d. Seewesen d. att. Staats*) — Salaminia navis et triremis et quadriremis commemoratur, Ammonis non commemoratur. Etenim ex illis inscriptionibus quarta, quippe quæ aut Ol. 105, 4 aut 106, 1 scripta videatur, hic ne in censum quidem venit; itaque agitur tantum de inscriptione XIV quæ Ol. 113, 4, et de inscriptionibus XV et XVI quæ Ol. 114, 2 scriptæ sunt; statuendum erit igitur Salaminiæ nomen mox revocatum esse datumque sive rursus ipsi Ammonidi sive alii navi, quorum hoc probabilius est : neque quidquam est quod nos cogat, ut Salaminiam navem inscriptionum illarum pro nave sacra et publica habeamus. » Hæc doctissimus Meierus. Cf. ejusdem dissertationem de Paralo in *Ersch. u. Gruber. Enclycl.* sec. II, vol. XI, et Bœckh. l. l. p. 78. Veterum testimonia collecta habes in Stephan. Thes. v. Πάραλος.

50.

Harpocration : Ἀποδέκται· ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν, ὡς δέκα τε εἴησαν, καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασιν τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. Ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων ἐν τῷ δευτέρῳ (fr. 3).

Eadem ex parte Suidas s. v., Etym. M. p. 124, Zonaras p. 234. Cf. Aristot. Polit. VI, 5, 4; Bekker. Anecd. I, 98, 427; schol. ad Æschin. C. Ctesiphont. p. 252 ed. Bekk. Pollux VIII, 97 : Ἀποδέκται δὲ ἦσαν δέκα, οἳ τούς τε φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον. Εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον. Bœckh. *Staatsh.* I, p. 171 sqq.; Hermann. § 151, 14; Schœmann. p. 249.

51.

Idem : Πωληταὶ καὶ πωλητήριον. Οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης· διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας β'. Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Πωλητήριον δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ πωληταί. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις.

Eadem Suidas et Photius s. v., missa testium mentione. Pollux VIII, 99 : Πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας, καὶ τὰ δεδημευμένα. Πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς, ὃς τὰ πωλούμενα βεβαιοῖ. Ἀπήγοντο δὲ πρὸς τούτους καὶ οἱ μετοίκιον μὴ τιθέντες. Bœckh. l. l. p. 167. Hermann. § 151. 115, 9.

52.

Idem : Εὔθυναι· Λυσίας ἐν τῷ κατὰ Νικιδίου, εἰ γνήσιος. Εὐθύνης (εὐθύνη A. B. C.) ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις· ι' τὸν ἀριθμὸν ἦσαν ἄνδρες, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. Διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

50.

Ἀποδέκται, receptores, magistratus fuit apud Athenienses, cujus oratores et comici subinde meminerunt. Aristoteles vero in Rep. Atheniensium ostendit denos fuisse, qui acceptis tabulis publicis, nomina debitorum post pecuniæ solutionem, in senatu coram senatoribus delebant, tabulasque iterum ærario tradebant. Idem reliqua eorum munera quæ fuerint exponit. Ceterum apodectæ in locum colacretarum a Clisthene subrogati, ut Androtion libro secundo testatur.

51.

Πωληταὶ et πωλητήριον. Erant Athenis πωληταὶ certus quidam magistratus, decem numero viri, ex singulis tribubus unus : qui omnia quæ a civitate vendebantur administrabant, ut vectigalia, metalla, redempturas et quæ publicabantur. Hyperides in secunda adversus Aristagoram. De iisdem disseruit Aristoteles in Rep. Athen. Πωλητήριον vero appellatur locus, ubi πωληταὶ considere solent. Isæus in or. contra Elpagoram frequenter ejus meminit.

52.

Εὔθυναι. Lysias oratione adversus Nicidium, si genuina est. Nomen magistratus apud Athenienses fuit. Erant autem euthyni decem numero, apud quos qui legatione functi erant, aut magistratum gesserant, aut aliquid rerum publicarum administraverant, rationes reddebant. Disserit de iis Aristoteles in Rep. Atheniensium.

53.

Harpocration : Λογισταὶ καὶ λογιστήρια, ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (§ 117). Διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν... Λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων (§ 37).

Diversos ab euthynis fuisse logistas hoc uno traditur loco Harpocrationis vel Aristotelis. Quare G. Hermannus (*Bœckh's Behandlung d. griech. Inschriften* p. 220 sqq.) ad Photium, Etym. M. et Zonaram v. Εὔθυναι provocans, aliaque argumenta petens ex numero, munere et electionis modo, quæ eadem sint apud utrosque, corruptum esse locum Harpocrationis, scribendumque οὐ διαφέρουσι censuit. At nihil esse mutandum, recteque Aristotelem distinxisse contra Hermannum docuit Bœckhius in *Rhein. Mus.* 1827, I, p. 58-97. Cf. idem *Staatshaushaltung d. Athen.* I, p. 204 sqq. C. Hermann. *Staatsalterth.* § 154; Schœmann. Antiq. jur. publ. p. 240; Westermann. in *Pauly's Realencycl.* v. Λογισταί.

54.

Lex. Rhetor. p. 672, 20 : Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω λέγει· « Λογισταὶ δὲ αἱροῦνται δέκα, παρ' οἷς διαλογίζονται πᾶσαι αἱ ἀρχαὶ τά τε λήμματα καὶ τὰς γεγενημένας δαπάνας. Καὶ ἄλλοι δέκα συνήγοροι, οἵτινες συναναχρίνουσι τούτοις. Καὶ οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀναχρίνονται πρῶτον, εἶτα ἐφίενται εἰς τὸ δικαστήριον, εἰς ἕνα καὶ φ'.

Sic Meierus; libri : Καὶ ἄλλοις... συνηγόροις... συναναχρίνουσι... ἀναχρίνοντες. Siglo φ' in codice supra scriptum est α', quod pertinet ad vocem ἕνα Grashofius scribi voluit εἰς ,αφα' (1501).

Meierus ad h. l. : « Aristotelem in libro de rep. Atheniensium de logistis et euthynis ita disseruisse, ut euthynos diversos esse doceret ab logistis, constitit jam ex Harpocrat. v. Εὔθυναι et Λογισταί. Verum ipsa verba Aristotelis hic demum lexicographus promittit, neque vero stat promisso; nam quum Aristotelem eodem loco probabile sit tum de logistis et de euthynis, tum de euthynorum assessoribus atque de synegoris egisse, hic locus omissis euthynis et euthynorum paredris ad solos logistas et synegoros pertinet. Verum etsi non integer videtur locus esse, tamen vel sic quædam continet, quæ aliunde non didiceris. Primum enim quum Lex. Rhet. p. 276, 17, quocum ad verbum conspirat Etym. M. p. 569, 31, logistas *sortito* factos esse contendat (ἄρχοντές εἰσι κληρωτοί), reliqui autem grammatici de modo, quo illi facti sint, taceant omnino (nam quod Pollux VIII, 99 videbatur docere sortitione *ab senatu quingentorum* instituta logistas esse factos, id jam intelleximus esse nihili atque ex librariorum tantum Pollucis socordia ortum male ad logistas referentium, quod ille de ἀντιγραφεῦσι docuerit), nunc ex Aristotele discimus eos *suffragiis* creatos esse : λογισταὶ αἱροῦνται; Aristoteli autem quis dubitaverit plus tribuere quam incerto illi grammatico, cui Lex. Rhet. et Etym. M. sua debent? Hujus auctoritati satis erit tribuisse, si concesseris logistas antiquitus suffragiis, postea sorte factos esse. Jam vero, quod olim Bœckhius sola conjectura assecutus erat, apud logistas λογισμὸν, id est rationes pecuniæ publicæ acceptæ et expensæ redditas esse, euthynos autem in reliquas muneris publici partes inquisivisse (cf. Bœckhii Comment. De logistis et euthynis p. 73), id jam Aristoteles eatenus certe confirmat, quod apud logistas ab omnibus magistratibus rationes acceptæ et expensæ pecuniæ redditas esse scribit. — Qui autem sequitur de synegoris locus, eum corruptum esse ex ipso initio apparet; fortasse scribendum est : δαπάνας· καὶ [τούτοις ἐβοήθουν] ἄλλοι [τε καὶ δὴ καὶ οἱ] δέκα συνήγοροι, οἵτινες συναναχρίνουσι τούτοις [τοὺς ὑπευθύνους]· καὶ [γὰρ] οἱ τὰς εὐθύνας διδόντες παρὰ τούτοις ἀναχρίνονται πρῶτον. Cf. Lex. Rhet. in Bekk. An. p. 301, 4 : Συνήγοροι ἄρχοντες ἦσαν κληρωτοί, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν. Judicium autem, quod de euthynis magistratuum judicaverit, fuisse unius et quingentorum judicum, id vero etiam novum accedit, quod ex hoc demum loco discimus; cf. Schœmann. De lit. Attic. p. 136. »

53.

Λογισταὶ et λογιστήρια. Logistæ magistratus quidam apud Athenienses. Decem erant, qui rationes rerum administratarum subducebant intra triginta dierum spatium postquam magistratus munere decesserant. Demosthenes in oratione contra Ctesiphontem. Disserit de iis Aristoteles in Rep. Athen., ubi demonstratur logistas diversos esse ab euthynis. Logisteria vero sunt curiæ logistarum, ut Dinarchus in or. contra Timocratem et Andocides or. de mysteriis.

54.

Aristoteles in Rep. Athen. ita loquitur : « Logistæ suffragiis creantur decem, apud eosque rationes pecuniæ acceptæ et expensæ a magistratibus reddebantur. Adjunctos habebant decem synegoros sive assessores, qui cum logistis rationes ipsis subjectas examinabant. Apud hos igitur primum rationes magistratus reddebant, deinde (si expurgare se non poterant) ab iisdem deducebantur in judicium quod erat virorum unius et quingentorum. »

55.

Schol. Aristoph. Vesp. 691 : Ἐλάμβανον οἱ ῥήτορες δραχμὴν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. Ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. Κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. Non eos tamen συνηγόρους intellige de quibus scholiasta h. l. loquitur (hi enim χειροτονητοί), sed eos de quibus Bekk. Anecd. I, 301 : Συνήγοροι ἄρχοντες ἦσαν κληρωτοὶ, οἳ τοῖς λογισταῖς ἐβοήθουν πρὸς τὰς εὐθύνας τῶν ἀρξάντων τινὰ ἀρχήν. Cf. fr. antecedens.

56.

Harpocration: Ἵππαρχος. Λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

57.

Idem : Φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί. Cf. Pollux VIII, 87. Hermann. 152, 2; Schœmann. p. 256.

58.

Idem : Στρατηγοί. Οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν... ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους.

59.

Idem : Στρατεία ἐν τοῖς ἐπωνύμοις. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας (§ 168). Τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων· « Εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν. Οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι, πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τε ἄρχων, ἐφ' οὗ ἐνεγράφησαν, ὁ καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει λελειτουργηκώς νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται. » Καὶ μετ' ὀλίγα· « Χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσι ἀπὸ τίνος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι. » Διείλεκται περὶ τούτων καὶ Φιλόχορος ἐν δ' τῆς Ἀτθίδος.

λελειτουργηκώς ex conj. Kayseri ad Philostrat. non notavi quo loco. δεδειχτικῶς B. D., δεδειχτικώς G., δὲ δειχτικῶς A.C.; δεδιῃτηκώς Guesiana. ἐπιδεδημηκώς in edit. Blancardiana. Priorem loci partem accuratius præbet Harpocrat. v. Ἐπώνυμοι: Διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμὸν, ἀφ' ὧν αἱ φυλαὶ, ἕτεροι δὲ β' καὶ μ', ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιη' ἐτῶν μέχρις ξ'. Ceterum vid. Bœckh. Index lectt. hib. Berolin. 1819—20, p. 7 sqq.; C. Inscrr. I, p. 113, 156; Schœmann. l. l. p. 254; Hermann. § 152, 13; Siebelis ad Philochor. p. 42.

60.

Harpocration: Ἀδύνατοι, οἱ ἐντὸς τριῶν μνῶν κεκτημένοι τὸ σῶμα πεπηρωμένον (adde ἔχοντες, vel scr. πεπηρωμένοι). Ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ὑπὸ τῆς βουλῆς β' ὀβολοὺς τῆς ἡμέρας ἑκάστης, ἢ ὀβολὸν, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ὡς δὲ Φιλόχορός (fr. 67) φησιν, θ' δραχμὰς κατὰ μῆνα.

Cod. E : κεκτημένοι οἱ πεπηρωμένοι τὸ σῶμα... βουλῆς οἱ μέν φασιν ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Apud Zonaram s. v. : ἐλάμβανον... οἱ μὲν ἐφ' ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν.

Suidas : Ἀδύνατοι, οἱ πεπηρωμένοι τὸ σῶμα· ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς (τῶν πενταχοσίων ex seqq. addit Bernhardy.) οἱ μὲν [πενταχόσιοι] ἑκάστης ἡμέρας ὀβολοὺς δύο, οἱ δὲ ὀβολόν. Φιλόχορος κτλ., ut ap. Harp. Eadem Zonaras p. 42, Favorinus et Hesych. — Bekker. An. I, p. 345 : Ἀδύνατοι, οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος, ὡς μηδὲ ἐργάζεσθαι· οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς

55.

Aristoteles decem (logistarum) assessores sorte legi dicit.

56.

Hipparchi sive equitum præfecti duo erant apud Athenienses, ut Demosthenes in Philippica quarta dicit et Aristoteles in Athen. Rep.

57.

Phylarchus, qui suæ tribus equitatui præfectus est, subditus erat Hipparcho, ut Aristoteles in Rep. Athen. dicit.

58.

Imperatores quoque anno eligebantur decem, ut discere est ex Aristotelis Rep. Athen.

59.

Militia in Eponymis, cujus meminit Æschines in oratione De falsa legatione, quid sit declarat Aristoteles in Rep. Athen. inquiens : « Eponymorum duo sunt genera : nam decem numero sunt tribuum; duo et quadraginta sunt ætatum. Ephebi vero, antea quidem in albo inscribebantur ac notabatur archon anni, quo inscriberentur, et eponymus anni antecedentis; nunc vero in senatu inscribuntur. » Et paullo post : « Utuntur autem eponymis etiam ad militiam, et quum juventutem emittunt, a quo archonte eponymo usque ad quem stipendia merere oporteat adscribunt. » Disserit de his etiam Philochorus Atthidis libro quarto.

60.

Invalidi, intra tres minas possidentes et corpore mutilati. Hi a senatu approbati vel duos obolos vel unum obolum quotidie accipiebant, ut Aristoteles in Rep. Athen. ait.

τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτῶν τῶν ἐντὸς τριῶν μνῶν περιουσίαν κεκτημένων· ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν φ' βουλῆς, καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος ε', Ἀριστοτέλης δὲ β' ἔφη. Cf. Taylor. ad Lysiæ orat. De invalido init.; Bœckh. *Staatsh.* I, p. 260 sqq. Hermann. § 152, 14.

61.

Plutarch. Themist. c. 10 : Κρατήσας δὲ τῇ γνώμῃ (ὁ Θεμιστοκλῆς) ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ « Ἀθηνάων μεδεούσῃ », τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις.... Οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις, Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ἑκάστῳ τῶν στρατευομένων ὀκτὼ δραχμὰς αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις· Κλείδημος δὲ κ. τ. λ. (V. Clidem. fr. 13).

[Arist. Pol. V, 3, 5 : Ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ εὐδοκιμήσασα ἐν τοῖς Μηδικοῖς ἔδοξε συντονωτέραν ποιῆσαι τὴν πολιτείαν, καὶ πάλιν ὁ ναυτικὸς ὄχλος γενόμενος αἴτιος τῆς περὶ Σαλαμῖνα νίκης καὶ διὰ ταύτης τῆς ἡγεμονίας διὰ τὴν κατὰ θάλασσαν δύναμιν τὴν δημοκρατίαν ἰσχυροτέραν ἐποίησεν.

Id. IV, 4, 1 : Τὸ τριηρικὸν Ἀθήνησι (πολύοχλόν ἐστιν).

Id. V, 2, 12 : Ἀθήνησιν.. μᾶλλον δημοτικοὶ οἱ τὸν Πειραιᾶ οἰκοῦντες τῶν τὸ ἄστυ.]

62.

Harpocration : Ἑλληνοταμίαι... Ὅτι ἀρχή τις ἦν οἱ Ἑλληνοταμίαι, οἱ διεχείριζον τὰ χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ Ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Cf. Bekker. Anecd. I, p. 248, 29; 188, 16; Pollux VIII, 114; Thucyd. I, 86; Bœckh. *Staatsh.* I, p. 191 sqq. L. Dindorf. in Steph. Thes. s. v. Hermann. *Staatsalt.* § 156, 6; Schœmann. Histor. jur. publ. p. 320, 430, 432.

63.

ταύτην τὴν δημοκρατίαν (sc. in qua omnes cives reip. administrationis participes sint), καὶ τὸν δῆμον ποιεῖν ἰσχυρὸν εἰώθασιν οἱ προεστῶτες τῷ προσλαμβάνειν ὡς πλείστους, καὶ ποιεῖν πολίτας μὴ μόνον τοὺς γνησίους, ἀλλὰ καὶ τοὺς ἐξ ὁποτερουοῦν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρός· ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον. Εἰώθασι μὲν οὖν οἱ δημαγωγοὶ κατασκευάζειν οὕτω· δεῖ μέντοι προσλαμβάνειν μέχρις ἂν ὑπερτείνῃ τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων, καὶ τούτου μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀτακτοτέραν τε ποιοῦσι τὴν πολιτείαν, καὶ τοὺς γνωρίμους πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν παροξύνουσι μᾶλλον· ὅπερ συνέβη τῆς στάσεως αἴτιον γενέσθαι περὶ Κυρήνην· ὀλίγον μὲν γὰρ πονηρὸν παρορᾶται· πολὺ δὲ γινόμενον ἐν ὀφθαλμοῖς μᾶλλόν ἐστιν. Ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο, βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες· φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινά, καὶ πάντα σοφιστέον, ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον.]

[ΚΑΡΧΗΔΟΝΙΩΝ.]

209.

[Aristot. Pol. II, 8: Πολιτεύεσθαι δὲ δοκοῦσι καὶ Καρχηδόνιοι καλῶς, καὶ πολλὰ περιττῶς πρὸς τοὺς ἄλλους, μάλιστα δ' ἔνια παραπλησίως τοῖς Λάκωσιν· αὗται γὰρ αἱ πολιτεῖαι τρεῖς ἀλλήλαις τε σύνεγγύς πως εἰσὶ, καὶ τῶν ἄλλων πολὺ διαφέρουσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη τούτων ἡ τῶν Καρχηδονίων. Καὶ πολλὰ τῶν τεταγμένων ἔχει παρ' αὐτοῖς καλῶς· σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ τὸν δῆμον ἔχουσαν διαμένειν ἐν τῇ τάξει τῆς πολιτείας, καὶ μήτε στάσιν, ὅ τι καὶ ἄξιον εἰπεῖν, γεγενῆσθαι μήτε τύραννον. (2) Ἔχει δὲ παραπλήσια τῇ Λακωνικῇ πολιτείᾳ τὰ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν δὲ τῶν ἑκατὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρον οἱ μὲν ἐκ τῶν τυχόντων εἰσὶ, ταύτην δ' αἱροῦνται τὴν ἀρχὴν ἀριστίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερουσίαν ἀνάλογον τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρουσιν. Καὶ βέλτιον δὲ τοὺς βασιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος, μήτε τοῦτο τὸ τυχὸν, εἰ δὲ διαφέρον, ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ κατ' ἡλικίαν· μεγάλων γὰρ κύριοι καθεστῶτες, ἂν εὐτελεῖς ὦσι, μεγάλα βλάπτουσι καὶ ἔβλαψαν ἤδη τὴν πόλιν τὴν τῶν Λακεδαιμονίων. (3) Τὰ μὲν οὖν πλεῖστα τῶν ἐπιτιμηθέντων ἂν διὰ τὰς παρεκβάσεις κοινὰ τυγχάνει πάσαις ὄντα ταῖς εἰρημέναις πολιτείαις· τῶν δὲ πρὸς τὴν ὑπόθεσιν τῆς ἀριστοκρατίας καὶ τῆς πολιτείας τὰ μὲν εἰς δῆμον ἐκκλίνει μᾶλλον, τὰ δ' εἰς ὀλιγαρχίαν. Τοῦ μὲν γὰρ τὰ μὲν προσάγειν, τὰ δὲ μὴ προσάγειν πρὸς τὸν δῆμον οἱ βασιλεῖς κύριοι μετὰ τῶν γερόντων, ἂν ὁμογνωμονῶσι πάντες· εἰ δὲ μή, καὶ τούτων ὁ δῆμος. Ἃ δ' ἂν εἰσφέρωσιν οὗτοι, οὐ διακοῦσαι μόνον ἀποδιδόασι τῷ δήμῳ τὰ δόξαντα τοῖς ἄρχουσιν,

---

omnes cives reipublicæ administrationis participes sint) et populum validum efficiendum, solent populi duces quam plurimos asciscere non solum legitimos cives, sed etiam nothos et ex alterutro parente cive procreatos, hoc est, ex patre aut matre. Omne enim genus hoc hominum ad talem democratiam magis accommodatum est. Solent igitur demagogi hæc excogitare et machinari: sed oportet assumere usque eo, dum multitudo nobiles et medios superet, nec tamen ultra procedere convenit. Nam si modum superent, statum reipublicæ magis perturbant, magisque nobiles ira incendunt, quo minus statum popularem ferant: quod Cyrenis causa fuit seditionis. Nam exiguum malum non animadvertitur: idem si fiat majus, magis in oculos incurrit. Præterea ad talem democratiam utilia sunt talia commenta atque inventa, quibus Clisthenes Athenis usus est, quum democratiam amplificare atque augere vellet, et ii qui Cyrenis democratiam constituerunt. Nam et aliæ pluresque tribus et curiæ faciendæ sunt; omnia denique artificia adhibenda sunt, ut quammaxime omnes inter se permisceantur, pristinæ autem consuetudines et societates disjungantur atque aboleantur.]

[CARTHAGINIENSIUM.]

[209.]

[Existimantur autem etiam Carthaginienses reipublicæ administrandæ ratione uti recta, et multis in rebus eximia atque egregia, si cum aliis comparetur; in nonnullis autem Lacedæmoniorum reipublicæ consimili. Hæ enim tres respublicæ quum inter se quodammodo sint similes, tum ab aliis longe differunt: Cretensis, inquam, et Laconica et tertia Carthaginiensis. Multaque eorum, quæ apud Carthaginienses constituta sunt, præclare se habent. Argumento autem est, hanc rempublicam bene esse descriptam, quod quum populum habeat rerum compotem, maneat in descriptione et ordinatione reipublicæ, neque aut seditio unquam in eo coorta sit, memoratu quidem illa digna, aut tyrannus exstiterit. (2) Habet autem hæc Laconicæ reipublicæ similia: primum sodalitiorum convivia, phiditiis; deinde centum et quattuor virûm imperium, ephororum potestati, et melius quidem institutum. Illi enim e vulgo sunt, hi autem ad hoc imperium eliguntur, ut quisque virtute et dignitate præstat. Postremo reges et senatum habet Lacedæmoniorum regibus et senatui respondentes. Et vero reges quidem rectius creant, neque ex eodem perpetuo genere neque ex quovis fortuna oblato; sin præstans aliquod est, ex eo reges electio, non ætas facit. Nam magnarum rerum domini et compotes effecti, si sint vulgares homines atque abjecti, magna damna inferunt, et magna jam intulerunt Lacedæmoniorum civitati. (3) Plurima igitur eorum, quæ reprehendi possunt propter declinationem a recta ratione reipublicæ, communia huic fuerunt cum aliis rebuspublicis, quas commemoravimus. Eorum autem, quæ optimatium principatum et politiam finem sibi propositum habent, partim quidem ad populi potentiam, alia vero ad paucorum dominatum magis declinant. Reges enim

ἀλλὰ κύριοι κρίνειν εἰσὶ καὶ τῷ βουλομένῳ τοῖς εἰσφερομένοις ἀντειπεῖν ἔξεστιν, ὅπερ ἐν ταῖς ἑτέραις πολιτείαις οὐκ ἔστιν. (4) Τὸ δὲ τὰς πενταρχίας κυρίας οὔσας πολλῶν καὶ μεγάλων ὑφ' αὑτῶν αἱρετὰς εἶναι, καὶ τὴν τῶν ἑκατὸν ταύτας αἱρεῖσθαι τὴν μεγίστην ἀρχήν, ἔτι δὲ ταύτας πλείονα ἄρχειν χρόνον τῶν ἄλλων (καὶ γὰρ ἐξεληλυθότες ἄρχουσι καὶ μέλλοντες) ὀλιγαρχικόν, τὸ δ' ἀμίσθους καὶ μὴ κληρωτὰς, ἀριστοκρατικὸν θετέον, καὶ εἴ τι τοιοῦτον ἕτερον, καὶ τὸ τὰς δίκας ὑπὸ τῶν ἀρχείων πάντων δικάζεσθαι πάσας, καὶ μὴ ἄλλας ὑπ' ἄλλων, καθάπερ ἐν Λακεδαίμονι. (5) Παρεκβαίνει δὲ τῆς ἀριστοκρατίας ἡ τάξις τῶν Καρχηδονίων μάλιστα πρὸς τὴν ὀλιγαρχίαν κατά τινα διάνοιαν, ἣ συνδοκεῖ τοῖς πολλοῖς· οὐ γὰρ μόνον ἀριστίνδην, ἀλλὰ καὶ πλουτίνδην οἴονται δεῖν αἱρεῖσθαι τοὺς ἄρχοντς· ἀδύνατον γὰρ τὸν ἀποροῦντα καλῶς ἄρχειν καὶ σχολάζειν. Εἴπερ οὖν τὸ μὲν αἱρεῖσθαι πλουτίνδην ὀλιγαρχικὸν, τὸ δὲ κατ' ἀρετὴν ἀριστοκρατικὸν, αὕτη τις ἂν εἴη τάξις τρίτη, καθ' ἥνπερ συντέτακται καὶ τοῖς Καρχηδονίοις τὰ περὶ τὴν πολιτείαν· αἱροῦνται γὰρ εἰς δύο ταῦτα βλέποντες καὶ μάλιστα τὰς μεγίστας, τούς τε βασιλεῖς καὶ τοὺς στρατηγούς. (6) Δεῖ δὲ νομίζειν ἁμάρτημα νομοθέτου τὴν παρέκβασιν εἶναι τῆς ἀριστοκρατίας ταύτην. ἐξ ἀρχῆς γὰρ τοῦθ' ὁρᾷν ἔστι τῶν ἀναγκαιοτάτων, ὅπως οἱ βέλτιστοι δύνωνται σχολάζειν, καὶ μηδὲν ἀσχημονεῖν μὴ μόνον ἄρχοντες, ἀλλὰ μηδ' ἰδιωτεύοντες. Εἰ δὲ δεῖ βλέπειν καὶ πρὸς εὐπορίαν χάριν σχολῆς, φαῦλον τὸ τὰς μεγίστας ὠνητὰς εἶναι τῶν ἀρχῶν, τήν τε βασιλείαν καὶ τὴν στρατηγίαν· ἔντιμον γὰρ ὁ νόμος οὗτος ποιεῖ τὸν πλοῦτον μᾶλλον τῆς ἀρετῆς, καὶ τὴν πόλιν ὅλην φιλοχρήματον. (7) Ὅ τι δὲ ἂν ὑπολάβῃ τίμιον εἶναι τὸ κύριον, ἀνάγκη καὶ τὴν τῶν ἄλλων πολιτῶν δόξαν ἀκολουθεῖν τούτοις· ὅπου δὲ μὴ μάλιστα ἀρετὴ τιμᾶται, ταύτην οὐχ οἷόν τε εἶναι βεβαίως ἀριστοκρατικὴν πολιτείαν. Ἐθίζεσθαι δ' εὔλογον κερδαίνειν τοὺς ὠνουμένους, ὅταν δαπανήσαντες ἄρχωσιν· ἄτοπον γὰρ, εἰ πένης μὲν ὢν ἐπιεικὴς δὲ βουλήσεται κερδαίνειν, φαυλότερος δ' ὢν οὐ βουλήσεται δαπανήσας. Διὸ δεῖ τοὺς δυναμένους ἀρισταρχεῖν, τούτους ἄρχειν. Βέλτιον δ' εἰ καὶ προεῖτο τὴν εὐπορίαν τῶν ἐπιεικῶν ὁ νομοθέτης, ἀλλὰ ἀρχόντων γε ἐπιμελεῖσθαι τῆς σχολῆς. (8) Φαῦλον δ' ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις· ἓν γὰρ ὑφ' ἑνὸς ἔργον ἄριστ' ἀποτελεῖται. Δεῖ δ' ὅπως γίνηται τοῦθ' ὁρᾷν τὸν νομοθέτην, καὶ μὴ προστάττειν τὸν αὐτὸν αὐλεῖν καὶ σκυτοτομεῖν. Ὥσθ' ὅπου μὴ μικρὰ πόλις, πολιτικώτερον πλείονας μετέχειν τῶν ἀρχῶν, καὶ δημοτικώτερον· κοινότερόν τε γὰρ, καθάπερ εἴπομεν, καὶ

cum senatoribus potestatem habent aliud ad populum deferendi, aliud non deferendi, si quidem omnes inter se consenserint; sin minus, penes populum arbitrium et potestas est. Quæ autem hi afferunt ad populum, non modo renuntiant populo, ut audiat quæ fuerint a principibus civitatis decreta, verum etiam cuivis de populo contra ea quæ afferuntur, dicere licet: quod non fit in alteris rebuspublicis. (4) Quod autem pentarchiæ, id est quinqueviratus, qui sunt multarum magnarumque rerum compotes atque arbitri, et a se ipsi leguntur, et centumvirûm magistratum, qui amplissimus est, eligunt; prætereaque quod pentarchæ, seu qui pentarchiarum nomine magistratum gerunt, diutius gerunt magistratum quam ceteri (nam et munere egressi et egressuri magistratum quendam gerunt), hoc ad potentatum paucorum pertinet. Quod autem sine mercede et sine sortitione fiunt, hoc ad optimatium principatum pertinere statuendum est, et si quid simile aliud est, uti illud quod lites et controversiæ omnes ab omnibus, qui magistratum gerunt, disceptantur, non aliæ ab aliis, quemadmodum Lacedæmone. (5) Deflectit autem maxime ab optimatium principatu ad paucorum maxime potentatum Carthaginiensium reipublicæ constitutio ex quadam opinione a multis probata. Non enim virtutem solum, verum etiam divitias in eligendis magistratibus putant spectari oportere. Fieri enim non posse arbitrantur ut is, cui desunt rei familiaris facultates, otio necessario fruatur et recte fungatur magistratu. Si igitur magistratuum electio e censu facta ad paucorum potentatum pertinet; ex virtute vero, ad optimatium principatum: hæc tertia fuerit reipublicæ administrandæ ratio ac descriptio qua Carthaginienses utuntur. In eligendis enim magistratibus, iisque maximis, regibus scilicet et imperatoribus, hæc duo simul spectant. (6) Hæc autem ab optimatum principatu declinatio latoris legis peccato culpaque occidisse existimanda est. Nam statim ab initio hoc inprimis provideri debet, ut viri optimi otiari possint cum aliqua dignitate, aut certe sine specie deformi atque indecora; idque non solum quamdiu publicam personam sustinent magistratumque gerunt, verum etiam quum vitam privatam degunt. Quodsi otii gratia etiam ad facultates et copias rei familiaris attendendus animus est, summos magistratus tamen, regnum et imperium bellicum, esse venales, malum est. Efficit enim hæc lex, ut majore in pretio atque honore sint divitiæ, quam virtus, et ut tota civitas immoderato pecuniæ studio sit dedita. (7) Quidquid autem honoratum principes civitatis existimarint, idem et reliquis civibus tale videatur necesse est. Qua autem in republica non maximo in honore pretioque virtus est, hæc respublica ad stabilem optimatium principatum nullo modo pervenire potest. Consentaneum porro est eos, qui magistratus emerunt, quum impensam fecerint in magistratum, assuescere quæstum facere. Omnium enim minime probabile est, si quidem pauper, sed tamen vir bonus, quæstus faciendi voluntatem habeat, hominem deteriorem, qui sumptum fecerit, lucrari nolle. Quapropter oportet eos, qui optime præesse reipublicæ possunt, hos præesse. Præstabat autem, etsi impediendæ virorum bonorum indigentiæ nullam curam legislator habuerit, at certe magistratuum otio consulere ac prospicere. (8) Malum autem esse videtur etiam hoc, eundem hominem plures magistratus gerere: quod quidem apud Carthaginienses honorificum et gloriosum est. Nam unum opus ab uno optime perficitur. Oportet vero latorem legis, ut hoc fiat, operam dare, non ut idem et tibia canat et sutoriam faciat, negotium dare. Itaque ubi non est parva civitas, civilius est plures esse magistratuum participes, et magis populare. Nam quum hoc communius sit, quemadmodum diximus, tum unaquæque res et melius fit

κάλλιον ἕκαστον ἀποτελεῖται τῶν αὐτῶν καὶ θᾶττον. Δῆλον δὲ τοῦτο ἐπὶ τῶν πολεμικῶν καὶ τῶν ναυτικῶν· ἐν τούτοις γὰρ ἀμφοτέροις διὰ πάντων ὡς εἰπεῖν διελήλυθε τὸ ἄρχειν καὶ τὸ ἄρχεσθαι. (9) Ὀλιγαρχικῆς δ' οὔσης τῆς πολιτείας, ἄριστα ἐκφεύγουσι τῷ πλουτεῖν αἰεί τι τοῦ δήμου μέρος ἐκπέμποντες ἐπὶ τὰς πόλεις· τούτῳ γὰρ ἰῶνται καὶ ποιοῦσι μόνιμον τὴν πολιτείαν. Ἀλλὰ τουτί ἐστι τύχης ἔργον· δεῖ δὲ ἀστασιάστους εἶναι διὰ τὸν νομοθέτην· νῦν δ', ἂν ἀτυχία γένηταί τις, καὶ τὸ πλῆθος ἀποστῇ τῶν ἀρχομένων, οὐδέν ἐστι φάρμακον διὰ τῶν νόμων τῆς ἡσυχίας. V. Aristoteles de Carthag. Rep. ed. *Kluge.* Vratisl. 1824.]

[210.]

[Id. Pol. III, 1, 7 : Ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει τῶν ἐφόρων ἄλλος ἄλλας, οἱ δὲ γέροντες τὰς φονικάς, ἑτέρα δ' ἴσως ἀρχή τις ἑτέρας, τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δίκας (V. Kluge l. l. p. 159 sqq.)

III, 5, 11 : (Τυρρηνοῖς καὶ Καρχηδονίοις) ἔστι σύμβολα πρὸς ἀλλήλους.

IV, 5, 11 : Ὅπου οὖν ἡ πολιτεία βλέπει εἴς τε πλοῦτον καὶ ἀρετὴν καὶ δῆμον, οἷον ἐν Καρχηδόνι, αὕτη ἀριστοκρατική ἐστιν.

V, 6, 2 : (Ἐν ταῖς ἀριστοκρατίαις γίγνονται αἱ στάσεις) ἐάν τις μέγας ᾖ καὶ δυνάμενος ἔτι μείζων εἶναι, ὥσπερ... ἐν Καρχηδόνι Ἄννων.

V, 10, 3 : (Μεταβάλλει τυραννὶς) καὶ εἰς ἀριστοκρατίαν, ὥσπερ.. ἐν Καρχηδόνι.

V, 10, 4 : Ἐν πολλαῖς δὲ ὀλιγαρχίαις οὐκ ἔξεστι χρηματίζεσθαι, ἀλλὰ νόμοι εἰσὶν οἱ κωλύοντες· ἐν Καρχηδόνι δὲ δημοκρατουμένῃ (ἀριστοκρ. Schneid.) χρηματίζονται καὶ οὔπω μεταβεβλήκασιν. (Vulgatam δημ. tutatur Gottl. in Excurs. III De Rep. Carth. p. 481 sqq. Hilarius scribi voluit Καλχηδόνι.)

VI, 3, 5 : Τοιοῦτον δέ τινα τρόπον Καρχηδόνιοι πολιτευόμενοι φίλον κέκτηνται τὸν δῆμον· ἀεὶ γάρ τινας ἐκπέμποντες τοῦ δήμου πρὸς τὰς περιοικίδας ποιοῦσιν εὐπόρους.

VII, 2, 6 : Ἐν ἐνίοις γὰρ καὶ νόμοι τινές εἰσι παροξύνοντες πρὸς τὴν ἀρετὴν τοιαύτην (sc. τὴν πολεμικήν), καθάπερ ἐν Καρχηδόνι φασὶ τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν στρατεύσωνται στρατείας.]

ΑΚΡΑΓΑΝΤΙΝΩΝ.

211.

Pollux IV, 174 : Ἀριστοτέλης δὲ ἐν μὲν Ἀκραγαντίνων πολιτείᾳ προειπὼν ὡς ἐζημίουν πεντήκοντα (infra τριάκοντα) λίτρας, ἐπάγει· « Ἡ δὲ λίτρα δύναται ὀβολὸν Αἰγιναῖον· » ἐν δὲ Ἱμεραίων πολιτείᾳ φησὶν ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι· τὸν δὲ ἕνα οὐγκίαν, τοὺς δὲ τρεῖς τριᾶντα, τοὺς δὲ ἓξ ἡμίλιτρον, τὸν δὲ ὀβολὸν λίτραν, τὸν δὲ Κορίνθιον στατῆρα δεκάλιτρον, ὅτι δέκα ὀβολοὺς δύναται.

Cf. Pollux IX, 80 : Καὶ μὲν ἐν Ἀκραγαντίνων πολιτείᾳ φησὶν Ἀριστοτέλης ζημιοῦσθαί τινα τριάκοντα λίτρας· δύνασθαι δὲ τὴν λίτραν ὀβολὸν Αἰγιναῖον· ἀλλὰ μέντοι παρ' αὐτῷ τὶς ἂν ἐν τῇ Ἱμεραίων πολιτείᾳ καὶ ἄλλα εὕροι Σικελικῶν νομισμάτων ὀνόματα, οἷον οὐγ-

a singulis et citius. Licet autem hoc cernere in rebus bellicis et nauticis. In his enim utrisque per omnes fere pervadit imperandi jus et parendi necessitas. (9) Quum autem eorum reipublicæ administrandæ ratio sit oligarchica, optime tamen hoc incommodum effugiunt eo, quod semper aliquam partem populi ditant in oppida emittentes. Hac enim re medentur huic malo, et reipublicæ statum stabiliunt. Sed hoc fortunæ acceptum referendum est. At oportebat eos a seditione tutos esse consilio et opera latoris legis, non beneficio fortunæ. Nunc autem, si quid adversi acciderit, et paullo major numerus civium imperio subjectorum defecerit ac discordarit, nullum est in legibus tranquillitatis et quietis retinendæ præsidium.]

[210.]

[Lacedæmone lites de rebus contractis dirimunt ephororum alii alias; senatores autem judicia de parricidiis exercent, alius porro aliquis magistratus fortassis alia. Idemque fit Carthagine; certi enim magistratus rebus omnibus judicandis præsunt.

Tuscis et Carthaginiensibus sunt inter se pacta commerciorum.

Ubi reipublicæ administrandæ ratio spectat ad divitias et ad virtutem et ad populum, ut Carthagine, hæc aristocratiæ convenit.

In aristocratiis seditiones exsistunt... si quis magnus sit, et qui major etiam fieri possit sicut ... Hanno Carthagine.

Tyrannis mutatur etiam in aristocratiam sicut ... Carthagine.

In multis oligarchiis non licet quæstum facere e magistratibus, sed leges sunt quæ vetent. Carthagine vero, quæ civitas populariter administratur, quæstum faciunt, necdum tamen reipublicæ statum mutaverunt.

Simili modo Carthaginienses remp. administrantes populi benevolentiam colligunt. Semper enim aliquos de plebe in urbes adjacentes ditioni ipsorum et subjectas mittentes locupletant.

Apud quosdam etiam leges quædam sunt ad hanc (bellicam) virtutem excitantes, quemadmodum Carthagine aiunt annulorum ornatum cuique pro numero bellorum, quibus interfuerit, concedi.]

AGRIGENTINORUM.

211.

Aristoteles in Agrigentinorum rep., præfatus quod quinquaginta litris mulctarentur, addit : « Litra vero obolum adæquat Ægineticum. » In Himerensium vero rep. dicit : « Siculi duos chalcos *sextantem* vocant, unum chalcum *unciam*, tres chalcos *trientem*, sex vero *semilitrum*, obolum autem *litram*: porro staterem Corinthium vocant *decalitrum*, quia decem obolos valet. »

κίαν, ὅπερ δύναται χαλκοῦν ἕνα· καὶ ἑξᾶντα, ὅπερ ἐστὶ δύο χαλκοῖ, καὶ τριξᾶντα, ὅπερ τρεῖς, καὶ ἡμίλιτρον, ὅπερ ἕξ, καὶ λίτραν, ἣν εἶναι ὀβολόν· τὸ μέντοι δεκάλιτρον δύνασθαι μὲν δέκα ὀβολούς, εἶναι δὲ στατῆρα Κορίνθιον. Pro ἑξᾶντα et τριξᾶντα libri ἓξ τάλαντα et τρία τάλαντα. Cf. Bentley De pecunia Sicula in Opusc. p. 416 sqq.; Müller. *Dor.* II, p. 214 sqq., Æginet. p. 91.

212.

Pollux IX, 87 : Τὸ μέντοι Σικελικὸν τάλαντον ἐλάχιστον ἴσχυεν · τὸ μὲν ἀρχαῖον, ὡς Ἀριστοτέλης λέγει, τέτταρας καὶ εἴκοσι τοὺς νούμμους· τὸ δὲ ὕστερον, δυοκαίδεκα · δύνασθαι δὲ τὸν νοῦμμον τρία ἡμιωβόλια. Cf. Bœckh. Œcon. Athen. I, p. 17. Wurm De ponder. num. rationibus p. 60, 136.

[213.]

[Aristot. Pol. V, 8, 4 : Φάλαρις ἐκ τῶν τιμῶν sc. ad tyrannidem evasit.]

214.

Diogen. Laert. VIII, 63 : Φησὶ δ' αὐτὸν (Ἐμπεδοκλέα) καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴγε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, καθάπερ Ξάνθος (fr. 30) ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλείων ἀγαπήσας. Cf. Eudoc. p. 107.

215.

Idem VIII, 74 : Περὶ τῶν ἐτῶν Ἐμπεδοκλοῦς Ἀριστοτέλης διαφέρεται· φησὶ γὰρ ἐκεῖνος ξ' ἐτῶν αὐτὸν τελευτῆσαι. Eadem ex Apollodoro (fr. 87) repetit VIII, 52. Vide Karsten. Empedoclis Fragm. p. 9 et 45; Clinton ad Ol. 84, 1. Ceterum rectius fortasse hæc ex libro De poetis petita esse dixeris.

ΙΜΕΡΑΙΩΝ.

Vide Remp. Agrigentinorum, fr. 211.

ΓΕΛΩΩΝ.

216.

Schol. Pindar. Pyth. I, 89 : Φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ Γελώων πολιτείᾳ, Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ, δυσουρίᾳ δυστυχῆσαι. Cf. Plutarch. De Pyth. orac. p. 403, C : Γέλων μὲν ὑδροπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννευσεν. Diodor. XI, 38, 3, ὑπὸ ἀρρωστίας συνεχόμενος (Γέλων). V. Bœckh. ad Pindari l. l.

[217.]

[Aristot. Pol. V, 10, 4 : Ἐν Γέλᾳ εἰς τὴν Κλεάνδρου (τυραννίδα ἡ ὀλιγαρχία μετέβαλε).

ΣΥΡΑΚΟΥΣΙΩΝ.

218.

Pollux VI, 16, de Pollide Argivo, Syracusanorum rege. Vide fragm. 95 not.

219.

Photius Lex. : Καλλικύριοι, οἱ ἀντὶ τῶν γεωμόρων ἐν Συρακούσαις γενόμενοι πολλοί τινες τὸ πλῆθος... (V. Timæi fr. 56.) ... Ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν παντοδαποὶ ὄντες, ὡς Ἀριστοτέλης ἐν Συρακουσίων πολιτείᾳ, ὅμοιοι τοῖς παρὰ Λακεδαιμονίοις εἵλωσι, καὶ παρὰ Θεσσαλοῖς πενέσταις, καὶ παρὰ Κρησὶ κλαρώταις. [Καὶ παροιμία · Καλλικυρίων πλείους. Τοῦτο ἐλέγετο, εἴ ποτε πλῆθος ἤθελον ἐμφῆναι· οἱ γὰρ Καλλικύριοι δοῦλοι ἦσαν, πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλον. Hæc addit Suidas s. v.]

Cf. Photius v. Κιλλικύριοι (quæ vocis forma præferenda) : Ἐν Συρακόσσαις τινὲς ἐκλήθησαν οἱ ἀντὶ τῶν γεωμόρων μέρος καταλαβόντες τοῦ πολιτεύματος, οἷον εἵλωτες καὶ πενέσται τινές. Hesych. cui οἱ κιλλικ. sunt οἱ ἐπεισελθόντες γεωμόροις. Zenob.

212.

Siculum talentum quam minimum valuit; vetus quidem, ut Aristoteles tradit, viginti quattuor nummos, posterius vero duodecim : valere autem nummum tria semiobolia.

213.

[Phalaris ex honoribus summis ad tyrannidem evasit.]

214.

Fuisse vero Empedoclem inprimis liberum atque ab omni imperandi fastu remotissimum Aristoteles tradit, siquidem et regnum quum ipsi offerretur, constanter renuit (sicuti Xanthus in libro de eo tradit), frugalitatem scilicet regum deliciis præferens.

215.

De annis Empedoclis Aristoteles dissentit (*a Favorino, qui 77 annos natum obiisse dixit*). Is enim sexaginta annos natum obiisse ait.

GELOORUM.

216.

Aristoteles in Geloorum rep. alicubi dicit Gelonem Hieronis fratrem hydrope mortuum esse; Hieronem vero idem in Syracusanorum rep. refert urinæ difficultate laborasse.

[217.]

[Gelæ in Cleandri tyrannidem oligarchia versa est.]

SYRACUSANORUM.

219.

Cillicyrii dicti inde sunt quod eodem confluxerunt homines ex omni genere mixti, ut Aristoteles ait in Syracusanorum rep., similes Helotibus Lacedæmoniorum, Penestis Thessalorum, Clarotis Cretensium.

IV, 54; Favorin. v. Καλλικ.; Etym. Gudian. p. 165; Herodotus VII, 155; Eustath. Il. p. 295, 31, ubi librariorum errorem notat Ruhnken. ad Timæi Lex. p. 214; Wesseling. ad Diodor. tom. II, p. 549; Welcker. Prolegg. ad Theogn. p. 19; Müller. *Dor.* II, p. 61 sqq.; Hermann. *Antiqq.* § 19.

[220.]

[Aristot. Pol. V, 3, 1 : Γίνονται μὲν οὖν αἱ στάσεις οὐ περὶ μικρῶν, ἀλλ' ἐκ μικρῶν · στασιάζουσι δὲ περὶ μεγάλων. Μάλιστα δὲ καὶ αἱ μικραὶ ἰσχύουσιν, ὅταν ἐν τοῖς κυρίοις γένωνται· οἷον συνέβη καὶ ἐν Συρακούσαις ἐν τοῖς ἀρχαίοις χρόνοις· μετέβαλε γὰρ ἡ πολιτεία ἐκ δύο νεανίσκων στασιασάντων, ἐν ταῖς ἀρχαῖς ὄντων, περὶ ἐρωτικὴν αἰτίαν· θατέρου γὰρ ἀποδημοῦντος, ἑταῖρος ὤν τις (ἅτερος ἑταῖρος ὢν Coray.) τὸν ἐρώμενον αὐτοῦ ὑπεποιήσατο· πάλιν δὲ ἐκεῖνος τούτῳ χαλεπήνας τὴν γυναῖκα αὐτοῦ ἀνέπεισεν ὡς αὐτὸν ἐλθεῖν· ὅθεν προσλαμβάνοντες τοὺς ἐν τῷ πολιτεύματι διεστασίασαν πάντας.]

Narrat etiam Plutarchus Præcept. Pol. c. 32, 17, p. 1006. Rem ad turbas contra Geomoros a plebe excitatas refert Heyn. Opusc. II, p. 257. De Myletidis, quorum Thucydides (VI, 5) mentionem injicit, cogitavit Arnold. *Gesch. v. Syracus,* p. 30. Cf. Gœller. De situ Syr. p. 10.

[221.]

[Id. ib. V, 2, 6 : Ἐν Συρακούσαις πρὸ τῆς Γέλωνος τυραννίδος (ἡ δημοκρατία κακῶς πολιτευομένων διεφθάρη).

V, 10, 3 : (Μεταβάλλει) καὶ εἰς δημοκρατίαν (ἡ τυραννίς), ὥσπερ ἡ τοῦ Γέλωνος ἐν Συρακούσαις.

V, 8, 19 : (Φθείρεται ἡ τυραννὶς) ὅταν οἱ μετέχοντες στασιάζωσιν, ὥσπερ ἡ τῶν περὶ Γέλωνα, καὶ νῦν ἡ τῶν περὶ Διονύσιον· ἡ μὲν Γέλωνος, Θρασυβούλου, τοῦ Ἱέρωνος ἀδελφοῦ, τὸν υἱὸν τοῦ Γέλωνος δημαγωγοῦντος καὶ πρὸς ἡδονὰς ὁρμῶντος, ἵν' αὐτὸς ἄρχῃ, τῶν δ' οἰκείων συστησάντων, ἵνα μὴ τυραννὶς ὅλως καταλυθῇ, ἀλλὰ Θρασύβουλος· οἱ δὲ συστάντες αὐτῶν ὡς καιρὸν ἔχοντες, ἐξέβαλον ἅπαντας αὐτούς. Διονύσιον δὲ Δίων στρατεύσας, κηδεστὴς ὤν, καὶ προσλαβὼν τὸν δῆμον, ἐκεῖνον ἐκβαλὼν διεφθάρη.

V, 9, 23 : Ἔτη δ' οὐδ' αὕτη (sc. ἡ περὶ Ἱέρωνα καὶ Γέλωνα τυραννίς) πολλὰ διέμεινεν, ἀλλὰ τὰ σύμπαντα δυοῖν δέοντα εἴκοσι. Γέλων μὲν γὰρ ἑπτὰ τυραννεύσας, τῷ ὀγδόῳ τὸν βίον ἐτελεύτησε· δέκα δ' Ἱέρων, Θρασύβουλος δὲ τῷ ἑνδεκάτῳ μηνὶ ἐξέπεσεν.

V, 9, 3 : Inter ea, quibus tyranni securitati suæ consulere student, est etiam τὸ μὴ λανθάνειν πειρᾶσθαι ὅσα τυγχάνει τις λέγων ἢ πράττων τῶν ἀρχομένων, ἀλλ' εἶναι κατασκόπους, οἷον περὶ Συρακούσας αἱ ποταγωγίδες καλουμέναι, καὶ τοὺς ὠτακουστὰς ἐξέπεμψεν Ἱέρων, ὅπου τις εἴη συνουσία καὶ σύλλογος.]

De Hieronis infirmitate v. fr. 216.

[222.]

[Id. ib. V, 8, 18 : Καὶ Συρακούσιοι κατὰ τὸν χρόνον, ὃν ἐπολιτεύοντο καλῶς, (πλείστας κατέλυσαν τυραννίδας).

V, 3, 6 : Ἐν Συρακούσαις ὁ δῆμος αἴτιος γενόμενος τῆς νίκης τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους, ἐκ πολιτείας εἰς δημοκρατίαν μετέβαλεν.

V, 8, 4 : Διονύσιος ἐν Συρακούσαις.. ἐκ δημαγωγίας ad tyrannidem pervenit.

V, 5, 6 : Γίγνονται δὲ μεταβολαὶ τῆς ὀλιγαρχίας καὶ ὅταν ἀναλώσωσι τὰ ἴδια ζῶντες ἀσελγῶς· καὶ γὰρ οἱ τοιοῦτοι καινοτομεῖν ζητοῦσι, καὶ ἢ τυραννίδι ἐπιτί-

---

[220.]

[Oriuntur seditiones non de parvis rebus, sed ex parvis : dissident enim homines de rebus magnis. Maxime tamen acres sunt etiam parvæ, quum in iis, in quorum moderatione respublica vertitur, exsistunt: cujusmodi res olim accidit et Syracusis. Mutata enim est reipublicæ forma ex duobus juvenibus magistratus gerentibus, quum inter eos ex amoribus dissensio orta esset. Altero enim absente quidam ejus sodalis puerum, ejus delicias, ad se pellexerat; ille autem reversus, huic iratus, contra ejus uxorem induxerat ut ad se veniret : ex quo, adjunctis sibi qui in republica versabantur, omnes cives ad seditionem concitarunt.]

[221.]

[Syracusis ante Gelonis tyrannidem (democratia male administrata funditus oppressa est).

In democratiam quoque (tyrannis) mutatur, quemadmodum Syracusana Gelonis.

Evertitur tyrannis... per sociorum seditionem, ut Gelonis et nuper Dionysii. Nam Gelonis quidem tyrannis eo eversa est, quod Thrasybulus, Hieronis frater, Gelonis filium demagogorum more blanditiis deliniebat et ad voluptates incitabat, ut ipse imperaret: necessarii autem ita res composuerant, ut ne tyrannis funditus everteretur, sed solus Thrasybulus : cives vero et populus occasionem nacti, coitione facta, eos omnes exegerunt. Dionysium autem Dion, ejus affinis, coacta militum manu et populo sibi adjuncto, tyrannide dejecit, et ipse interfectus est.

Hieronis et Gelonis tyrannis annos haud multos stabilis permansit : sed anni sunt omnino decem et octo. Nam Gelo quum annos septem tyrannidem obtinuisset, octavo excessit e vita; Hiero decimo anno; Thrasybulus undecimo mense exactus est.

Operam dant tyranni ut, quid subjectorum quisque dicat et agat, non ignoretur et exploratores habeant, quales erant Syracusis, quæ Potagogides appellabantur, et Otacustæ sive auscultatores, quos Hiero submittebat, ubicumque civium cœtus et conventus erat.]

[222.]

[Syracusii quo tempore bene administrabantur (plurimas everterunt tyrannides).

Syracusis, quum in populo causa victoriæ belli cum Atheniensibus gesti constitisset, politia in democratiam mutata est.

Dionysius Syracusis ex demagogo tyrannus evasit.

Fiunt oligarchiæ conversiones etiam, quum pauci, qui

θενται αὐτοί, ἢ κατασκευάζουσιν ἕτερον, ὥσπερ Ἱππαρῖνος Διονύσιον ἐν Συρακούσαις.

V, 4, 6 : Διονύσιος κατηγορῶν Δαφναίου καὶ τῶν πλουσίων ἠξιώθη τῆς τυραννίδος, διὰ τὴν ἔχθραν πιστευθεὶς ὡς δημοτικὸς ὤν.

III, 10, 10 : Δεῖ γὰρ αὐτὸν μὲν (sc. τὸν μέλλοντα βασιλεύειν) ἔχειν ἰσχὺν, εἶναι δὲ τοσαύτην τὴν ἰσχὺν, ὥστε ἑκάστου μὲν καὶ ἑνὸς καὶ συμπλειόνων κρείττω, τοῦ δὲ πλήθους ἥττω, καθάπερ οἵ τ' ἀρχαῖοι τὰς φύλακας ἐδίδοσαν, ὅτε καθισταῖέν τινα τῆς πόλεως ὃν ἐκάλουν αἰσυμνήτην ἢ τύραννον, καὶ Διονυσίῳ τις, ὅτ' ᾔτει τοὺς φύλακας, συνεβούλευε τοῖς Συρακουσίοις διδόναι τοσούτους τοὺς φύλακας.

V, 9, 5 : Ad ea, quibus tyrannidem tuentur tyranni, pertinet etiam ἡ εἰσφορὰ τῶν τελῶν, οἷον ἐν Συρακούσαις· ἐν πέντε γὰρ ἔτεσιν ἐπὶ Διονυσίου τὴν οὐσίαν ἅπασαν εἰσενηνοχέναι συνέβαινεν. Similiter Cypselus ap. Aristot. OEcon. II, c. 2.

I, 2, 2 : Ἐπιστήμη δ' ἂν εἴη καὶ δεσποτικὴ καὶ δουλική· δουλικὴ μὲν, οἵαν περ ὁ ἐν Συρακούσαις ἐπαίδευεν· ἐκεῖ γὰρ λαμβάνων τις μισθὸν ἐδίδασκε τὰ ἐγκύκλια διακονήματα τοὺς παῖδας.

I, 4, 7 : Ἐν Σικελίᾳ δέ τις τεθέντος παρ' αὐτῷ νομίσματος συνεπρίατο πάντα τὸν σίδηρον ἐκ τῶν σιδηρείων, μετὰ δὲ ταῦτα ὡς ἀφίκοντο ἐκ τῶν ἐμπορίων οἱ ἔμποροι, ἐπώλει μόνος, οὐ πολλὴν ποιήσας ὑπερβολὴν τῆς τιμῆς, ἀλλ' ὅμως ἐπὶ τοῖς πεντήκοντα ταλάντοις ἐπέλαβεν ἑκατόν. Τοῦτο μὲν οὖν ὁ Διονύσιος αἰσθόμενος τὰ μὲν χρήματα ἐκέλευσεν ἐκκομίσασθαι, μὴ μέντοι γ' ἔτι μένειν ἐν Συρακούσαις, ὡς πόρους εὑρίσκοντα τοῖς αὐτοῦ πράγμασιν ἀσυμφόρους.]

223.

Athenæus X, p. 435, E : Ἀριστοτέλης δ' ἐν τῇ Συρακουσίων πολιτείᾳ, καὶ συνεχῶς φησὶν αὐτὸν (sc. Διονύσιον τὸν νεώτερον) ἔσθ' ὅτε ἐπὶ ἡμέρας ἐνενήκοντα μεθύειν· διὸ καὶ ἀμβλυωπότερον γενέσθαι τὰς ὄψεις. Cf. Plutarch. Dion. c. 7.

Aristot. Pol. V, 8, 14 : Καὶ Διονυσίῳ τῷ ὑστέρῳ Δίων ἐπέθετο διὰ τὸ καταφρονεῖν, ὁρῶν τούς τε πολίτας οὕτως ἔχοντας καὶ αὐτὸν αἰεὶ μεθύοντα. Cf. Ælian. VI, 12; Justin. XXI, 2.

[224.]

[Aristot. Pol. V, 8, 17 : Ἐκεῖνος γὰρ (sc. ὁ Δίων) μετ' ὀλίγων ἐστράτευσεν ἐπὶ Διονύσιον, οὕτως ἔχειν φάσκων, ὡς, ὅπουπερ ἂν δύνηται προελθεῖν, ἱκανὸν αὐτῷ τοσοῦτον μετασχεῖν τῆς πράξεως, οἷον εἰ μικρὸν ἐπιβάντα τῆς γῆς εὐθὺς συμβαίη τελευτῆσαι, τοῦτον καλῶς ἔχειν αὐτῷ τὸν θάνατον. De Dione cf. V, 8, 19 (fr. 221).

V, 2, 11 : Συρακούσιοι μετὰ τὰ τυραννικὰ τοὺς ξένους καὶ τοὺς μισθοφόρους πολίτας ποιησάμενοι ἐστασίασαν καὶ εἰς μάχην ἦλθον.]

[ΛΕΟΝΤΙΝΩΝ.]

[225.]

[Aristot. Pol. V, 10, 4 : Ἐν Λεοντίνοις εἰς τὴν Παναιτίου τυραννίδα (ἡ ὀλιγαρχία μετέβαλε).

---

rempublicam moderantur, patrimonia consumpserunt intemperanter vivendo. Etenim tales homines rebus novis student, et aut ipsi tyrannidem occupant, aut alium tyrannum parant, quemadmodum Hipparinus Dionysium Syracusis.

Dionysius, quum Daphnæum et ceteros locupletes accusasset, dignus tyrannide existimatus est, propter inimicitias cum illis susceptas fidem apud populum consecutus, quasi popularis esset.

Oportet enim ei (regi) vim quidem præsto esse, sed talem, ut validior sit quam singuli et unus et complures, imbecillior tamen quam universa multitudo. Quod faciebant olim, si quem civitatis Æsymnetem, quemadmodum appellabant, aut tyrannum creabant : item Syracusanis Dionysio custodes petenti tot numero quidam ut darent, suadebat.

Ad ea, quibus tyrannidem tuentur tyranni, pertinet etiam tributorum exactio, ut Syracusis, ubi tyrannidem obtinente Dionysio omnes opes civium quinque annorum spatio tributi nomine collatæ fuerunt.

Scientia esse videtur et servilis et herilis : servilis quidem, qualis ea, quam ille Syracusanus tradebat. Illic enim quidam mercede accepta pueros usitata et vulgaria ministeria docebat.

In Sicilia quidam numis apud se depositis ferrum omne ex ferrariis officinis coemit. Postea, ubi ex emporiis convenerunt mercatores, ferrum omne solus vendebat, non ita immoderate aucto pretio : verumtamen talentis quinquaginta expensis, centum lucri fecit. Quod quum audisset Dionysius, pecuniæ quidem secum exportandæ ei potestatem fecit, verum Syracusis eum excedere jussit, tanquam qui vias pecuniæ faciendæ reperisset suis rationibus haud accommodatas.]

223.

Aristoteles in Syracusanorum rep. Dionysium juniorem nonnunquam per nonaginta continuos dies ebrium fuisse scribit; eoque etiam hebetatum illi oculorum usum.

In Dionysium posteriorem Dion propter contemptum invasit, quum et cives ita affectos et ipsum semper esse ebrium videret.

[224.]

[Ille (Dion) enim cum parva manu adversus Dionysium se contulit, quum hoc animo se esse diceret, ut quocumque progredi daretur, eatenus actionem susceptam perducere satis esset habiturus, hoc est, præclaram eam mortem non recusaturus vel si statim sibi mori accideret, modo terram illius ad breve tempus attigisset.

Syracusani post exactos tyrannos, peregrinis et mercenariis militibus civibus factis, dissenserunt inter se, donec ad pugnam ventum est.]

[LEONTINORUM.]

[225.]

[Apud Leontinos in Panætii tyrannidem (oligarchia versa est).

V, 8, 4 : Παναίτιος δ' ἐν Λεοντίνοις.. ἐκ δημαγωγίας ad tyrannidem evasit.]

[ΚΑΤΑΝΑΙΩΝ.]

[226.]

[Aristot. Pol. IV, 9, 10 : Charondas, similiter atque Solon et Lycurgus, ἦν τῶν μέσων πολιτῶν.

II, 9, 5 : Χαρώνδας ὁ Καταναῖος τοῖς αὑτοῦ πολίταις καὶ ταῖς Χαλκιδικαῖς πόλεσι ταῖς περὶ Ἰταλίαν καὶ Σικελίαν (sc. νομοθέτης ἦν). Ib. ait nonnullos narrare Charondam discipulum Zaleuci fuisse.

II, 9, 8 : Χαρώνδου δ' ἴδιον μὲν οὐδέν ἐστι πλὴν αἱ δίκαι τῶν ψευδομαρτυριῶν (πρῶτος γὰρ ἐποίησε τὴν ἐπίσκηψιν), τῇ δ' ἀκριβείᾳ τῶν νόμων ἐστὶ γλαφυρώτερος καὶ τῶν νῦν νομοθετῶν. Ceterum hic locus haud dubie spurius est. V. Gœttling. Stahr. ad h. l.

I, 1, 6 : Ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἶκός ἐστιν, οὓς Χαρώνδας μὲν καλεῖ ὁμοσιπύους, Ἐπιμενίδης δὲ ὁ Κρὴς ὁμοκάπνους.

VI, 10, 6 : Ἔτι δ' ὅσα προφάσεως χάριν ἐν ταῖς πολιτείαις σοφίζονται πρὸς τὸν δῆμον πέντε τὸν ἀριθμὸν, περὶ ἐκκλησίαν, περὶ τὰς ἀρχὰς, περὶ δικαστήρια, περὶ ὅπλισιν, περὶ γυμνασίαν... Περὶ τὰ δικαστήρια τοῖς μὲν εὐπόροις εἶναι ζημίαν ἂν μὴ δικάζωσι, τοῖς δ' ἀπόροις ἄδειαν, ἢ τοῖς μὲν μεγάλην, τοῖς δὲ μικρὰν, ὥσπερ ἐν τοῖς Χαρώνδου νόμοις.]

[ΖΑΓΚΛΑΙΩΝ.]

[227.]

[Idem ib. V, 2, 11 : Ζαγκλαῖοι δὲ Σαμίους ὑποδεξάμενοι ἐξέπεσον καὶ αὐτοί. V. Herodot. VI, 23.]

(ΡΗΓΙΝΩΝ.)

[228.]

[Idem ib. V, 10, 4 : Ἐν Ῥηγίῳ εἰς τὴν Ἀναξιλάου (τυραννίδα ἡ ὀλιγαρχία μετέβαλε).]

De Androdamante Rhegino Chalcidensium in Thracia legislatore v. fr. 159.

228 a.

Pollux V, 73 : Ἀναξίλας ὁ Ῥηγῖνος, οὔσης (ὡς Ἀριστοτέλης φησίν) τῆς Σικελίας τέως ἀγόνου λαγῶν, ὁ δὲ εἰσαγαγών τε καὶ θρέψας, ὁμοῦ δὲ καὶ Ὀλύμπια νικήσας ἀπήνῃ, τῷ νομίσματι τῶν Ῥηγίνων ἐνετύπωσεν ἀπήνην καὶ λαγών.

ΛΟΚΡΩΝ.

229.

Polyb. XII, 8, 2 : Φησὶ γὰρ (Τίμαιος fr. 70) αὐτὸν (τὸν Ἀριστοτέλη) εἶναι θρασὺν, εὐχερῆ, προπετῆ· πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως, εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν οἰκετῶν, μοιχῶν, ἀνδραποδιστῶν.

Falsum esse Aristotelem Timæus probare studet tum ex iis quæ Locrenses Græciæ ipsi documenta monstrassent (Polyb. XII, 9, 3 sq. add. cap. 5, 7 ex Athenæo), tum ex iis quæ Locrenses Italiæ ipsi narrassent (9, 5. 10, 7). Quibus alia quædam adduntur, unde appareat, quam veri absimilis sit Aristotelis sententia (c. 6). At hæc nullius esse momenti, in reliquis autem fidem et sinceritatem Timæi suspectam esse ostendit Polybius ll. ll., qui

---

Panætius apud Leontinos ex demagogo tyrannus factus est.]

[CATANÆORUM.]

[226.]

[Charondas similiter atque Solon et Lycurgus de mediocrium civium grege fuit.

Charondas Catanæus suis civibus et aliis Chalcidicis per Italiam et Siciliam civitatibus legum lator fuit.

Charondæ legum nihil proprium est, præterquam falsorum testimoniorum judicia. Primus enim falsi testimonii actionem instituit. Subtilitate autem et diligentia legum scribendarum latoribus legum iis, qui hodie sunt, cultior ac politior fuit.

Societas igitur in omnes vitæ dies constituta naturæ conveniens et consentanea, domus est, cujus societatis participes ὁμοσιπύους Charondas appellat, Epimenides autem Cretensis ὁμοκάπνους.

Quinque autem res numero sunt, quas in reipublicæ administrationibus per speciem quandam honestam callide excogitant in populum, eaque versantur in concione, in magistratibus, in judiciis, in armandis civibus, in exercendis.... In judiciis mulctam esse constitutam in locupletes, nisi judicandi munere fungantur, aut in illos quidem gravem mulctam esse constitutam, in hos levem, quemadmodum in Charondæ legibus.]

[ZANCLÆORUM.]

[227.]

[Zanclæi, quum Samios in civitatem suam recepissent, ipsi ab eis victi et expulsi sunt.]

[RHEGINORUM.]

[228.]

[Rhegii in Anaxilai tyrannidem mutata est oligarchia.]

228 a.

Quum Sicilia, Aristotele teste, ante Anaxilaum lepores non produxisset, hic invehens nutriensque, simul rheda in Olympia vincens, Rheginorum monetæ rhedam insculpsit et leporem.

LOCRORUM.

229.

Ait Timæus Aristotelem audacem ac levem et temerarium fuisse ac de civitate Locrorum gnaviter mentitum, quum coloniam eorum e fugitivis mancipiis, mœchis ac plagiariis collectam esse dixit.

ita scribit c. 5, 4 : Οὐχ ὤκνησα καὶ λέγειν καὶ γράφειν, ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινωτέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης. Σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν ὅτι παραδόσιμος αὐτοῖς ἐστιν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. Καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις κ. τ. λ. quæ apud ipsum Polybium legas. De re cf. Müller. *Dor.* II, 227 sq.

230.

Clemens Alex. Strom. I, p. 352 Sylb. : Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ Περὶ μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευχον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσι.

Schol. Pindar. Ol. XI, 17, de Locrorum civitate : Καίπερ τραχεῖα οὖσα εὐνομεῖται. Διὰ τί δὲ, φησὶν Ἀριστοτέλης. Ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ, πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμὸς, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμὴν, ὄνομα δ' ἦν Ζάλευχος, πόλλους νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους· γνωσθεὶς δὲ καὶ ἐρωτηθεὶς, πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη. Cf. Plutarch. Mor. p. 543, A (p. 656 Didot). De Minervæ cultu Locrensi a Corinthiis Syracusanis derivando v. Müller. l. l. p. 228, 1. De Zaleuco vide eundem et quos laudat Hermann. l. l., § 89.

[231.]

[Aristot. Pol. II, 9, 5 : Νομοθέται δ' ἐγένοντο, Ζάλευχος Λοχροῖς τοῖς Ἐπιζεφυρίοις.

Ibid. ait nonnullos temere narrare Lycurgum et Zaleucum, Thaletis discipulos, Zaleuci Charondam discipulum fuisse. Lex quædam Locrorum v. fr. 123.

Pol. V, 6, 7 : Ἡ Λοχρῶν πόλις ἀπώλετο ἐκ τῆς πρὸς Διονύσιον κηδείας.]

ΤΑΡΑΝΤΙΝΩΝ.

232.

Pollux IX, 80 : Καὶ Ἀριστοτέλης ἐν τῇ Ταραντίνων πολιτείᾳ καλεῖσθαί φησι νόμισμα παρ' αὐτοῖς νοῦμμον, ἐφ' οὗ ἐντετυπῶσθαι Τάραντα τὸν Ποσειδῶνος, δελφῖνι ἐποχούμενον. Sequitur fr. 211.

Reliqua quoque quæ de Siculis et Italicis numis Pollux affert, haud dubie ex eodem fluxerunt Aristotele.

[233.]

[Aristot. Pol. IV, 4, 1 : Ἐν Τάραντι καὶ Βυζαντίῳ (τὸ ἁλιευτικὸν πολύοχλόν ἐστιν).

V, 2, 8 : Ἐν Τάραντι ἡττηθέντων καὶ ἀπολομένων πολλῶν γνωρίμων ὑπὸ τῶν Ἰαπύγων μικρὸν ὕστερον τῶν Μηδικῶν δημοκρατία ἐγένετο ἐκ πολιτείας.

VI, 3, 5 : Καλῶς δ' ἔχει μιμεῖσθαι καὶ τὰ Ταραντίνων· ἐκεῖνοι γὰρ κοινὰ ποιοῦντες τὰ κτήματα τοῖς ἀπόροις ἐπὶ τὴν χρῆσιν εὔνουν παρασκευάζουσι τὸ πλῆθος. Ἔτι δὲ καὶ τὰς ἀρχὰς πάσας ἐποίησαν διττὰς, τὰς μὲν αἱρετὰς, τὰς δὲ κληρωτὰς, τὰς μὲν κληρωτὰς ὅπως ὁ δῆμος αὐτῶν μετέχῃ, τὰς δ' αἱρετὰς ἵνα πολιτεύωνται βέλτιον.]

(ΚΡΟΤΩΝΙΑΤΩΝ.)

233 a.

Athenæus XII, p. 520, C : Εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες (sc. οἱ Συβαρῖται), ὡς καὶ παρὰ

Nihil sum cunctatus et dicere et scribere narrationem ab Aristotele proditam memoriæ super deductione ejus coloniæ veriorem esse ea quam affert Timæus. Compertum namque mihi est ipsos Locrenses fateri eam se a patribus traditam accepisse famam de sua colonia, quam habet Aristoteles, non quam habet Timæus.

230.

Chamæleon Heracleota in libro De ebrietate et Aristoteles in Locrorum rep. Zaleucum Locrum a Minerva leges suas accepisse memorant.

Locrorum civitas etsi aspera optime administrabatur. Causam rei tradit Aristoteles. Etenim quum deum interrogassent, quomodo magnis turbis liberari possent, editum iis oraculum est jubens ut ipsi sibi leges ferrent, quum et pastor quidam, Zaleucus nomine, multas leges posset civibus ferre optimasque. Cognitus vero atque interrogatus unde inveniret leges, dixit per quietem ipsi Minervam astare. Quare libertatem ei dederunt et legislatorem constituerunt.

[231.]

[Legum lator fuit Zaleucus Locris Epizephyriis.

Locrorum civitas interiit ex affinitate cum Dionysio contracta.]

TARENTINORUM.

232.

Aristoteles in Tarentinorum rep. monetam apud eos appellari nummum, in quo excusus est Taras Neptuni filius, delphini insidens.

[233]

[Magna turba piscatorum est Tarenti et Byzantii.

Tarenti quum nobiles multi ab Iapygibus victi periissent paullo post Medica, e politia facta est democratia.

Juvat etiam Tarentinos imitari, qui possessionum usu cum egentibus communicato multitudinis benevolentiam sibi comparant. Præterea magistratuum omnium duo genera fecerunt, ut alii suffragio, alii sortitione mandarentur : sortitione, ut plebs eorum esset particeps; suffragio, quo melius respublica administraretur.]

(CROTONIATARUM.)

233 a.

Sybaritæ eo progressi sunt luxuriæ, ut equos etiam adsuefecerint inter ipsorum epula saltare ad tibiæ cantum.

τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. Τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται, ὅτε αὐτοῖς ἐπολέμουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ διὰ τῆς Πολιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος. Συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. Καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι, οὐ μόνον ἐξωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. Similem historiam vide in Charonis Lamps. fr. 9. Ceterum verba διὰ τῆς πολιτείας αὐτῶν Athenæus fortasse de Sybaritarum Rep. intelligi voluit. De Milone Crotoniata v. fr. 262.

233 b.

Ælian. V. H. II, 26 : Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι. Κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου· ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ, κατὰ τὴν αὐτὴν ὥραν, καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν, καὶ ἐν Κρότωνι τῷ ἀγῶνι ἐξανιστάμενος· ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. Λέγει δὲ καὶ ὁ αὐτὸς, ὅτι ὑπὸ τοῦ Κώσα (ὑπὸ τοῦ κατὰ Σάμον Apollon. De Pythag.) ποταμοῦ διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην. De re v. interpretes. Dubitans hæc apposui, quum peculiari operè Aristoteles de Pythagora dixerit. V. Diog. L. V, 26; Jonsius Scriptt. hist. phil. p. 11, 1.

(ΣΙΡΙΤΩΝ.)

234.

Athenæus XII, p. 523, C : Οἱ τὴν Σίριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δὲ Κολοφώνιοι, ὥς φησι Τίμαιος (fr. 62) καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν· καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι, καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ. Hæc ad Colophoniorum Remp. retulit Schweighæuser., quem sequitur Neumannus. Fortasse memorabantur in Rep. Sybaritarum.

[ΣΥΒΑΡΙΤΩΝ ΚΑΙ ΘΟΥΡΙΩΝ.]

[235.]

[Aristot. Pol. V, 2, 10 : Στασιωτικὸν δὲ καὶ τὸ μὴ ὁμόφυλον, ἕως ἂν συμπνεύσῃ· ὥσπερ γὰρ οὐδ' ἐκ τοῦ τυχόντος πλήθους πόλις γίγνεται, οὕτως οὐδ' ἐν τῷ τυχόντι χρόνῳ. Διὸ ὅσοι ἤδη συνοίκους ἐδέξαντο ἢ ἐποίκους, οἱ πλεῖστοι ἐστασίασαν, οἷον Τροιζήνιοις Ἀχαιοὶ συνῴκησαν Σύβαριν, εἶτα πλείους οἱ Ἀχαιοὶ γενόμενοι ἐξέβαλον τοὺς Τροιζηνίους· ὅθεν τὸ ἄγος συνέβη τοῖς Συβαρίταις. Καὶ ἐν Θουρίοις Συβαρῖται τοῖς συνοικήσασιν· πλεονεκτεῖν γὰρ ἀξιοῦντες ὡς σφετέρας τῆς χώρας ἐξέπεσον.]

[236.]

[Id. ib. V, 6, 6 : Συνέβη δὲ τὸ εἰρημένον ἐν Θουρίοις· διὰ μὲν γὰρ τὸ ἀπὸ πλείονος τιμήματος εἶναι τὰς ἀρχὰς εἰς ἔλαττον μετέβη καὶ εἰς ἀρχεῖα πλείω· διὰ δὲ τὸ τὴν χώραν ὅλην τοὺς γνωρίμους συγκτήσασθαι παρὰ τὸν νόμον (ἡ γὰρ πολιτεία ὀλιγαρχικωτέρα ἦν, ὥστε ἐδύναντο πλεονεκτεῖν)· ὁ δὲ δῆμος

Id igitur quum nossent Crotoniatæ, quo tempore bellum illis inferebant (quod narrat etiam Aristoteles, ubi de eorum rep. verba facit), tibicines jusserant modos saltatorios præcinere equis. Aderant enim ipsis tibicines militari cultu. Et simul atque illos canentes audivere equi, non modo cœperunt saltare, verum etiam simul cum sessoribus ad Crotoniatas transfugerunt.

233 b.

Aristoteles dicit a Crotoniatis Pythagoram Apollinem Hyperboreum cognominari. Sed et hæc addit ille Nicomachides : Quod aliquando eodem die et eadem hora visus sit a multis et Metaponti et Crotone, ludis surgens : ubi etiam alterum Pythagoras femur ostendit aureum. Dicit idem ille, quod Cosam fluvium transiens appellatus sit; et multos ait hanc appellationem audivisse.

SIRITARUM.

234.

Qui Sirin habitant, quam tenuerant primum qui e Troja venere, deinde (c. Ol. 25) Colophonii, ut ait Timæus et Aristoteles, in luxuriam mollitiemque prolapsi sunt nihilo minorem quam quæ Sybaritarum fuit. Apud illos enim proprius mos fuit floridas gestare tunicas, quas pretiosis mitris cingebant : quare a finitimis μιτροχίτωνες appellabantur, quum discinctos Homerus ἀμιτροχίτωνας vocet.

[SYBARITARUM ET THURIORUM.]

[235.]

[Ad seditionem excitandam valet etiam diversitas gentis et generis, donec animi consenserint. Quemadmodum enim non ex qualibet et fortuito oblata multitudine fit civitas, sic neque quovis tempore. Quapropter qui inquilinos aut advenas in civitatem receperunt, ii fere omnes aut certe plurimi seditionibus conflictati sunt, e. c. cum Trœzeniis Achivi Sybarim condiderunt atque incoluerunt, deinde Achivi numero aucti Trœzenios ejecerunt : unde scelus aut piaculum Sybaritis conceptum est. Et Thuriis quum Sybaritæ populos una secum habitantes et in civitatem receptos injuste læderent, et majorem agri, tanquam sui, partem sibi assumerent, exacti sunt.]

[236.]

[Evenit autem id quod dictum est (sc. *aristocratiam male mixtam in democratiam traduci*), Thuriis. Nam quia magistratus ex nimis amplo censu constituebantur, mox factum est ut imminueretur census, magistratuum

γυμνασθεὶς ἐν τῷ πολέμῳ τῶν φρουρῶν ἐγένετο κρείττων, ἕως ἀφεῖσαν τῆς χώρας ὅσοι πλείω ἦσαν ἔχοντες.] Cf. Th. Müller. De Thuriorum Rep. p. 17 sqq.

[237.]

[Id. Pol. V, 6, 8 : Μάλιστα δὲ λανθάνουσιν αἱ ἀριστοκρατίαι μεταβάλλουσαι τῷ λύεσθαι κατὰ μικρόν· ὅπερ εἴρηται ἐν τοῖς πρότερον καθόλου κατὰ πασῶν τῶν πολιτειῶν, ὅτι αἴτιον τῶν μεταβολῶν καὶ τὸ μικρόν ἐστιν· ὅταν γάρ τι πρόωνται τῶν πρὸς τὴν πολιτείαν, μετὰ τοῦτο καὶ ἄλλο μικρῷ μεῖζον εὐχερέστερον κινοῦσιν, ἕως ἂν πάντα κινήσωσι τὸν κόσμον. Συνέβη δὲ τοῦτο καὶ ἐπὶ τῆς Θουρίων πολιτείας· νόμου γὰρ ὄντος διὰ πέντε ἐτῶν στρατηγεῖν, γενόμενοί τινες πολεμικοὶ τῶν νεωτέρων, καὶ παρὰ τῷ πλήθει τῶν φρουρῶν εὐδοκιμοῦντες, καταφρονήσαντες τῶν ἐν τοῖς πράγμασι, καὶ νομίζοντες ῥᾳδίως κατασχήσειν, τοῦτον τὸν νόμον λύειν ἐπεχείρησαν πρῶτον, ὥστ' ἐξεῖναι τοὺς αὐτοὺς συνεχῶς στρατηγεῖν, ὁρῶντες τὸν δῆμον αὐτοὺς χειροτονήσοντα προθύμως. Οἱ δ' ἐπὶ τούτῳ τεταγμένοι τῶν ἀρχόντων, οἱ καλούμενοι σύμβουλοι ὁρμήσαντες τὸ πρῶτον ἐναντιοῦσθαι συνεπείσθησαν, ὑπολαμβάνοντες τοῦτον κινήσαντας τὸν νόμον ἐάσειν τὴν ἄλλην πολιτείαν, ὕστερον δὲ βουλόμενοι κωλύειν ἄλλων κινουμένων, οὐκέτι πλέον ἐποίουν οὐθέν, ἀλλὰ μετέβαλεν ἡ τάξις πᾶσα τῆς πολιτείας εἰς δυναστείαν τῶν ἐπιχειρησάντων νεωτερίζειν.]

ΜΑΣΣΑΛΙΩΤΩΝ.

238.

Harpocration v. Μασσαλία : Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ (§ 84) ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία, καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Truncata hæc apud Photium et Suidam s. v., qui post vocem ἀπῴκησαν nonnisi hoc male subjiciunt : Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης. De re præter Brücknerum (Histor. reip. Massil. p. 8 sqq.) v. Dederich. in Mus. Rhen. tom. IV, fascic. I. Cf. Cless. in *Pauly Realenc.* s. v. Massilia.

239.

Athenæus XIII, p. 576, A : Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης, ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ γράφων οὕτως· « Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ (τοῦτο δ' ἦν αὐτῷ ὄνομα) ἦν ξένος. Οὗτος ὁ Νάνος, ἐπιτελῶν γάμους τῆς θυγατρὸς, κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. Ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον. Ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ δοίη, τοῦτον εἶναι νυμφίον. Ἡ δὲ παῖς εἰσελ-

vero sive curiarum numerus augeretur; deinde autem, quod nobiles totius regionis agros præter legem coemerant et possidebant (nam eorum respublica ad oligarchiam inclinabat, atque idcirco facile poterant istiusmodi quæstum facere), mox populus, quum belli exercitiis vires auxisset, præsidiis mercenariorum (*quos optimates civitati imposuerant*) superior factus est, victoriaque sua usus haud antea destitit, quam ii qui plures quam ex lege licebat agros possidebant, agris istis cessissent.]

[237.]

[Maxime autem aristocratiæ latenter mutantur quum paulatim solvuntur, quod universe de omnibus rebuspublicis ante dictum est, exiguitatem mutationum esse causam. Quum enim aliquid eorum quæ ad rempublicam pertinent, neglexerunt, postea etiam aliud paullo majus facilius mutant, donec omnem ordinem reipublicæ evertant. Evenit hoc etiam in Thuriorum republica : nam quum lex esset, ne quis iterum exercitui præesset, nisi quinquennio intermisso, juvenes quidam bellicosi natura et apud præsidiariam multitudinem virtutis opinionem nacti, contemptis iis qui rebus gerendis erant præpositi, et putantes fore ut quod habebant in animo, facile obtinerent, hanc legem primum antiquare conati sunt, ita ut iisdem liceret perpetuo exercitum ducere, quum populum viderent libenter sibi suffragaturum. Magistratus autem qui rei hujus curam gerebant, qui Symbuli, h. e. consultatores seu consiliarii dicebantur, quum se primum illorum conatibus opposuissent, cesserunt tamen, existimantes fore ut illi hac lege sublata a cetera republica sibi temperarent. Postea vero, quum aliarum rerum mutationi vellent obsistere, nihil profecerunt, sed totus ordo reipublicæ in dominationem eorum qui res novas moliti erant, transiit.]

MASSILIENSIUM.

238.

Isocrates in Archidamo dicit Phocæenses Persarum regis imperium fugientes in Massiliam emigrasse. Ceterum jam ante hæc tempora Massiliam a Phocæensibus habitatam esse Aristoteles quoque in Massiliensium rep. tradit.

239.

Similem historiam narrat Aristoteles in Massiliensium rep. ita scribens : « Phocæenses Ioniæ, mercaturam facientes, Massiliam condidere. Euxenus autem Phocæensis hospitio utebatur Nani : nomen id regi erat. Hic Nanus quum nuptias celebraret filiæ suæ, Euxenum, qui tunc forte Massiliam advenerat, ad epulum vocavit. Agebantur autem nuptiæ tali modo : post cœnam oportebat virginem in cœnaculum intrare, et vini pateram cui vellet ex præsentibus procis tradere; cui autem tradidisset, is sponsus erat. Ingressa igitur virgo, pateram sive casu sive alia de causa tradidit Euxeno : nomen virgini Petta erat. Ita quum accidisset, pater, ratus volente deo huic pateram esse tra-

θοῦσα δίδωσιν, εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν, τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα. Τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔχειν αὐτήν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα, καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. Καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης. » Antecedit ap. Athenæum similis historia e Charetis Historia Alex. (fr. 17) petita.

Paullo aliter Justinus XLIII, 3 : (*Phocæenses*) *in ultimam Oceani oram procedere ausi, in sinum Gallicum ostio Rhodani amnis devenere : cujus loci amœnitate capti, reversi domum, referentes quæ viderunt, plures sollicitavere. Duces classis Simos et Protis fuere. Itaque regem Segobrigiorum, Nannum nomine, in cujus finibus urbem condere gestiebant, amicitiam petentes conveniunt. Forte eo die rex occupatus in apparatu nuptiarum Gyptis filiæ erat; quam, more gentis, electo inter epulas genero, nuptum tradere illic parabat. Itaque quum ad nuptias invitati omnes proci essent, rogantur etiam Græci hospites ad convivium. Introducta deinde virgo quum juberetur a patre aquam porrigere ei quem virum eligeret, tunc omissis omnibus ad Græcos conversa, aquam Proti porrigit : qui factus ex hospite gener, locum condendæ urbis a socero accipit.* » Plutarcho (Solon. c. 2) conditor urbis dicitur Πρῶτος. De *Aristarche* cf. Strabo IV, p. 179.

(240.)

Strabo IV, p. 182 : Μεταξὺ γὰρ τῆς Μασσαλίας καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστὶ τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ Λιθῶδες ἀπὸ τοῦ συμβεβηκότος· μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν, ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν· ἐν μέσῳ δ' ὕδατα καὶ ἁλυκίδες ἐνίστανται καὶ ἅλες. Ἅπασα μὲν οὖν καὶ ἡ ὑπερκειμένη χώρα προσήνεμός ἐστι, διαφερόντως δ' εἰς τὸ πεδίον τοῦτο [τὸ] μελαμβόρειον καταιγίζει πνεῦμα βίαιον καὶ φρικῶδες· φασὶ γοῦν σύρεσθαι καὶ κυλινδεῖσθαι τῶν λίθων ἐνίους, κατακλᾶσθαι δὲ τοὺς ἀνθρώπους ἀπὸ τῶν ὀχημάτων καὶ γυμνοῦσθαι, καὶ ὅπλων καὶ ἐσθῆτος ἀπὸ τῆς ἐμπνοῆς. Ἀριστοτέλης μὲν οὖν φησιν ὑπὸ σεισμῶν τῶν καλουμένων βραστῶν ἐκπεσόντας τοὺς λίθους εἰς τὴν ἐπιφάνειαν συνολισθεῖν εἰς τὰ κοῖλα τῶν χωρίων.

« Locum Aristotelis hodie, opinor, non habemus. Idem tamen hujus rei etiam libro II, cap. 8 Μετεωρολ. meminit. » *Casaubon.* Dubitans hunc locum Politiis inserui. Cf. Posidonii fr. 28.

Præterea Neumannus inter Aristotelica retulit locum Athenæi (XII, p. 523. C) ubi sic : Μασσαλιῶται δ' ἐθηλύνθησαν οἱ τὸν αὐτὸν τοῖς Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον. Ἀσχημονοῦσι γοῦν διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν, διὰ τρυφὴν γυναικοπαθοῦντες, ὅθεν καὶ παροιμία παρῆλθεν, Πλεύσειας εἰς Μασσαλίαν. Quæ propterea Aristoteli vindicaverit, quod quæ deinceps ap. Athenæum leguntur de Siritarum luxuria (fr. 234) ex Aristotele petita sunt.

[241.]

[Aristot. Pol. VI, 4, 5 : Τὴν δὲ μετάδοσιν γίνεσθαι (δεῖ) τῷ πλήθει τοῦ πολιτεύματος... καθάπερ ἐν Μασσαλίᾳ, κρίσιν ποιουμένους τῶν ἀξίων τῶν ἐν πολιτεύματι καὶ τῶν ἔξωθεν.]

Id. V, 5, 2 de oligarchiæ eversione. Vid. fr. 188. Cf. Wachsmuth. Antiqq. I, p. 385; Jahnii Annal. I, p. 429.

---

ditam, æquum censuit ut Euxeno collocaretur filia : isque eam duxit uxorem, et mutato nomine Aristoxenam appellavit. Et superest ad hunc diem Massiliæ familia ab eadem originem ducens, qui Protiadæ nominantur. Fuit enim Protis filius Euxeni hujus et Aristoxenæ.

[240.]

Inter Massiliam et ostia Rhodani campus est a mari centum circiter dissitus stadiis, diametro ejusdem quantitatis, circularis. Is Lapidosus seu Saxosus ex re dicitur : est enim plenus lapidum qui manum implere possint, infra quos gramen nascitur, abunde pascuis pecoris suppeditans; in medio autem aquæ et salinæ sunt et sales. Tota quidem ea quæ superius adjacet regio ventis est exposita; in hunc autem maxime campum ventus incumbit ac defertur melamboreus (*quasi* ater septemtrionalis); violentus ac horribilis, quo ferunt et lapides agitari atque volvi, et homines de vehiculis deturbari ac vi flatus armis vestibusque nudari. Aristoteles ergo ait a terræ motibus, quibus ob ejiciendi vim Brastôn nomen est, lapides in superficiem egestos, in cava loca confertim delapsos esse.

[241.]

[Communicari cum multitudine reipublicæ administratio debet... ritu Massiliensium, judicio dignorum facto, tum eorum qui rempublicam administrant, tum eorum qui a reipublicæ muneribus exclusi sunt.]

ΝΟΜΙΜΑ ΒΑΡΒΑΡΙΚΑ.

ΡΩΜΑΙΩΝ ΝΟΜΙΜΑ.

242.

Dionys. Hal. A. R. I, c. 72 : Ἀριστοτέλης ὁ φιλόσοφος Ἀχαιῶν τινας ἱστορεῖ τῶν ἀπὸ Τροίας ἀνακομισαμένων περιπλέοντας Μαλέαν, ἔπειτα χειμῶνι βιαίῳ καταληφθέντας, τέως μὲν ὑπὸ τῶν πνευμάτων φερομένους πολλαχῇ τοῦ πελάγους πλανᾶσθαι, τελευτῶντας δ' ἐλθεῖν εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς, ὃς καλεῖται Λάτιον, ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενος· ἀσμένους δὲ τὴν γῆν ἰδόντας, ἀνελκύσαι τε τὰς ναῦς αὐτόθι καὶ διατρῖψαι τὴν χειμερινὴν ὥραν, παρασκευαζομένους ἔαρος ἀρχομένου πλεῖν· ἐμπρησθεισῶν δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νηῶν, οὐκ ἔχοντας ὅπως ποιήσονται τὴν ἄπαρσιν, ἀβουλήτῳ ἀνάγκῃ τοὺς βίους ἐν ᾧ κατήχθησαν χωρίῳ ἱδρύσασθαι· συμβῆναι δὲ αὐτοῖς τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἔχοντες ἐξ Ἰλίου, ταύτας δὲ κατακαῦσαι τὰ πλοῖα φοβουμένας τὴν οἴκαδε Ἀχαιῶν ἄπαρσιν, ὡς εἰς δουλείαν ἀφιξομένας. Cf. Hellanici fr. 53.

243.

Plutarch. Qu. Rom. c. 6, p. 265, B : « Διὰ τί τοὺς συγγενεῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες; » Πότερον, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν; ὅπως οὖν πιοῦσαι μὴ λανθάνωσιν, ἀλλ' ἐλέγχωνται, περιτυγχάνουσαι τοῖς οἰκείοις, ἐνομίσθη καταφιλεῖν; ἢ δι' ἣν Ἀριστοτέλης ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε; τὸ γὰρ πολυθρύλλητον ἐκεῖνο καὶ πολλαχοῦ γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολμήθη καὶ ταῖς Τρῳάσι περὶ τὴν Ἰταλίαν. Τῶν γὰρ ἀνδρῶν, ὡς προσέπλευσαν, ἀποβάντων, ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης· φοβηθεῖσαι δὲ τοὺς ἄνδρας, ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων, μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι, τοὺς προστυγχάνοντας. Παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τοῦ λοιποῦ ταύτῃ τῇ φιλοφροσύνῃ πρὸς αὐτούς.

« Equidem cum doctissimo Niebuhrio in Romana Historia (I, p. 20) credo, Aristotelem non fusius de Romanorum rebus scripsisse, sed quasdam solum eorum leges moresque in magna illa Rerumpublicarum collectione tradidisse, quod duobus his fragmentis et Ῥωμαίων Νομίμοις a Menagii Anonymo laudatis, quibus neutiquam lectori illudere videtur, ut Fabricio Bibl. Gr. III. 7, p. 194, placuit, satis est apertum et perspicuum. Cf. Buhl. De deperditis Arist. scriptis comment. XV, p. 120. » *Neumann.*

244.

Plutarch. Camill. c. 22 : Ἀριστοτέλης δ' ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν (Romam) ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς, τὸν δὲ σώσαντα Λεύκιον εἶναι φησίν· ἦν δὲ Μάρκος, οὐ Λεύκιος ὁ Κάμιλλος.

245.

Varro De ling. lat. VII, § 70, p. 351 (Turneb. *ad luctum*) : *Præfica, ut Aurelius scribit, mulier a luco quæ conduceretur, quæ ante domum mortui laudes ejus caneret. Hoc factitatum Aristoteles scribit in libro qui inscribitur Nomina Barbarica.*

ΤΥΡΡΗΝΩΝ ΝΟΜΙΜΑ.

246.

Athenæus I, p. 23, D : Ἀριστοτέλης ἐν Τυρρηνῶν νομίμοις· « Οἱ δὲ Τυρρηνοὶ δειπνοῦσι μετὰ τῶν γυναι-

---

INSTITUTA BARBARICA.

ROMANORUM INSTITUTA.

242.

Aristoteles philosophus Achæorum Troja redeuntium nonnullos Maleam circumnavigantes, quum vehementi tempestate opprimerentur, per aliquantum temporis ventorum vi huc illuc delatos per mare vagatos esse, tandem vero venisse in eum Opicæ locum, qui vocatur Latium, ad mare situm Tyrrhenicum. Terra conspecta lætos naves subduxisse, ibique hiemis tempestatem transegisse, ut veris initio navigationem resumerent. Incensis vero noctu navibus, quum proficisci non possent, necessitate coactos esse ut vitæ sedem in locis istis, quo appulerant, figerent. Hoc autem iis accidisse facinore mulierum, quas captivas secum e Troja duxerant. Eas enim ignem navibus injecisse timentes servitutem quæ, reversis domum Achæis, ipsas maneret.

243.

Quare mulieres osculo salutant cognatos suos? An id sentiendum est quod plerisque probatur? interdictum usu vini mulieribus fuisse; ac proinde ne latere posset si qua vinum bibisset, sed a familiaribus inter congressum deprehenderetur, osculandi morem fuisse institutum? An vero quam affert Aristoteles philosophus causam, ea recipienda est? Id enim quod fama pervulgatum est, multisque locis ascribitur, facinus Troadum, ab iis in Italia perpetratum fuit. Nam ibi quum post navium appulsum viri essent digressi, mulieres ignem navibus injecerunt, ut erroribus finem imponerent ac navigationi : deinde sibi metuentes a maritis, cognatos et familiares, ut quisque se obtulerat, cum suavio sunt amplexæ; iraque placata, ut in gratiam fuit reditum, hoc deinde eis blandiendi genus retinuerunt.

245.

Aristoteles philosophus captam a Celtis esse Romam recte quidem accepit, servatorem autem urbis Lucium dicit, quum Marcus esset, non Lucius Camillus.

TYRRHENORUM INSTITUTA.

246.

Aristoteles in Tyrrhenorum Institutis : « Tyrrheni cæ-

χῶν ἀνακείμενοι ὑπὸ τῷ αὐτῷ ἱματίῳ. » Cf. Heraclid. Pont. fr.

247.

Pollux IV, 56 : Τυρρηνοὶ δὲ τῷ Ἀριστοτέλους λόγῳ οὐ πυκτεύουσιν ὑπ' αὐλῷ μόνον, ἀλλὰ καὶ μαστιγοῦσι καὶ ὀψοποιοῦσι.

Plutarch. De cohib. ira c. 11, p. 460, C : Ἀριστοτέλης ἱστορεῖ κατ' αὐτὸν ἐν Τυρρηνίᾳ μαστιγοῦσθαι τοὺς οἰκέτας πρὸς αὐλόν. Cf. Theopomp. fr. 222; Timæus fr. 18.

[247 a.]

[In Νομίμοις populorum Italiæ inferioris haud dubie exposuit quæ paucis tangit in Polit. VII, 9, 2 : Ἀρχαία δ' ἔοικεν εἶναι καὶ τῶν συσσιτίων ἡ τάξις, τὰ μὲν περὶ Κρήτην γενόμενα περὶ τὴν Μίνω βασιλείαν, τὰ δὲ περὶ τὴν Ἰταλίαν πολλῷ παλαιότερα τούτων. Φασὶ γὰρ οἱ λόγιοι τῶν ἐκεῖ κατοικούντων Ἰταλόν τινα γενέσθαι βασιλέα τῆς Οἰνωτρίας, ἀφ' οὗ τό τε ὄνομα μεταβαλόντας Ἰταλοὺς ἀντ' Οἰνωτρῶν κληθῆναι, καὶ τὴν ἀκτὴν ταύτην τῆς Εὐρώπης Ἰταλίαν τοὔνομα λαβεῖν, ὅση τετύχηκεν ἐντὸς οὖσα τοῦ κόλπου τοῦ Σκυλλητικοῦ καὶ τοῦ Λαμητικοῦ· ἀπέχει δὲ ταῦτα ἀπ' ἀλλήλων ὁδὸν ἡμισείας ἡμέρας. Τοῦτον δὴ λέγουσι τὸν Ἰταλὸν νομάδας τοὺς Οἰνωτροὺς ὄντας ποιῆσαι γεωργούς, καὶ νόμους ἄλλους τε αὐτοῖς θέσθαι, καὶ τὰ συσσίτια καταστῆσαι πρῶτον. Διὸ καὶ νῦν ἔτι τῶν ἀπ' ἐκείνου τινὲς χρῶνται τοῖς συσσιτίοις καὶ τῶν νόμων ἐνίοις. Ὤικουν δὲ τὸ μὲν πρὸς τὴν Τυρρηνίαν Ὀπικοί, καὶ πρότερον καὶ νῦν καλούμενοι τὴν ἐπωνυμίαν Αὔσονες· τὸ δὲ πρὸς τὴν Ἰαπυγίαν καὶ τὸν Ἰόνιον Χῶνες (Χάονες codd.) τὴν καλουμένην Σύρτιν (l. Σῖριν vel Σιρῖτιν)· ἦσαν δὲ καὶ οἱ Χῶνες Οἰνωτροὶ τὸ γένος. Ἡ μὲν οὖν τῶν συσσιτίων τάξις ἐντεῦθεν γέγονε πρῶτον. V. Niebuhr. H. R. I, p. 16. 59.]

248.

Apollonius Hist. Mirab. c. 11 : Ἀριστοτέλης δὲ ἐν Νομίμοις βαρβαρικοῖς· « [Ἐν Λάτμῳ] τῆς Καρίας σκορπίοι γίνονται, οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παραυτὰ ἀποκτείνουσιν. » Cf. Ælian. N. A. V, 14; Solin. c. 30.

Verba ἐν Λάτμῳ addita sunt ex Antigon. Mirab. c. 16, qui eadem narrat, non memorans tamen operis titulum. Ceterum ex eodem Aristotele fluxisse puto quæ subjiciuntur ap. Antigonum : Τῶν δὲ Λιβύων καλοῦνται Ψύλλοι τινές, παρ' οἷς ἀνάπαλίν τι γίνεται τούτου· ὑπὸ γὰρ ἀσπίδων οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι, τῶν δὲ λοιπῶν οὐκ ἔστιν ὅστις διαφεύγει δηχθείς. Si rem narratam spectas, non tam ex Νομίμων opere quam ex Θαυμασίων vel Παραδόξων libris fluxisse putaveris. Libros vero ita inscriptos Aristotelem composuisse demonstrari nequit. Laudatur quidem Ἀριστοτέλης ἐν α' Παραδόξων (de puella, cujus parentes fuerint asina et juvenis Ephesius) apud Plutarch. Par. min. c. 29 et Apostol. XIV, 70; verum ibi reponendum ex Stobæo (Flor. 64, 37) et Arsenio (p. 385) est Ἀριστοκλῆς, qui etiam apud vet. schol. Pindari Olymp. VII, 66 in notissimum *Aristotelis* nomen abiit (v. Aristoclis fr. 1 et 2). Quod deinde attinet collectionem Mirabilium quæ sub Aristotelis nomine circumfertur, eam a philosopho nostro alienam esse satis constat (v. Westermann. in præf. ad Paradoxogr.). Quemadmodum vero auctor ejus multa sumpsit ex libris Aristotelicis qui ad naturalem historiam pertinent, sic alia ita sunt comparata, ut ex Νομίμων opere fluxisse videri possint. Ceterum ut de serpentibus istis sermonem Aristoteles injiceret, occasionem dederit nota Psyllorum gens Libyca. De aliis Libyæ gentibus eundem auctorem laudat Plinius

249.

Plinius H. N. VII, § 2 : *Supra Nasamones confinesque illis Machlyas Androgynas esse utriusque naturæ inter se vicibus coeuntes, Calliphanes tradit : Aristoteles adjicit dextram mammam iis virilem, lævam muliebrem esse.* De Calliphane, Ari-

---

nant cum mulieribus sub eadem veste decumbentes. »

247.

Tyrrheni, secundum Aristotelem, ad tibias non modo pugilantur, sed flagris etiam cædunt atque obsonia apparant.

Narrat Aristoteles suo etiam tempore servos in Etruria ad tibiæ cantum solitos flagris cædi.

[247 a.]

[Conviviorum etiam publicorum institutum antiquum esse videtur; in Creta quidem ab ipsis Minois regis temporibus usurpatur, in Italia vero multo vetustius est. Cujus gentis historiæ Italum quendam Œnotriæ regnum obtinuisse tradunt, a quo Itali nomine mutato pro Œnotris fuerint appellati, et oram illam Europæ, quæ inter Scylleticum et Lameticum sinum dimidiati diei itinere distantes continetur, Italiam fuisse nominatam. Hunc igitur Italum ferunt Œnotros e pastoribus agricolas fecisse, et quum alias iis leges tradidisse, tum vero convivia publica primum instituisse. Itaque nonnulli e posteris illius conœnationibus etiam nunc et legibus quibusdam utuntur. Accolebant autem mare Tyrrhenum Opici, ut olim ita et nunc Ausones cognominati. Ad Iapygiam vero et mare Ionium Chones Sirin vocatam incolebant. Chones autem et ipsi genere erant Œnotri. Conœnationum igitur institutum hinc primum natum est.]

248.

Aristoteles in Institutis Barbaricis : « In Latmo Cariæ scorpii nascuntur, qui peregrinos ferientes non magnopere lædunt, indigenas vero ictu suo statim necant. »

stotele (modo recte se habeat Aristotelis nomen) antiquiore, aliunde non constat, nisi quod nominatur in indice auctorum ad Plinii Hist. lib. III, V, VI.

Alius Libyæ gentis Aristoteles meminit in Polit. II, 1, 13 : Εἶναι γάρ (φασι) τισι τῶν ἄνω Λιβύων κοινὰς τὰς γυναῖκας, τὰ μέντοι γενόμενα τέκνα διαιρεῖσθαι κατὰ τὰς ὁμοιότητας.

250.

Plinius H. N. VII, 2 : *Aristoteles in cavernis vivere Pygmæos tradit; cetera de his, ut reliqui.*

[251.]

[Aristot. Pol. VIII, 3, 4 : Πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν Πόντον Ἀχαιοί τε καὶ Ἡνίοχοι καὶ τῶν ἠπειρωτικῶν ἐθνῶν ἕτερα, τὰ μὲν ὁμοίως τούτοις, τὰ δὲ μᾶλλον· ἃ λῃστρικὰ μέν ἐστιν, ἀνδρίας δὲ οὐ μετειλήφασιν.

Pol. VII, 2, 6 : Ἐν δὲ Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τινι σκύφον περιφερόμενον τῷ μηθένα ἀπεκταγκότι πολέμιον.

Pol. II, 6, 6, Celtæ, ait, φανερῶς τετιμήκασι τὴν πρὸς τοὺς ἄρρενας συνουσίαν, eamque ob causam non invaluit apud eos γυναικοκρατία, quæ apud bellicosas gentes frequentissima sit. Cf. VII, 2, 5.

Pol. VII, 2, 7 : Ἐν δὲ τοῖς Ἴβηρσιν, ἔθνει πολεμικῷ, τοσούτους τὸν ἀριθμὸν ὀβελίσκους καταπηγνύουσι περὶ τὸν τάφον ὅσους ἂν διαφθείρῃ τῶν πολεμίων.

De Ægyptiis quoque et de Persis in Νομίμοις βαρβαρικοῖς egisse Aristotelem non affirmo. Certe res publicæ eorum Aristotelis ætate satis notæ erant, ut de his quoque, sicuti de Carthaginiensium rep., in Πολιτείαις agere posset. Verum quum certioribus indiciis careamus, hic apponere liceat, quæ in Politicis de iis traduntur.

[252.]

Polit. VII, 9, 1 : Τοῦ διῃρῆσθαι χωρὶς κατὰ γένη τὴν πόλιν καὶ τό τε μάχιμον ἕτερον εἶναι καὶ τὸ γεωργοῦν Ægyptiis auctor fuisse dicitur Sesostris. Mox iterum hoc tangit VII, 9, 3, addens Sesostrim Minoe esse multo antiquiorem; Ægyptiosque omnium antiquissimos esse videri. Ceterum de Sesostride eodem modo statuerit atque Dicæarchus discipulus (ap. schol. Apoll. Rh. IV, 272), secundum quem Sesostris statim post Horum regnavit.

Pol. III, 10, 4 : Ἐν Αἰγύπτῳ μετὰ τὴν τετρήμερον κινεῖν ἔξεστι τοῖς ἰατροῖς (sc. τὸν νόμον ἔγγραφον καθ' ὃν τὰς θεραπείας προσάγουσι. V. Diodor. I, 82; Herodot. II, 77).

Pol. V, 9, 4 : Καὶ τὸ πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν·... παράδειγμα δὲ τούτου αἵ τε πυραμίδες αἱ περὶ Αἴγυπτον etc.]

[253.]

[Aristot. Pol. V, 8, 14 : Αἱ δὲ (ἐπιθέσεις ἐγένοντο) διὰ καταφρόνησιν· ὥσπερ Σαρδανάπαλλον ἰδών τις ξαίνοντα μετὰ τῶν γυναικῶν, εἰ ἀληθῆ ταῦτα οἱ μυθολογοῦντες λέγουσιν· εἰ δὲ μὴ ἐπ' ἐκείνου, ἀλλ' ἐπ' ἄλλου γε ἂν γένοιτο ἀληθές.]

Athenæus VIII, p. 335, F : Ὃν (Σαρδανάπαλλον τὸν Ἀνακυνδαράξεω) ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη.

[Aristot. Pol. V, 8, 15 : Κῦρος Ἀστυάγῃ (ἐπιτίθεται) καὶ τοῦ βίου καταφρονῶν καὶ τῆς δυνάμεως διὰ τὸ τὴν μὲν δύναμιν ἐξηργηκέναι, αὐτὸν δὲ τρυφᾶν.

Ib. V, 8, 14 : Ξέρξην Ἀρταπάνης (ἀνῄρηκε), φοβούμενος τὴν διαβολὴν τὴν περὶ Δαρεῖον, ὅτι ἐκρέμασεν οὐ κελεύσαντος Ξέρξου, ἀλλ' οἰόμενος συγγνώσεσθαι, ὡς ἀμνημονοῦντα διὰ τὸ δειπνεῖν.

Ib. VII, 2, 5, Persas inter eos recenset, qui quæ ad bellicam virtutem spectent, maximi faciant.]

[251.]

[Sunt autem multæ nationes ad cædes et humanarum carnium esum proclives, ut ex iis, quæ Pontum accolunt, Achæi et Heniochi, et ex mediterraneis gentes aliæ quædam his similes, etiam immaniores, quæ quum latrociniis deditæ sint, a fortitudine tamen abhorrent.

Apud Scythas, qui nullum interemisset hostem, huic ex poculo quod in solemni quodam epulo circumferebatur, bibere non licebat.

Celtas ait palam consuetudinem cum masculis comprobasse, eamque ob causam non invaluisse apud eos potestatem mulierum, quæ apud bellicosas gentes frequentissima sit.

Apud Hispanos, gentem bellicosam, tot numero obeliscos circum cujusque tumulum defigebant, quot hostes interemisset.

[252.]

Civitatem per genera distingui et militarem manum ab agricolis diversam esse Ægyptiis auctor fuit Sesostris.

In Ægypto post diem quartum movere licet medicis (legem scriptam secundum quam ægrotos curant).

Etiam cives spoliare bonis tyrannicum est. Hujus rei exemplum præbent pyramides Ægypti.]

[253.]

[Aliæ conspirationes fiunt contemptu, ut in Sardanapallum, quum quidam inter mulieres nentem conspexisset, si vera hæc sunt a fabularum scriptoribus tradita : sin aliter, in alio tamen vere potest accidere.]

Sardanapallum Anacyndaraxæ filium esse ignotiorem secundum genitoris appellationem Aristoteles scribit.

[Cyrus Astyagen adortus est, dum ejus et vitam et exercitum contemnit : milites enim otium et inertia corruperat, ipse vero mollitia diffluebat.

Artabanes Xerxem interemit, criminationem a Dario timens, quem injussu Xerxis suspenderat, putans tamen se impune laturum, eo dante veniam, velut oblito propter cœnam.]

Cedrenus p. 427 (p. 747 ed. Bonn.) de terra sancta : Προσμαρτυρεῖ δὲ τούτοις καὶ ὁ σοφώτατος Ἀριστοτέλης λέγων· « Καὶ γὰρ πολυάνθρωπός ἐστιν ἡ γῆ τῆς ἐπαγγελίας καὶ παντοίοις καρποῖς εὐθηνοῦσα, ἀμπέλων τε καὶ ἀκροδρύων καὶ φοινίκων πλῆθος ἄπλετον, καὶ κτήνη πάμπολλα καὶ διάφορα, καὶ δαψιλὴς ἡ τούτων νομὴ δι' ὅλου τοῦ χρόνου γίνεται διὰ τὴν πολλὴν εὐκρασίαν τῆς γῆς καὶ πιότητα· πολὺ δὲ πλῆθος καὶ τῶν ἀρωμάτων καὶ λίθων πολυτελῶν καὶ χρυσοῦ παρακομιζομένου διὰ τῶν Ἀράβων. »

Omittere locum nolui, etsi probabiliter personatus est Aristoteles.

ΔΙΚΑΙΩΜΑΤΑ ΠΟΛΕΩΝ.

Δικαιωμάτων libros duos in scriptis Aristotelis recenset Diogenes L. V, 26. Menagius ex vetere Vita Aristotelis latine scripta affert hæc : *Et scriptas ab eo Justificationes Græcarum civitatum, quibus lites Græcorum determinabat. Scripta autem est ab eo posterius Historia Politiarum.* Fuerint ergo Δικαιώματα jura et privilegia quibus innitebantur litigantes. Fragmenta libri supersunt duo, quorum primum est de urbe in Atticæ et Bœotiæ confiniis sita, de qua controversiæ oriri facile poterant; alterum spectat ad historiam belli quod contra finitimos barbaros Tarentini gesserunt.

254.

Harpocration : Δρυμός, πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς· Δημοσθένης ἐν τῷ Περὶ πρεσβείας (§ 326). Ἀριστοτέλης δ' ἐν τοῖς Δικαιώμασί φησιν οὕτως· « ἔπειτα Δρυμὸν ἓν Ἀττικὸν καὶ ἕτερον Βοιωτικόν. » Verba Aristotelis fortasse de eadem urbe intelligenda sunt, in duas partes ita divisa ut alteram Bœoti, alteram Attici sibi vindicaverint. Cf. Demosthenes l. l.

255.

Ammonius v. Νῆες : Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν Δικαιώμασι πόλεων οὕτως « Ἀλέξανδρος ὁ Μολοττὸς ὑπὸ τὸν αὐτὸν χρόνον, Ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πέντε καὶ δέκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατηγικοῖς. »

Πόλεων] « Codd. πολέμων. Sed πόλεων habet Ptolemæus Ascalonita, quem fere transcripsit Ammonius. Fabric. Bibl. Gr. IV, p. 520. » *Neumann.* p. 44. Πολέων etiam ap. Eustath. Il. p. 684, 30.

(ΕΥΡΗΜΑΤΑ.)

Clemens Alex. Strom. I, § 77, p. 133 Sylb., postquam varia variorum inventa recensuit, addit : Σχάμων (fr. 1) μὲν οὖν ὁ Μυτιληναῖος καὶ Θεόφραστος ὁ Ἐρέσιος, Κύδιππός τε ὁ Μαντινεύς, ἔτι τε Ἀντιφάνης καὶ Ἀριστόδημος καὶ Ἀ ρ ι σ τ ο τ έ λ η ς, πρὸς τούτοις δὲ Φιλοστέφανος, ἀλλὰ καὶ Στράτων ὁ περιπατητικὸς ἐν τοῖς Περὶ εὑρημάτων ταῦτα ἱστόρησαν. Ex Clemente eadem Eusebius P. E. p. 476. Ceterum minime sequitur ex Clementis loco peculiare opus Περὶ εὑρημάτων inscriptum ab Aristotele compositum esse, quum quæ de variis inventis passim ex Aristotele afferuntur, tum in Politiis, tum in Νομίμοις βαρβαρικοῖς aliisque philosophi libris legi potuerint. Sin revera exstiterit peculiare scriptum De inventis, quæritur an genuinum sit. Certe Diogenes, etsi ne is quidem a spuriorum librorum mentione abstinet, Aristotelis Περὶ εὑρημάτων opus non commemorat.

256.

Bekkeri An. Gr. p. 783, 1 : Τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασί· τῆς δὲ (τινὲς δὲ τῆς?) Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διόχορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις καὶ Ἀριστοτέλης· φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα.

Plinius H. N. VII, 57 (p. 47 Tch.) : *Literas semper arbitror Assyrias fuisse : sed alii apud Ægyptios a Mercurio, ut Gellius; alii apud Syros repertas volunt. Utique in Græciam intulisse e Phœnice Cadmum sedecim numero. Quibus Trojano bello Palamedem adjecisse hac figura* Θ Ξ Φ Χ : *totidem post Simonidem Melicum,* Ζ Η Ψ Ω; *quarum omnium vis in nostris recognoscitur. Aristoteles decem et octo priscas fuisse:* ΑΒΓΔΕΖΙ

PRIVILEGIA URBIUM.

254.

Drymus, urbs in confiniis Bœotiæ et Atticæ. Demosthenes De legatione; Aristoteles vero in Privilegiis ait ita : « deinde Drymum unum Atticum et alterum Bœotium. »

255.

Aristoteles in Juribus urbium narrat hæc : « Alexander Molossus sub idem tempus, Tarentinis eum ad bellum contra barbaros gerendum advocantibus, enavigavit navibus quindecim, multisque navigiis equos ac milites ferentibus. »

(DE INVENTIS.)

256.

Literarum inventorem Ephorus libro secundo aliique Cadmum fuisse dicunt, alii eum Phœnicum inventum ad nos pertulisse aiunt, ut Herodotus in Historiis et Aristoteles. Dicunt enim Phœnices invenisse literas, Cadmum vero in Græciam attulisse.

ΚΑΜΝΟΠΡΣΤΥΦ : *et duas ab Epicharmo additas*, Θ Χ, *quam a Palamede mavult.*

257.

Plinius ibid. : *Turres, ut Aristoteles, Cyclopes* (sc. *primi ædificarunt*); *Tirynthii, ut Theophrastus.*

Idem ibid. : *Æs conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delam Phrygem putat, ærariam fabricam alii Chalybes, alii Cyclopes.*

Idem ibid. : *Gyges Lydius picturam in Ægypto : in Græcia vero Euchir Dædali cognatus, ut Aristoteli placet; ut Theophrasto, Polygnotus Atheniensis* (sc. *invenit*).

Plin. H. N. VII, 57 (p. 50 Tchn.) : *Quadriremem Aristoteles Carthaginienses; quinqueremem Mnesigiton Salaminios* (sc. *primos fecisse dicunt.*)

257 a.

Schol. Pind. Pyth. II, 127 : Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι.

258.

Servius ad Virg. Georg. I, 19 : *unci puer monstrator aratri.*] *Alii Triptolemum, alii Osirin volunt... Osiris significatur, ut* Φιλοστέφανος (fr. 29) Περὶ εὑρημάτων, *vel Epimenides, qui postea Buzyges dictus est, secundum Aristotelem.* Cf. Hesych. : Βουζύγης· ἥρως Ἀττικός, ὁ πρῶτος βοῦς ὑπὸ ἄροτρον ζεύξας· ἐκαλεῖτο δὲ Ἐπιμενίδης· καθίστατο δὲ παρ' αὐτοῖς καὶ ὁ τοὺς ἱεροὺς ἀρότους ἐπιτελῶν Βουζύγης. V. ibi interpretes, et Dindorf. et Hase in Steph. Thes. v. Βουζύγης; Creuzer *Symb.* II, p. 403; IV, p. 373; Hermann. Antiqq. sacræ § 60.

(259.)

Anecd. Gr. Bekkeri. p. 451, 31 : Ἀσιάς, ἡ κιθάρα, ἀπὸ Ἀσίου τινός, καὶ Ἀσία καὶ Ἀσιώνη· ἢ ἀπὸ Ἀσίας, τῆς μητρὸς Προμηθέως. Δοῦριν δὲ Ἀριστοτέλης φησὶ λέγειν, ὅτι ἐκλήθη Ἀσιὰς ἀπὸ τῶν χρωμένων Λεσβίων, οἵτινες οἰκοῦσι πρὸς τῇ Ἀσίᾳ· οἱ δὲ ἀπὸ Τυρρήνου Λυδοῦ, εὑρόντος πρώτου τὸ τρίγωνον ὄργανον· οἱ δὲ ἀπὸ Τερπάνδρου.

Nisi scripseris Δοῦρις... Ἀριστοτέλη, aut cum Hüllemano ad Durid. fr. 83 juniorem quendam Aristotelem intelligere velis, nomen Aristotelis corruptum esse statuendum est. Idque veri simillimum. Prellerus ad Polemonem scribi vult Ἀριστείδης; ego malim Ἀριστοκλῆς. Aristocles Περὶ χορῶν scripsit, in quo opere multus fuit de instrumentis musicis (v. fr. 12); nomenque ejus haud semel in Aristotelis abiit.

De Corinthiis dithyrambi inventoribus v. fr. 275.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ.

Ap. Diogenem Laert. V, 26, inter scripta Aristotelis recensentur : Ὀλυμπιονῖκαι α' (Ὀλυμπιονίκας, βιβλίον α', ἐν ᾧ Μέναιχμον ἐνίκησεν An. Menagii); Πυθιονῖκαι μουσικῆς, α'· Πυθικός, α'· Πυθιονικῶν ἔλεγχοι, α'· Νῖκαι Διονυσιακαὶ (Διονυσιακῶν ἀστικῶν καὶ Ληναίων Anonym. Menagii) α'· Περὶ τραγῳδιῶν α'· Διδασκαλίαι, α'. Postrema duo male distingui videntur. Alterum pars fuerit alterius. Idem valere videtur de Πυθιονίκαις μουσικῆς, qui comprehensi haud dubie erant in uno isto libro, quem ἐλέγχους dicit; ab iisque non distinctus fuerit Πυθικὸς λόγος. Quod attinet verba Anonymi : Ὀλυμπιονίκας, βιβλίον α', ἐν ᾧ Μέναιχμον ἐνίκησεν, ea ita intelligo, ut Aristotelem in descriptione ludorum Olympicorum et in constituenda serie victorum adhibuisse statuam simile opus Menæchmi, ita ut notaret, quæ minus recte Menæchmus posuisse videretur. Menæchmus vero ille Sicyonius est, quem præter Alexandri historiam aliaque etiam Πυθικὸν (i. e. librum de ludis Pythiis eorumque victoribus) scripsisse scimus. V. fragm. Hist. Alex. p. 146, ubi Anonymi locus me fugit. Ceterum hæc si recte conjeci, sequitur Menæchmum, quem Suidas ἐπὶ διαδόχων vixisse ait, jam Alexandri temporibus, atque antequam Aristoteles suum de Olympionicis librum composuit, hoc argumentum tractasse.

261.

Schol. Pind. III, 27 : Ἀριστοτέλης Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι.

---

257 a.

Aristoteles primum Achillem ad rogum Patrocli pyrrhichen saltasse ait, adeoque a pyra nomen pyrrhichen accepisse : eandem apud Cyprios prylin vocari.

259.

Asias, cithara, ut ex Duride Aristoteles (*Aristocles*) refert, nomen habet a Lesbiis, qui ea utebantur, prope Asiam habitantibus.

OLYMPIONICÆ.

261.

Aristoteles Leucarum Acarnana primum artem ad pancratium attulisse dicit.

262.

Schol. Theocrit. IV, 6 : Τὸν Κροτωνιάτην Μίλωνα... καὶ Ἀριστοτέλης πολυφάγον φησί· λέγει δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. De victoriis Milonis Olympicis v. Pausanias VI, 14, 5 sqq. Ceterum Milonis etiam in Rep. Crotoniatarum mentionem fecerit.

263.

Diog. L. VIII, 51 : Λέγει δὲ καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις τὴν πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα (Empedoclem, avum Empedoclis philosophi), μάρτυρι χρώμενος Ἀριστοτέλει. Ἀπολλόδωρος δὲ ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς φησιν ὡς « Ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους ὁ Γλαῦκος ἐλθεῖν φησιν. » Εἶθ' ὑποβάς, « Οἱ δ' ἱστοροῦντες ὡς πεφευγὼς οἴκοθεν εἰς τὰς Συρακούσας, μετ' ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, ἀγνοεῖν τελέως ἐμοὶ δοκοῦσιν. Ἢ γὰρ οὐκέτ' ἦν, ἢ παντελῶς ὑπεργεγηρακώς· ὅπερ οὐ φαίνεται. Ἀριστοτέλης γὰρ αὐτόν, ἔτι δ' Ἡρακλείδης (vgo ἔτι τε Ἡράκλειτον), ἑξήκοντα ἐτῶν φησι τετελευτηκέναι. » V. Apollodori fr. 87 ibique laudatos.

264.

Schol. Pindar. Ol. VII, 1 : Διαγόρᾳ Ῥοδίῳ πύκτῃ] νικήσαντι τὴν οθ' ὀλυμπιάδα. Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. Περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης (sc. ἐν Ὀλυμπιονίκαις) καὶ Ἀπόλλας· μαρτυροῦσι δὲ τοιαῦτα. Κατὰ γὰρ τὴν Ὀλυμπίαν ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. Μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος, ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε (1). Ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς (2) ἀδελφός, πύκτης καὶ αὐτὸς προβεβλημένος. Τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὡς πρὸς προσευχὴν ἀνατείνων. Καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί· μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὐκλῆς (3) πυγμῇ νικήσας Ἄνδρωνα καὶ μετ' ἐκεῖνον Πεισίρροθος. Καὶ λέγεται (4) κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί, περιλαβόντας [οὖν] τὸν Διαγόραν περιιέναι τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. Χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν (5) ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν, καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτούς, οὐχ ὁμοίαν εἶναι ταῖς ἄλλαις γυναιξὶν, ἀλλὰ φέρειν

« (1) Sic Vrat. A., vulgo τεσσάρων. — (2) vulgo Δωρεός. Correxit Beckius, quem vide. Cf. præsertim Pausan. VI, 7 et V, 6; Thucyd. III, 8; Schneider. ad Xenoph. Hell. I, 1, 2. — (3) Sic dedi e Pausania, huc deducente etiam Vratisl. A. Vulgo Εὔκλων. — (4) Vulgo : Πεισιρρόθιος καὶ Λελεγέτης κατὰ τὴν Ὀλ. νικήσαντες τοὺς παῖδας, et deinde post πατρὶ plene interpungebatur. Λελεγέτης qui sit, juxta ignorant omnes; præterea verba κατὰ τὴν Ὀλυμπίαν νικήσαντες τοὺς παῖδας etc. redire ad filios Diagoræ animadvertit Bothius tom. I, p. 98, qui hanc ob causam ejici vult illa μετ' ἐκείνοις δὲ Λελεγέτης. Ego quod Λελεγέτης plane abest a cod. Vrat. D et a narratione Pausaniæ, reposui pro eo λέγεται et scripsi νικήσαντας; quo facto locus juste procedit, non impediente interposito οὖν. Præterea ex Vratisl. A. scripsi Πεισίρροθος, qui Pausaniæ est Πεισίδωρος [nunc ap. Pausan. repositum : Πεισίρροθος]. Vratisl. A habet : θυγατέρων τε υἱοὺς Εὐκλεέστατον, Καλλιάνακτα καὶ Πεισίρροθον. Pergitur in Vratisl. A : οὗτοι δὲ πολλὰς νίκας ἐκ τῶν Ὀλυμπίων ἔσχον δέκα, ἐκ τῶν Πυθίων δὲ ἐφ, et cetera, quæ ad vulgata revertuntur, sed immane quantum depravata. — (5) Ita

262.

Milonem Crotoniaten Aristoteles quoque voracem, simul vero etiam virum strenuum fuisse dicit.

263.

Eratosthenes quoque in Olympionicis ait Olympiade 71 Metonis patrem vicisse, testimonio usus Aristotelis. Apollodorus vero grammaticus in Chronicis sic ait : « Empedocles Metonis filius est, quem Thurios recens admodum conditos venisse Glaucus tradit. » Deinde paucis interjectis ait : « Qui vero narrant domo profugum venisse Syracusas et cum illis bellasse adversus Athenienses, prorsus ignari esse mihi videntur : aut enim tum jam mortuus erat, aut certe valde senex esse debebat, id quod non ita fuisse videtur; nam Aristoteles et Heraclides eum sexagesimo ætatis anno vita excessisse dicunt. »

264.

Diagoræ Rhodio pugili] qui vicit Olymp. 79. Hic Diagoras filius erat Damageti Rhodii. Pythiis quoque et Isthmiis vicerat. Dixit de eo etiam Aristoteles et Apollas. Tradunt vero hæc : In Olympia posita Diagoræ statua post statuam Lysandri; cubitorum est quattuor et digitorum quinque, dextram manum extendit, lævam corpori acclinat. Post hunc stat Demagetus, filiorum natu maximus, avo cognominis, in pancratium projectus, ipse quoque cubitorum quattuor, sed patre minor digitis quinque. Prope hunc stat Dorieus frater, pugil, et ipse projectus. Tertius post hunc Acusilaus, læva tenens lorum pugilis, dextram ut ad precationem extendens. Atque hi quidem victoris filii in stelis stant cum patre. Post illos vero etiam filiarum filii victores duo, Eucles qui Andronem pugilatu vicit, et Pisirrhothus. Porro narratur filios, quum Olympiis eodem quo pater die vicissent, cingentes patrem stadium perambulasse ac beatos a Græcis esse prædicatos. Aliquo post tempore etiam filiam ejus Callipatiram in Olympiam venisse ac petiisse ex Hellanodicis dicunt, ut spectare ludos ipsi permitterent. Quod quum recusarent

πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Ἀκουσίλαον, καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίρροθον (6)· καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι (7) καὶ συνήθειαν νόμου διαλῦσαι, καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. Καὶ τὰ περὶ μὲν αὐτῶν τοσαῦτα.

Ex Olympionicis etiam ea petita esse suspicor quæ nunc leguntur in Pseudo-Aristot. Mir. Auscult. c. 52 (collat. schol. Aristoph. Plut. 586; schol. Theocrit. IV, 7; Suida v. Κότινος) de oleis Olympicis, e quibus victorum coronæ petebantur. Probabile est enim Aristotelem quoque, sicuti Eratosthenem, victorum catalogis disputationem de origine atque adornatione ludorum præmisisse.

[264 a.]

[Aristoteles Pol. VIII, 4; 1: Ἐν γὰρ τοῖς Ὀλυμπιονίκαις δύο τις ἂν ἢ τρεῖς εὕροι τοὺς αὐτοὺς νενικηκότας ἄνδρας τε καὶ παῖδας, διὰ τὸ νέους ἀσκοῦντας ἀφαιρεῖσθαι τὴν δύναμιν ὑπὸ τῶν ἀναγκαίων γυμνασίων.]

ΠΥΘΙΟΝΙΚΑΙ.

265.

Plutarch. Solon. c. 11: Πεισθέντες γὰρ ὑπ' ἐκείνου (τοῦ Σόλωνος) πρὸς τὸν πόλεμον (contra Cirrhæos) ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Πυθιονικῶν ἀναγραφῇ, Σόλωνι τὴν γνώμην ἀνατιθείς. Οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν Ἕρμιππος Εὐάνθη τὸν Σάμιον.

vocat Pausan. et Vrat. A. Vulgo Ἀριστοπάς. — (6) Hæc inde ab ἔσχε dedi e Vrat. A. Sed ἐξ ἀδελφῆς obscurum in cod. est. — (7) Ita correxit Heynius. Vulgo ἐπιχειρῆσαι. Vrat. A: συγχωρῆσαι. » Boeckh.

265 a.

Hesychius: Βουθὸς περιφοιτᾷ· παροιμία ἐπὶ τῶν εὐηθῶν καὶ παχυφρόνων (παχυρίνων Herod.), ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα τοῦ Πύθια νικήσαντος, ὃν ἀναγράφει καὶ Ἀριστοτέλης νενικηκότα. Cf. Zenobius II, 66, Suidas, Herodian. Π. μον. λέξ. p. 42, 8, qui Cratinum ἐν Χείρωσι mentionem proverbii fecisse aiunt.

265 b.

Schol. Pind. Ol. II, 87: Κατὰ δὲ τὴν τοῦ Ἀριστοτέλους (supple ἀναγραφὴν) Πυθιονίκης μόνος Θήρων ἀναγέγραπται. Alii etiam fratrem ejus Xenocratem Pythiis vicisse dicunt.

266.

Schol. Soph. OEd. C. 701: Ἀριστοτέλης καὶ τοῖς νικήσασι τὰ Παναθήναια ἐλαίου τοῦ ἐκ τῶν μορίων γινομένου δίδοσθαί φησι. Hæc num in Olympionicis vel Pythionicis vel in Νίκαις Διονυσιακαῖς data occasione allata sint, an etiam Panathenaicorum victorum catalogum Aristoteles composuerit, in medio relinquo.

ΔΙΔΑΣΚΑΛΙΑΙ.

267.

Schol. Aristoph. Av. 281: Εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκὼς (sc. ὁ Φιλοκλῆς) τῇ Πανδιονίδι τετραλογίᾳ, ἣν καὶ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις ἀναγράφει. Ἔστι δὲ ὁ Φιλοκλῆς τραγῳδίας ποιητής, καὶ Φιλοπείθους υἱὸς ἐξ Αἰσχύλου ἀδελφῆς.

---

dicentes lege vetitum esse, ne mulieres gymnicos ludos spectarent, tum vero illam dixisse, non se similem reliquis esse mulieribus, sed majus quid, gentis suæ virtutibus innixam. Habebat enim et patrem et fratres tres, Damagetum, Dorieum, Acusilaum, Olympionicas, et sororis item filium Eucleum, et suum ipsius Pisirrhothum. Ac monstrasse eam patris fratrumque stelas, atque ita victos Hellanodicas cessisse, ac soluta legis consuetudine permisisse Callipatiræ, ut spectatrix ludis interesset.

[264 a.]

[Inter Olympionicas duos tresve ad summum reperias, qui viri et iidem adolescentes fuerint victoria potiti, propterea quod juniores, dum se necessariis exercitationibus dedunt, vires exhauriant.]

PYTHIONICÆ.

265.

Solonis auctoritate moti Amphictyones bellum contra Cirrhæos susceperunt, quod et alii testantur, et Aristoteles in Pythionicarum recensu, Solonem auctorem hujus sententiæ faciens. Non tamen, quod Euanthem scripsisse Samium Hermippus ait, dux huic bello præfectus est Solon.

265 a.

Buthus obambulat. Hoc proverbium usurpatur de stolidis ac simplicibus, ab athleta quodam Butho, qui Pythia vicerat, et quem Aristoteles quoque inter victores recenset.

265 b.

Secundum Aristotelis Pythionicarum recensum unus Theron Pythiis vicit.

266.

Aristoteles etiam iis, qui Panathenæis vicissent, oleum ex oleis sacris proveniens dari tradit.

DIDASCALIÆ.

267.

Pandionidem tetralogiam Philoclis poetæ tragici Aristoteles quoque in Didascaliis recenset.

268.

Schol. in Platon. Apolog. p. 330 ed. Bekker. : Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις (v. 1309), Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν (καθῆκεν Meinek.), ὡς Ἀριστοτέλης Διδασκαλίαις. V. Meinek. Hist. com. I, p. 177; Wagner fragm. poet. tragg. p. 73.

269.

Argument. Eur. Medeæ : Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχός τε Περὶ τοῦ Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν Ὑπομνήμασι. Ὑπομνήματα h. l. a Didascaliis nihil differunt. De re v. Wagner. l. l. p. 20.

270.

Suidas v. Ὄνου σκιά : Ἀριστοτέλης δ' ἐν Διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφήν· Ὄνου σκιάν sc. Archippi comici. V. Zenob. VI, 28; schol. Aldin. ad Arist. Vesp. 191; Apostol. XX, 4; Meinekius ad Menandri reliqq. p. 57.

271.

Schol. Aristophan. Av. 1379 : Ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶ γεγονέναι sc. Cinesias.

272.

Schol. Aristophan. Ran. 404 : Ἐπὶ γοῦν τοῦ Καλλίου τούτου (Ol. 81, 1, quo anno Ran. fab. docta) φησὶν Ἀριστοτέλης ὅτι σύνδυο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς· ὥστε ἴσως ἦν τις καὶ περὶ τὸν Ληναϊκὸν ἀγῶνα συστολή, χρόνῳ δ' ὕστερον οὐ πολλῷ τινι καὶ καθάπαξ περιεῖλε Κινησίας τὰς χορηγίας· ἐξ οὗ καὶ Στράττις ἐν τῷ εἰς αὐτὸν δράματι ἐφῆ σκηνῇ μὲν τοῦ χοροκτόνου Κινησίου.

ἐφῆ σκηνῇ] Requiritur μέμνηται vel tale quid. *Dindf.* De reliqua lectionis varietate adi Dübnerum. Didascaliis fragm. jam Casaubonus vindicavit ad Athen. VI, p. 235, E. Cf. schol. ad vers. 151 : Ὁ Κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, ὡς εἶεν ἀχορήγητοι.

Ad Aristotelis Didascalias respexerit etiam schol. Arist. Plut. 385 : τῶν Παμφίλου] Τὰ δὲ λίαν ἐπιτετηδευμένα Ὑπομνήματα διστάζει, πότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος, ὃν καθηγήσασθαί φασιν Ἀπελλοῦ· ἐν μέντοι ταῖς Διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός.

ΠΕΡΙ ΠΟΙΗΤΩΝ.

Περὶ ποιητῶν libros tres inter Aristotelis scripta præter Diogenem Laertium (V, 26) recenset Anonymus in Vit. Arist. ap. Menagium Diog. p. 202. Ibidem affertur : Κύκλος [ἢ inseruit Menagius] περὶ ποιητῶν γ'. Quod opus ab altero non diversum est (V. Welcker. *Ep. Cycl.* p. 48). Pro Κύκλον περὶ ποιητῶν Anonymus Nunnesii (ap. Buhlium. Arist. tom. I, p. 54) *Dialogum de poetis* ponit. Cujus testimonii auctoritas fere nulla est. Ceterum Aristoteles Περὶ ποιητῶν expresse laudatur, quoad sciam, locis quattuor (ap. Diog. L. III, 48; VIII, 57, Athenæum XI, p. 505, C, Macrob. Saturn. V, 18). Quibus addendi videntur Plutarch. De Homero c. 3 et Diogen. L. II, 46, si quidem recte qui ibi laudatur Aristoteles τρίτῳ ποιητικῆς, vel auctorum errori vel scribarum negligentiæ deberi censetur. Difficilior quæstio est num genuinum fuerit istud de poetis opus. Negat Nitzschius (Hist. Hom. II, p. 37, 42), qui scioli Peripatetici lucubrationem agnoscere sibi videtur in iis quæ de Homeri Vita traduntur. Cujus judicii vim infringere studet Welckerus (l. l. p. 158 not.) ablegando lectorem ad fabulas et populares traditiones, quæ ex Politiis Aristotelis passim afferuntur. Quanquam horum quoque quid genuinum, quid spurium sit parum liquet.

E LIBRO PRIMO.

273.

Cicero De nat. deor. I, 38 : *Orpheum poetam docet Aristoteles nunquam fuisse, et hoc Orphicum carmen Pythagorei ferunt cujusdam fuisse Cecropis.*
De Pittheo Trœzenio vide fragm. 96.

268.

Meletus nequam tragœdiarum scriptor, Thrax genere, ut Aristophanes in Ranis et in Ciconiis, ubi eum *Laii filium* dicit, quod anno, quo Ciconiæ fabula docebatur, Meletus Œdipodiam scenæ commisit, ut Aristoteles tradit in Didascaliis.

269.

Medeam drama Euripides a Neophrone mutuatus, nova ejus recensione instituta scenæ commisisse videtur, uti Dicæarchus in Vita Græciæ et Aristoteles in Commentariis tradunt.

270.

Aristoteles in Didascaliis (inter Archippi comici fabulas) recenset etiam unam quæ *Asini umbra* inscribitur.

271.

Aristoteles in Didascaliis duos Cinesias fuisse dicit.

272.

Sub Callia archonte, ut Aristoteles ait, binos choragos Dionysiorum festis sumptus tragœdiarum et comœdiarum suppeditare placuit. Fortasse igitur etiam circa Lenæos ludos diminutio fuit. Non multo vero post Cinesias choregias prorsus sustulit. Unde Strattis in fabula quam contra eum scripsit, Cinesiæ tanquam χοροκτόνου meminit.

[274.]

Plutarch. Vit. Hom. c. 3, p. 21 in Βιογρ. Westerm. : Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ Περὶ ποιητικῆς (πρώτῳ Περὶ ποιητῶν ?) ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ' ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινὰ τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν Μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρὸς ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην, καὶ ἀγαγόντας εἰς Σμύρναν οὖσαν ὑπὸ Λυδοῖς τότε, τῷ βασιλεῖ τῶν Λυδῶν ὄντι φίλῳ τοὔνομα Μαίονι χαρίσασθαι· τὸν δὲ ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος, γῆμαι· ἣν διατρίβουσαν παρὰ τῷ Μέλητι, καὶ συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος, ἔτυχεν ἀποκυῆσαι τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ. Ὃν ἀναλαβὼν ὁ Μαίων ὡς ἴδιον ἔτρεφε, τῆς Κριθηίδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης. Χρόνου δὲ οὐ πολλοῦ διελθόντος καὶ αὐτὸς ἐτελεύτησε. Τῶν δὲ Λυδῶν καταπονουμένων ὑπὸ τῶν Αἰολέων, καὶ κρινάντων καταλιπεῖν τὴν Σμύρναν, καὶ κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμενον ἀκολουθεῖν ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν Ὅμηρος προσηγορεύθη.

Γενόμενος δ' ἐν ἡλικίᾳ, καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος ἤδη, ἐπηρώτα τὸν θεὸν, τίνων τ' εἴη γονέων καὶ πόθεν· ὁ δὲ ἀνεῖλεν οὕτως·

> Ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα
> δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

Φέρεται καὶ ἕτερος χρησμὸς τοιοῦτος·

> Ὄλβιε καὶ δύσδαιμον· ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι·
> πατρίδα δίζηαι· μητρὸς δέ τοι, οὐ πατρός ἐστι
> μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
> Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀπὸ τηλοῦ.
> Ἐν τῇ σὴ μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο,
> εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῷς ἐπακούσας
> δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον.
> Δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
> ἠελίων δισσῶν· ἣν δ' ἀθανάτοις ἰσόμοιρον,
> καὶ ζῶν καὶ φθίμενος· φθίμενος δ' ἔτι πολλὸν ἀγήρως.

Μετ' οὐ πολὺν δὲ χρόνον πλέων εἰς Θήβας ἐπὶ τὰ Κρόνια (ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικός), ἦλθεν εἰς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν. Οἱ δὲ, ἐπὶ τῷ θηρᾶσαι μὲν μηδὲν, φθειρίζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θήρας οὕτως ἀπεκρίναντο·

> Ὅσσ' ἕλομεν, λιπόμεσθ'· ὅσα δ' οὐχ ἕλομεν, φερόμεσθα·

αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν ἔλαβον τῶν φθειρῶν, ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέροιεν. Ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος, διὰ τὴν ἀθυμίαν ἐτελεύτησε, θάψαντες δὲ αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

> Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
> ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

ἐν τῷ τρίτῳ] Si recte statuunt hæc ex opere Περὶ ποιητῶν sumpta esse, legendum haud dubie ἐν τῷ πρώτῳ. Sin minus, videas ne Aristoteles iste sit Cyrenæus, quem περὶ ποιητικῆς scripsisse testatur Diogenes V, 35.

Cf. Vit. Homeri ed. Iriart. p. 233 : Τιμόμαχος δὲ καὶ Ἀριστοτέλης ἐξ Ἴου τῆς νήσου (τὸν Ὅμηρόν φασι γεγονέναι)... ἀποθανεῖν δὲ αὐτόν φασιν ἐν Ἴῳ τῇ

DE POETIS.

274.

Aristoteles libro tertio (*primo?*) De arte poetica (*De poetis?*) prodit in insula Io, quo tempore Codrus Nelei filius coloniæ in Ioniam ducendæ præfuit, puellam a genio quodam ex eorum numero, qui cum Musis choros ducunt, compressam, quum facti eam propter intumescentem uterum puderet, concessisse in regionem quandam nomine Æginam. Ibi a prædonibus, qui eo excursionem fecissent, captam ductamque in Smyrnam urbem illo tempore Lydis subjectam, Lydorum regi Mæoni, socio suo, dono datam, ab eoque pulchritudinis causa in matrimonium assumptam. Mox quum ad Meletem fluvium degens partus doloribus circumveniretur, accidisse ut Homerum juxta ipsum fluvium pareret. Critheide continuo ex partu mortua, infantem susceptum et ut suum enutritum a Mæone : quem ipsum etiam haud multo post obiisse. Porro Lydi ab Æolibus bello pressi quum Smyrnam relinquere decrevissent, eorumque principes per præconem edixissent, ut quicunque ipsos sequi vellent urbe egrederentur, Homerum puerulum etiamnum dixisse, se quoque velle ὁμηρεῖν, id est *sequi* : inde pro Melesigene Homerum appellatum.

Adultus jam et poetica arte nomen consecutus, de parentibus et patria deum consuluit : isque sic respondit,

> **Insula Ios matris patria est, vita hæc quoque functum**
> **accipiet : sed tu juvenile ænigma caveto.**

Alterum quoque oraculum tale fertur :

> **Felix et miser, ad sortem quia natus utramque**
> **perquiris patriam : matris tibi, non patris exstat**
> **patria, in undoso jacet hæc Ponto insula, Cretæ**
> **non adeo vicina et non longe usque remota.**
> **Hic te fata tua cogent decedere vita,**
> **quum pueri ignotis obscurum ambagibus olim**
> **sermonem involvent, teque hunc evolvere poscent;**
> **quippe duplex vitæ fatum tibi contigit, orbum**
> **luminibus; superis Musa immortalibus æquat :**
> **post mortem te vita manet secura senectæ.**

Non multo post tempore Thebas navigans ad Saturnalia, quod ibi certamen musicum celebratur, Ium venit. Ibi saxo insidens, piscatóres vidit adnavigantes, eosque interrogavit, num quid haberent. Illi quod nihil cepissent, sed capturæ penuria et otio pediculos legissent, ita responderunt :

> **Non capta afferimus, fuerant quæ capta relictis,**

ænigmate significantes, se quos cepissent pediculos, eos occisos reliquisse, quos vero non cepissent eos se in vestibus suis secum ferre. Quod quum Homerus conjectando assequi non posset, præ animi dolore mortuus est. Ienses

νήσῳ ἢ νόσῳ ἢ τῷ τῶν ἁλιέων αἰνίγματι, καὶ αὐτῷ ἐπιγραφῆναι τόδε·

> Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
> ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Gellius N. A. III, 11 : *Aristoteles tradit ex insula Io natum* (Homerum). Cf. Tzetzes schol. ad Exeg. Il. p. 154 ed. Herm.

Cod. Parisin. 553 (a Welckero in Cycl. p. 158 laudatus) : Κατὰ δὲ Βακχυλίδην καὶ Ἀριστοτέλην τὸν φιλόσοφον Ἰήτης (Homerus erat). De his v. Welcker. l. l. p. 157 sqq. 167.

275.

Proclus Chrestom. ap. Phot. cod. 239 : Εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει, τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοτέλης Ἀρίωνα λέγει· ὃς πρῶτος τὸν κύκλιον ἤγαγε χορόν. Cf. schol. Pindar. Ol. XIII, 25.

276.

Diogenes L. VIII, 57 : Ἀριστοτέλης δὲ ἐν τῷ Σοφιστῇ φησὶ πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν· Ζήνωνα δὲ διαλεκτικήν· ἐν δὲ τῷ Περὶ ποιητῶν φησιν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος. Cf. de Empedocle Agrigentin. Resp. fr. 214. 215.

277.

Diogenis L. III, 48 : Διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην, Ἀριστοτέλης δὲ ἐν πρώτῳ Περὶ ποιητῶν Ἀλεξαμενὸν Στορέα ἢ Τήιον.

Athenæus XI, p. 505, C : Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ ποιητῶν οὕτως γράφει· « Οὐκοῦν οὐδὲ ἐμμέτρους τοὺς καλουμένους Σώφρονος μίμους μὴ φῶμεν εἶναι λόγους καὶ μιμήσεις, ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηίου τοὺς πρώτους γραφέντας τῶν Σωκρατικῶν διαλόγων, » ἄντικρυς φάσκων ὁ πολυμαθέστατος Ἀριστοτέλης πρὸ Πλάτωνος διαλόγους γεγραφέναι τὸν Ἀλεξαμενόν.

278.

E LIBRO SECUNDO.

Macrob. V, 18 : « Morem vero Ætolis fuisse uno tantummodo pede calceato in bellum ire ostendit clarissimus scriptor Euripides tragicus : in cujus tragœdia quæ Meleager inscribitur, nuncius inducitur describens quo quisque habitu fuerit ex ducibus, qui ad aprum capiendum convenerant. In eo hi versus sunt : (V. fragm. Eurip. 531)... Non reticebimus rem paucissimis notam : reprehensum Euripidem ab Aristotele, qui ignorantiam istud Euripidis fuisse contendit : Ætolos enim non lævum pedem habere nudum, sed dextrum. Quod ne affirmem potius quam probem, ipsa Aristotelis verba ponam ex libro quem De poetis secundo subscripsit. In quo de Euripide loquens sic ait :

Τοὺς δὲ Θεστίου κούρους τὸν μὲν ἀριστερὸν πόδα φησὶν Εὐριπίδης ἐλθεῖν ἔχοντας ἀνυπόδετον· λέγει γοῦν ὅτι

> ...τὸ λαιὸν ἴχνος (ἦσαν) ἀνάρβυλοι ποδός,
> τὸν δ' ἐν πεδίλοις ὡς ἐλαφρίζον γόνυ
> ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος·

ὡς δὴ πᾶν τοὐναντίον ἔθος τοῖς Αἰτώλοις· τὸν μὲν γὰρ ἀριστερὸν ὑποδέδενται, τὸν δὲ δεξιὸν ἀνυποδετοῦσιν· δεῖ γάρ, οἶμαι, τὸν ἡγούμενον ἔχειν ἐλαφρόν, ἀλλ' οὐ τὸν ἐμμένοντα.

E LIBRO TERTIO.

279.

Diogenes L. II, 46 : Τούτῳ (τῷ Σωκράτει) τίς, καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ Ποιητικῆς, ἐφιλονείκει Ἀντίλοχος Λήμνιος καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ Κύδων καὶ Ὀνάτας, καὶ Σάγαρις Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος, καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης, καὶ Πινδάρῳ Ἀμφιμένης ὁ Κῷος, Θάλητι δὲ Φερεκύδης, καὶ Βίαντι Σάλαρις

---

eum magnifice sepeliverunt, hac addita sepulcro inscriptione :

> Terra sacrum caput hic divini occultat Homeri
> Heroum egregias qui dixit carmine laudes.

276.

Aristoteles in Sophista primum Empedoclem oratoriæ inventorem ait, Zenonemque dialecticæ; in libro autem De poetis asserit Homericum Empedoclem, acutumque in dicendo fuisse, translationibus item ac ceteris poeticis figuris usum.

277.

Dialogos primum scripsisse aiunt Zenonem Eleatam : Aristoteles vero libro primo De poetis Alexamenum Storensem vel Teium ait.

Aristoteles in libro De poetis scribit : « Igitur ne metris quidem comprehensos Sophronis mimos qui vocantur, dicemus esse sermones, sive dialogos et imitationes, aut Alexameni Teii dialogos, qui ante Socraticos conscripti sunt. » Quibus verbis perspicue declarat doctissimus Aristoteles ante Platonem dialogos scripsisse Alexamenum.

278.

Euripides Thestii filios venisse ait lævum pedem non calceatum habentes. Ita enim dicit :

> ... sinistri pedis vestigia nudi,
> altero calceati erant, ut genu flexile haberent,
> qui omnium Ætolorum mos est.

Verum contrarius plane mos apud Ætolos obtinet; nam pedem sinistrum calceant, dextrum nudum relinquunt; ac omnino patet pedem ducentem, non vero alterum, levem esse debere.

279.

Fuit Socrati, ut refert Aristoteles tertio De poetica, cum Antiolocho Lemnio et Antiphonte prodigiorum interprete contentio; quemadmodum Pythagoræ cum Cydone et Onata; viventique Homero Sagaris æmulus fuit; vita autem functo Xenophanes Colophonius; Hesiodo item viventi

Πριηνεὺς, Πιτταχῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος καὶ Σιμωνίδῃ Τιμοκρέων.

ΠΑΡΟΙΜΙΑΙ.

itaque hac de caussa Metapontum se contulit, ibique vitam finivisse dicitur. Interim Cylonii contra Pythagoreos insurgere, et infesti animi documenta edere non intermiserunt : sed nihilo minus tamen aliquamdiu Pythagoreorum virtus inconcussa stetit, civitatumque iis benevolentia conservata est : ita ut nec ab aliis res suas administrari publicas sustinuerint. Sed tandem eo Cyloneorum insidiæ proruperunt, ut domum Milonis, in qua Pythagorei, de rebus ad bonum publicum pertinentibus deliberaturi, consederant, igne subjecto cum ipsis viris combusserint, duobus tantum elapsis, Archippo et Lyside : hi enim justæ ætatis vigore viribusque pollentes, per ignem se foras proripuerant. Quum vero vulgus civium ad tantam cladem conniveret, Pythagorei omnem reipublicæ gerendæ curam abjecerunt; idqne ob duplicem potissimum caussam : tum quod cives tantæ calamitatis nullam rationem habuissent; tum quod ii interiissent, qui ad publicas res administrandas maxime fuerant idonei. Illi autem qui e periculo salvi evaserunt, ambo Tarentini erant : et Archippus quidem in patriam rediit : Lysis vero neglectum sui perosus in Græciam solvit, et in Achaia Peloponnesi commoratus est : unde incertum quo adspirante favore Thebas commigravit, ibique Epaminondam auditorem habuit, a quo et parens salutatus est; ac tandem ibidem mortem obiit. Reliqui Pythagorei præter Archytam Tarentinum Italia excesserunt, et Rhegium confluentes ibi una commorati sunt. Temporis autem progressu quum in deterius civitatum administratio vergeret, præcipui eorum tunc erant Phanto, Echecrates, Polymnastus, Diocles, Phliasii, et Xenophilus Chalcidensis e Thracia — hi igitur in pristinis nihilominus institutis studiisque perstiterunt, donec deficiente secta, cum laude interciderent. Hoc modo res ab Aristoxeno narratur.

12.

Postremi Pythagoreorum, quos vidit etiam Aristoxenus, fuerunt Xenophilus Chalcidensis ex Thracia, Phanton Phliasius, atque Diocles et Polymnastus, etiam ipsi Phliasii, auditores vero Philolai et Euryti Tarentinorum.

VITA ARCHYTÆ.

13.

Archytas Mnesagoræ filius Tarentinus, uti vero Aristoxenus, Hestiæi filius, ipse quoque Pythagoricus.

14.

Archytam Pythagoreum Aristoxenus refert quum exer-

γορείων, διασύροντές τε καὶ διαμωκώμενοι, καὶ ἀλαζόνας ἀποκαλοῦντες αὐτούς, καὶ λέγοντες, ὅτι ἐκκοπείη ἂν αὐτῶν ἥ τε σεμνότης αὕτη καὶ ἡ προσποίητος πίστις καὶ ἡ ἀπάθεια, εἴ τις περιστήσειεν αὐτοὺς εἰς συμφορὰν (Küster., φορὰν libri) ἀξιόχρεων· ἀντιλεγόντων δὲ τινῶν καὶ γινομένης φιλονεικίας, συνταχθῆναι ἐπὶ τοὺς περὶ Φιντίαν, ἐναντίον τε τινὰ τῶν κατηγόρων αὐτοῦ εἰπεῖν, ὅτι φανερὸς γέγονε μετὰ τινῶν ἐπιβουλεύων αὐτῷ· καὶ τοῦτο μαρτυρεῖσθαί τε ὑπὸ τῶν παρόντων ἐκείνων, καὶ τὴν ἀγανάκτησιν πιθανῶς πάνυ γενέσθαι· τὸν δὲ Φιντίαν θαυμάζειν τὸν λόγον· ὡς δὲ αὐτὸς διαρρήδην εἶπεν, ὅτι ἐξήτασται ταῦτα ἀκριβῶς, καὶ δεῖ αὐτὸν ἀποθνήσκειν, εἰπεῖν τὸν Φιντίαν, ὅτι εἰ οὕτως αὐτῷ δέδοκται ταῦτα γενέσθαι, ἀξιῶσαι γε αὐτῷ δοθῆναι τὸ λοιπὸν τῆς ἡμέρας, ὅπως οἰκονομήσηται τά τε καθ' ἑαυτὸν καὶ τὰ κατὰ τὸν Δάμωνα· συνέζων γὰρ οἱ ἄνδρες οὗτοι καὶ ἐκοινώνουν ἁπάντων· πρεσβύτερος δὲ ὢν ὁ Φιντίας, τὰ πολλὰ τῶν περὶ οἰκονομίαν ἦν εἰς αὐτὸν ἀνειληφώς· ἠξίωσεν οὖν ἐπὶ ταῦτα ἀφεθῆναι, ἐγγυητὴν καταστήσας τὸν Δάμωνα. Ἔφη οὖν ὁ Διονύσιος θαυμάσαι τε καὶ ἐρωτῆσαι, εἰ ἔστιν ὁ ἄνθρωπος οὗτος, ὅστις ὑπομενεῖ θανάτου γενέσθαι ἐγγυητής. Φήσαντος δὲ τοῦ Φιντίου, μετάπεμπτον γενέσθαι τὸν Δάμωνα, καὶ διακούσαντα τὰ συμβεβηκότα φάσκειν ἐγγυήσασθαί τε καὶ μενεῖν αὐτοῦ, ἕως ἂν ἐπανέλθῃ ὁ Φιντίας· αὐτὸς μὲν οὖν ἐπὶ τούτοις εὐθὺς ἐκπλαγῆναι ἔφη· ἐκείνους δὲ τοὺς ἐξ ἀρχῆς εἰσαγαγόντας τὴν διάπειραν, τὸν Δάμωνα χλευάζειν, ὡς ἐγκαταλειφθησόμενον, καὶ σκώπτοντας ἔλαφον ἀντιδίδοσθαι λέγειν· ὄντος δὲ οὖν ἤδη τοῦ ἡλίου περὶ δυσμάς, ἥκειν τὸν Φιντίαν ἀποθανούμενον· ἐφ' ᾧ πάντας ἐκπλαγῆναί τε καὶ δουλωθῆναι· αὐτὸς δὲ οὖν ἔφη, περιβαλὼν τε καὶ φιλήσας τοὺς ἄνδρας, ἀξιῶσαι τρίτον αὐτὸν εἰς τὴν φιλίαν παραδέξασθαι, τοὺς δὲ μηδενὶ τρόπῳ, καίτοι λιπαροῦντος αὐτοῦ, συγκαταθεῖναι εἰς τὸ τοιοῦτον. Καὶ ταῦτα μὲν ὁ Ἀριστόξενος ὡς παρ' αὐτοῦ τοῦ Διονυσίου πυθόμενος φησί.

Eadem ex Aristoxeno (vel potius ex Nicomacho, qui Aristoxenum commemoraverit) Porphyr. V. P. § 60. « Historiam hanc Iamblichus aliique scriptores de Damone et Phintia, Polyænus (Stratag. V, 22) de Ecphanto et Eucrito, Hyginus vero (fab. 257) de Mœro et Selinuntio referunt. Præterea notandum Valer. Max. IV, 7 *Pythiam* vocare, qui Iamblicho aliisque Phintias dicitur. » Kuster. « Adde Cic. de Off. III, 10, Diodor. (X, 4) Exc. De virt. p. 554. Lactant. V, 17. Neque prætereundus est A. G. Lange in *N. teutsch. Mercur.* 1808, p. 183. » Kiessling.

10.

Diog. L. VIII, 14 : Πρῶτον εἰς τοὺς Ἕλληνας μέτρα καὶ σταθμὰ εἰσηγήσασθαι (Πυθαγόραν), καθά φησιν Ἀριστόξενος ὁ μουσικός.

11.

Iamblich. Vit. Pyth. § 248 : Κύλων, ἀνὴρ Κροτωνιάτης, γένει μὲν καὶ δόξῃ καὶ πλούτῳ πρωτεύων τῶν πολιτῶν, ἄλλως δὲ χαλεπός τις καὶ βίαιος καὶ θορυβώδης καὶ τυραννικὸς τὸ ἦθος, πᾶσαν προθυμίαν παρασχόμενος πρὸς τὸ κοινωνῆσαι τοῦ Πυθαγορείου βίου, καὶ προσελθὼν πρὸς αὐτὸν τὸν Πυθαγόραν ἤδη πρεσβύτην ὄντα, ἀπεδοκιμάσθη διὰ τὰς προειρημένας αἰτίας. Γενομένου δὲ τούτου, πόλεμον ἰσχυρὸν ἤρατο καὶ αὐτὸς καὶ οἱ φίλοι αὐτοῦ τε τοῦ Κύλωνος πρὸς αὐτόν τε Πυθαγόραν καὶ τοὺς ἑταίρους· καὶ οὕτω

---

tione, cavillis eos sannisque traducebant; jactabundos quippe appellitabant, et gravitatem illam simulatamque fidem et affectuum vacuitatem facile elisum iri affirmabant, si quis illos in gravius periculum induceret. Aliis autem contradicentibus, in partes itum est, ac fervente contentione, techna in Phintiæ caput structa, accusatorque est subornatus, qui coram ei objiceret, quod deprehensus esset cum quibusdam in Dionysii vitam conspirasse; producebanturque testes, atque maxima probabilitatis specie querela induebatur. Raptus est hac oratione in stuporem Phintias : sed quum illi Dionysius disertis verbis indicasset, omnia hæc jam penitus explorata esse, eumque mori oportere; petiit ut, quoniam ejus judicio res huc deducta esset, reliquum sibi diei concederetur, ut tam sua quam Damonis negotia componere posset. Victitabant enim in bonorum omnium communione viri isti : et quia Phintias ætate provectior erat, potiorem rei familiaris curam in se susceperat. Hujus itaque ordinandæ caussa dimitti rogabat, Damone vade dato. Quum itaque Dionysius admirabundus interrogaret, num quisquam hominum esset, qui in caussa capitali vas fieri sustineret, idque Phintias ita fore affirmaret, arcessitus est Damon : qui cognito quod acciderat, vadem se futurum dixit, ibique perstiturum, donec Phintias reverteretur. Hoc facto Dionysius aiebat se quidem obstupuisse; illos vero, qui periculi faciendi primi auctores fuerant, irrisisse Damonem, eum veluti cervam vicariam victimam substitutum esse cavillati. Quum igitur jam ad occasum sol inclinaret, Phintias moriturus supervenit. Qua re omnium animi perculsi et quasi subacti sunt. Ipse vero Dionysius, viros amplexus, ut aiebat, et deosculatus rogavit, ut se tertium in amicitiam suam reciperent : illi autem nullo modo adduci potuerunt, ut quamvis multum flagitanti annuerent. Hæc Aristoxenus ut ex ore Dionysii percepta narrat.

10.

Pythagoram primum in Græciam introduxisse mensuras et pondera testatur Aristoxenus musicus.

11.

Erat Cylo genere et splendore et divitiis Crotoniatarum facile princeps; cetera vero homo durus, violentus, seditiosus et tyrannico ingenio : isque nullum non lapidem moverat, ut in Pythagoreorum consortium admitteretur; ac postquam Pythagoram ipsum ea de re compellarat, ob prædictas caussas repulsam passus fuerat. Quo facto, ipse cum amicis suis adversus Pythagoram bellum suscepit : fuitque Cylonis et eorum qui in partibus illius stabant, tam atrox tamque impotens defendendi honoris sui studium, ut ad ultimos usque Pythagoreos perduraverit. Pythagoras

σφοδρά τις ἐγένετο καὶ ἄκρατος ἡ φιλοτιμία αὐτοῦ τε ἐκεῖ διέτριβον μετ' ἀλλήλων. Προϊόντος δὲ τοῦ χρόνου, τοῦ Κύλωνος καὶ τῶν μετ' ἐκείνου τεταγμένων, ὥστε διατεῖναι μέχρι τῶν τελευταίων Πυθαγορείων. Ὁ μὲν οὖν Πυθαγόρας διὰ ταύτην τὴν αἰτίαν ἀπῆλθεν εἰς τὸ Μεταπόντιον, κἀκεῖ λέγεται καταστρέψαι τὸν βίον. Οἱ δὲ Κυλώνειοι λεγόμενοι διετέλουν πρὸς τοὺς Πυθαγορείους στασιάζοντες καὶ πᾶσαν ἐνδεικνύμενοι δυσμένειαν· ἀλλ' ὅμως ἐπεκράτει μέχρι τινὸς ἡ τῶν Πυθαγορείων καλοκαγαθία, καὶ ἡ τῶν πλεόνων αὐτῶν βούλησις, ὥστε ὑπ' ἐκείνων οἰκονομεῖσθαι βούλεσθαι περὶ τὰς πολιτείας· τέλος δὲ εἰς τοσοῦτον ἐπεβούλευσε τοῖς ἀνδράσιν, ὥστε ἐν τῇ Μίλωνος οἰκίᾳ ἐν Κρότωνι συνεδρευόντων τῶν Πυθαγορείων, καὶ βουλευομένων περὶ πολεμικῶν (πολιτικῶν conj. Mahn.) πραγμάτων, ὑφάψαντες τὴν οἰκίαν κατέκαυσαν τοὺς ἄνδρας πλὴν δυοῖν, Ἀρχίππου τε καὶ Λύσιδος· οὗτοι γὰρ τελεώτατοι (νεώτατοι Bentl.) ὄντες καὶ εὐρωστότατοι, διεξεπαίσαντο ἔξω πως. Γενομένου δὲ τούτου, καὶ λόγον οὐδένα ποιησαμένων τῶν πολλῶν περὶ τοῦ συμβάντος πάθους, ἐπαύσαντο τῆς ἐπιμελείας οἱ Πυθαγόρειοι· συνέβη δὲ τοῦτο δι' ἀμφοτέρας τὰς αἰτίας, διά τε τὴν ὀλιγωρίαν τῶν πόλεων (τοῦ τοιούτου γὰρ καὶ τηλικούτου γενομένου πάθους οὐδεμίαν ἐπιστροφὴν ἐποιήσαντο) διά τε τὴν ἀπώλειαν τῶν ἡγεμονικωτάτων ἀνδρῶν· τῶν δὲ δύο τῶν περισωθέντων, ἀμφοτέρων Ταραντίνων ὄντων, ὁ μὲν Ἄρχιππος ἀνεχώρησεν εἰς Τάραντα, ὁ δὲ Λύσις μισήσας τὴν ὀλιγωρίαν ἀπῆρεν εἰς τὴν Ἑλλάδα, καὶ ἐν Ἀχαΐᾳ διέτριβε τῇ Πελοποννησιακῇ· ἔπειτα εἰς Θήβας μετῳκίσατο, σπουδῆς τινὸς γενομένης· οὗπερ ἐγένετο Ἐπαμινώνδας ἀκροατής, καὶ πατέρα τὸν Λύσιν ἐκάλεσεν· ὧδε καὶ τὸν βίον κατέστρεψεν. Οἱ δὲ λοιποὶ τῶν Πυθαγορείων ἀπέστησαν τῆς Ἰταλίας, πλὴν Ἀρχύτου τοῦ Ταραντίνου. Ἀθροισθέντες δὲ εἰς τὸ Ῥήγιον, καὶ τῶν πολιτευμάτων ἐπὶ τὸ χεῖρον προβαινόντων· ἦσαν δὲ οἱ σπουδαιότατοί τε (τότε?) Φάντων καὶ Ἐχεκράτης καὶ Πολύμναστος καὶ Διοκλῆς Φλιάσιοι, Ξενόφιλος δὲ Χαλκιδεὺς τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων· ἐφύλαξαν μὲν οὖν τὰ ἐξ ἀρχῆς ἤθη καὶ τὰ μαθήματα, καίτοι ἐκλειπούσης τῆς αἱρέσεως, ἕως εὐγενῶς ἠφανίσθησαν. Ταῦτα μὲν οὖν Ἀριστόξενος διηγεῖται.

« Verba προϊόντος τοῦ χρόνου κ. τ. λ. seriem orationis omnino interrumpunt, nec locum hic habere possunt; quæ proinde Obrechtus rectius collocat post illa quæ paullo post sequuntur, τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων. » Kuster. Eo non opus est.

12.

Diogen. L. VIII, 45, postquam dixerat floruisse scholam Pythagoræ usque ad generationem nonam vel decimam, subjicit : Τελευταῖοι γὰρ ἐγένοντο τῶν Πυθαγορείων, οὓς καὶ Ἀριστόξενος εἶδε, Ξενόφιλός θ' ὁ Χαλκιδεὺς ἀπὸ Θρᾴκης καὶ Φάντων ὁ Φλιάσιος καὶ Διοκλῆς καὶ Πολύμναστος, Φλιάσιοι καὶ αὐτοί· ἦσαν δ' ἀκροαταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων. V. Clinton. F. H. ad annum 472.

ΒΙΟΣ ΑΡΧΥΤΟΥ.

13.

Diogen. L. VIII, 79 : Ἀρχύτας Μνησαγόρου Ταραντῖνος, ὡς δ' Ἀριστόξενος, Ἑστιαίου, Πυθαγορικὸς καὶ αὐτός. Cf. Suidas : Ἀρχύτας, Ταραντῖνος Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός.

14.

Diogen. L. VIII, 82 : Τὸν δὲ Πυθαγορικὸν (Ἀρχύ-

---

itaque hac de caussa Metapontum se contulit, ibique vitam finivisse dicitur. Interim Cylonii contra Pythagoreos insurgere, et infesti animi documenta edere non intermiserunt : sed nihilo minus tamen aliquamdiu Pythagoreorum virtus inconcussa stetit, civitatumque iis benevolentia conservata est : ita ut nec ab aliis res suas administrari publicas sustinuerint. Sed tandem eo Cyloneorum insidiæ prorupe-runt, ut domum Milonis, in qua Pythagorei, de rebus ad bonum publicum pertinentibus deliberaturi, consederant, igne subjecto cum ipsis viris combusserint, duobus tantum elapsis, Archippo et Lyside : hi enim justæ ætatis vigore viribusque pollentes, per ignem se foras proripuerant. Quum vero vulgus civium ad tantam cladem conniveret, Pythagorei omnem reipublicæ gerendæ curam abjecerunt; idque ob duplicem potissimum caussam : tum quod cives tantæ calamitatis nullam rationem habuissent; tum quod ii interiissent, qui ad publicas res administrandas maxime fuerant idonei. Illi autem qui e periculo salvi evaserunt, ambo Tarentini erant : et Archippus quidem in patriam rediit : Lysis vero neglectum sui perosus in Græciam solvit, et in Achaia Peloponnesi commoratus est : unde incertum quo adspirante favore Thebas commigravit, ibique Epaminondam auditorem habuit, a quo et parens salutatus est; ac tandem ibidem mortem obiit. Reliqui Pythagorei præter Archytam Tarentinum Italia excesserunt, et Rhegium confluentes ibi una commorati sunt. Temporis autem progressu quum in deterius civitatum administratio vergeret, præcipui eorum tunc erant Phanto, Echecrates, Polymnastus, Diocles, Phliasii, et Xenophilus Chalcidensis e Thracia — hi igitur in pristinis nihilominus institutis studiisque perstiterunt, donec deficiente secta, cum laude intercíderent. Hoc modo res ab Aristoxeno narratur.

12.

Postremi Pythagoreorum, quos vidit etiam Aristoxenus, fuerunt Xenophilus Chalcidensis ex Thracia, Phanton Phliasius, atque Diocles et Polymnastus, etiam ipsi Phliasii, auditores vero Philolai et Euryti Tarentinorum.

VITA ARCHYTÆ.

13.

Archytas Mnesagoræ filius Tarentinus, uti vero Aristoxenus, Hestiæi filius, ipse quoque Pythagoricus.

14.

Archytam Pythagoreum Aristoxenus refert quum exer-

18.

ταν) Ἀριστόξενός φησι μηδέποτε στρατηγοῦντα ἡττηθῆναι· φθονούμενον δ' ἅπαξ ἐκχωρῆσαι τῆς στρατηγίας καὶ τοὺς (τοὺς ἀστοὺς??) αὐτίκα ληφθῆναι.

Historiunculam de Archyta, qui quum villico factus esset iratior, tamen impetum iræ compresserit, præter Ciceronem Tusc. IV, 57 et Diodor. Exc. Vat. (lib. X, 7, 4 ed. Didot.) narrat Iamblich. V. P. § 197, his incipiens verbis : Σπίνθαρος διηγεῖτο πολλάκις περὶ Ἀρχύτου κ. τ. λ. Quæ ex Aristoxeno, Spinthari f., fluxisse probabiliter statuit Wyttenbachius (Bibl. Crit. part. VIII, p. 113), suffragante Mahnio p. 47.

15.

Athenæus XII, p. 545, A : Ἀριστόξενος δ' ὁ μουσικὸς ἐν τῷ Ἀρχύτα βίῳ ἀφίησι παρὰ Διονυσίου τοῦ νεωτέρου πρεσβευτὰς πρὸς τὴν Ταραντίνων πόλιν, ἐν οἷς εἶναι καὶ Πολύαρχον τὸν ἡδυπαθῆ ἐπικαλούμενον, ἄνδρα περὶ τὰς σωματικὰς ἡδονὰς ἐσπουδακότα, καὶ οὐ μόνον τῷ ἔργῳ, ἀλλὰ καὶ τῷ λόγῳ. Ὄντα δὲ γνώριμον τῷ Ἀρχύτα, καὶ φιλοσοφίας οὐ παντελῶς ἀλλότριον, ἀπαντᾶν εἰς τὰ τεμένη καὶ συμπεριπατεῖν τοῖς περὶ τὸν Ἀρχύταν, ἀκροώμενον τῶν λόγων. Ἐμπεσούσης δέ ποτε ἀπορίας καὶ σκέψεως περί τε τῶν ἐπιθυμιῶν καὶ τὸ σύνολον περὶ τῶν σωματικῶν ἡδονῶν, ἔφη ὁ Πολύαρχος· « Ἐμοὶ μέν, ὦ ἄνδρες, πολλάκις ἤδη πέφηνεν ἐπισκοποῦντι κομιδῇ τὸ τῶν ἀρετῶν τούτων κατασκεύασμα καὶ πολὺ τῆς φύσεως ἀφεστηκὸς εἶναι. Ἡ γὰρ φύσις, ὅταν φθέγγηται τὴν ἑαυτῆς φωνήν, ἀκολουθεῖν κελεύει ταῖς ἡδοναῖς, καὶ τοῦτό φησιν εἶναι νοῦν ἔχοντος, τὸ δὲ ἀντιτείνειν καὶ καταδουλοῦσθαι τὰς ἐπιθυμίας, οὔτε ἔμφρονος, οὔτε εὐτυχοῦς, οὔτε ξυνιέντος εἶναι, τίς ποτε ἐστὶν ἡ τῆς ἀνθρωπίνης φύσεως σύστασις. Τεκμήριον δ' ἰσχυρὸν εἶναι, τὸ πάντας ἀνθρώπους, ὅταν ἐξουσίας ἐπιλάβωνται μέγεθος ἀξιόχρεων ἐχούσης, ἐπὶ τὰς σωματικὰς ἡδονὰς καταφέρεσθαι, καὶ τοῦτο νομίζειν τέλος εἶναι τῆς ἐξουσίας· τὰ δὲ ἄλλα πάντα σχεδὸν ἁπλῶς εἰπεῖν ἐν παρέργου τίθεσθαι χώρᾳ. Προφέρειν δὲ ἔξεστι νῦν μὲν τοὺς Περσῶν βασιλεῖς, καὶ εἴ τίς που τυραννίδος ἀξιολόγου κύριος ὢν τυγχάνει· πρότερον δὲ τούς τε Λυδῶν καὶ τῶν Μήδων, καὶ ἔτι ἀνώτερον καὶ τοὺς Σύρων· οἷς οὐδὲν γένος ἡδονῆς ἀζήτητον γενέσθαι, ἀλλὰ καὶ δῶρα παρὰ τοῖς Πέρσαις προκεῖσθαι λέγεται τοῖς δυναμένοις ἐξευρίσκειν καινὴν ἡδονήν· καὶ μάλα ὀρθῶς. Ταχὺ γὰρ ἡ ἀνθρωπίνη φύσις ἐμπίπλαται τῶν χρονιζουσῶν ἡδονῶν, κἂν ὦσι σφόδρα διηκριβωμέναι· ὥστε, ἐπεὶ μεγάλην ἔχει δύναμιν ἡ καινότης πρὸς τὸ μείζω φανῆναι τὴν ἡδονήν, οὐκ ὀλιγωρητέον οὖν, ἀλλὰ πολλὴν ἐπιμέλειαν αὐτῆς ποιητέον. Διὰ ταύτην δὲ τὴν αἰτίαν πολλὰ μὲν ἐξευρεθῆναι βρωμάτων εἴδη, πολλὰ δὲ πεμμάτων, πολλὰ δὲ θυμιαμάτων καὶ μύρων, πολλὰ δὲ ἱματίων καὶ στρωμάτων, καὶ ποτηρίων δή, καὶ τῶν ἄλλων σκευῶν· πάντα γὰρ δὴ ταῦτα συμβάλλεσθαί τινας ἡδονάς, ὅταν ᾖ ἡ ὑποκειμένη ὕλη τῶν θαυμαζομένων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως· ὃ δὴ πεπονθέναι δοκεῖ ὅ τε χρυσὸς καὶ ἄργυρος, καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων τε καὶ σπανίων, ὅσα καὶ κατὰ τὰς ἀπεργαζομένας τέχνας διηκριβωμένα φαίνεται. »

Εἰπὼν δὲ τούτοις ἑξῆς τὰ περὶ τῆς θεραπείας τῆς τοῦ Περσῶν βασιλέως, οἵους καὶ ὅσους ἔχει θεραπευτῆρας, καὶ περὶ τῆς τῶν ἀφροδισίων αὐτοῦ χρήσεως, καὶ τῆς περὶ τὸν χρῶτα αὐτοῦ ὀδμῆς, καὶ τῆς εὐμορ-

---

citui præesset, nunquam fuisse superatum; semel autem dum invidiæ cederet, sese imperio abdicasse, moxque cives clade affectos.

15.

Aristoxenus musicus in Archytæ vita narrat Dionysium juniorem legatos misisse Tarentum, et inter illos fuisse Polyarchum, cognomine Delicatum (v. Ælian. V. H. VIII, 4), non solum dictis, verum etiam factis corporis voluptatibus addictum, Archytæ familiarem nec omnino alienum a philosophia, qui Archytæ ad lucum obvius, cum eo spatiatus est, interim dum disputantem audiret. Quum autem incidisset quæstio ac consideratio de cupiditatibus, et in universum de voluptatibus corporeis, tum inquit Polyarchus : « Mihi quidem, o boni viri, sæpius hæc contemplanti, compertum est, illud quod virtuti ædificium ac monumentum exstruitis, a natura plurimum dissitum esse : quandoquidem voce sua Natura si nos alloquatur, voluptatem ut sectemur ea præcipiet, id quod facit, qui sanæ mentis est : at voluptati repugnare, vel in servitutem redigere cupiditates, nec temperantis hominis est, nec felicis, sed ejus qui naturæ humanæ statum ignoret ac nesciat. Cujus rei validum est documentum, quod omnes homines, quum potentiam nacti sunt satis magnam, ad corporeas voluptates ferantur, et hunc finem esse existiment potentiæ, reliqua vero propemodum omnia, ut verbo dicam, insuper habeant. Proferri autem possunt ex iis qui nunc vivunt, reges Persarum et si quis est alius ampli imperii dominus, e superioribus vero reges Lydorum atque Medorum, vel etiam vetustiores Syrorum, quibus omne voluptatis genus tentatum est, adeo ut apud Persas illis præmium constitueretur, qui voluptatem aliquam novam excogitarent; et jure quidem optimo : statim enim diuturna voluptas naturam hominum satiat, tametsi curiose ac sedulo conquisita fuerit. Quapropter quum maxima vis novitatis sit, jucundiorem ut esse voluptatem nos arbitremur, ea non est aspernanda, sed summa diligentia investiganda, præsertim quum ejus desiderio multa nobis cibaria reperta fuerint, multa bellaria, suffitus varii, unguenta non pauca, vestimenta, stragula, pocula, et aliæ id genus res : quæ ad voluptatem omnia conducunt, quum illius materia est ejusmodi, ut eam natura hominis admiratione prosequatur, quod videtur in auro et argento contigisse, tum etiam in multis, quæ rara sunt, et oculis placent, et quæ artificum opera solerter elaborata conspiciuntur. »

Post hæc fatus multa de regis Persarum cultu, quales et quot ei ministrent, in Venere quo pacto se gerat, suavem odorem quo modo sibi conciliet, quam tuendæ formæ curam adhibeat, quæ sit ejus cum aliis consuetudo, quibus spectaculis et sermonibus exhilaretur, omnium hominum, quos terra sustinet, illum esse beatissimum dixit, quia

φίας καὶ τῆς ὁμιλίας, καὶ περὶ τῶν θεωρημάτων καὶ τῶν ἀκροαμάτων, εὐδαιμονέστατον ἔφη κρῖναι τῶν νῦν τὸν τῶν Περσῶν βασιλέα· « πλεῖσται γάρ εἰσιν αὐτῷ καὶ τελειόταται παρεσκευασμέναι ἡδοναί. Δεύτερον δέ, φησὶ, τὸν ἡμέτερον τύραννον θείη τις ἂν, καίπερ πολὺ λειπόμενον. Ἐκείνῳ μὲν γὰρ ἥ γε Ἀσία ὅλη χορηγεῖ, τὸ δὲ Διονυσίου χορηγεῖον παντελῶς ἂν εὐτελές τι φανείη πρὸς ἐκεῖνο συγκρινόμενον. Ὅτι μὲν οὖν περιμάχητός ἐστιν ὁ τοιοῦτος βίος, φανερὸν ἐκ τῶν συμβεβηκότων. Σύρους μὲν γὰρ Μῆδοι μετὰ τῶν μεγίστων κινδύνων ἀφείλαντο τὴν βασιλείαν οὐκ ἄλλου τινὸς ἕνεκα, ἢ τοῦ κυριεῦσαι τῆς Σύρων ἐξουσίας· Μήδους δὲ Πέρσαι διὰ τὴν αὐτὴν αἰτίαν· αὕτη δ' ἐστὶν ἡ τῶν σωματικῶν ἡδονῶν ἀπόλαυσις. Οἱ δὲ νομοθέται, ὁμαλίζειν βουληθέντες τὸ τῶν ἀνθρώπων γένος, καὶ μηδένα τῶν πολιτῶν τρυφᾶν, ἀνακύψαι πεποιήκασι τὸ τῶν ἀρετῶν εἶδος· καὶ ἔγραψαν νόμους περὶ συναλλαγμάτων καὶ τῶν ἄλλων ὅσα ἐδόκει πρὸς τὴν πολιτικὴν κοινωνίαν ἀναγκαῖα εἶναι, καὶ δὴ καὶ περὶ ἐσθῆτος καὶ τῆς λοιπῆς διαίτης, ὅπως ᾖ ὁμαλής. Πολεμούντων οὖν τῶν νομοθετῶν τῷ τῆς πλεονεξίας γένει, πρῶτον μὲν ὁ περὶ τὴν δικαιοσύνην ἔπαινος ηὐξήθη, καὶ πού τις καὶ ποιητὴς ἐφθέγξατο·

Δικαιοσύνας τὸ χρύσεον πρόσωπον·

καὶ πάλιν·

Τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας.

Ἀπεθεώθη δὲ καὶ αὐτὸ τὸ τῆς Δίκης ὄνομα· ὥστε παρ' ἐνίοις καὶ βωμοὺς καὶ θυσίας γίνεσθαι Δίκῃ. Μετὰ ταύτην δὲ καὶ σωφροσύνην καὶ ἐγκράτειαν ἐπεισεκώμασαν, καὶ πλεονεξίαν ἐκάλεσαν τὴν ἐν ἀπολαύσεσιν ὑπεροχήν· ὥστε καὶ τὸν πειθαρχοῦντα τοῖς νόμοις καὶ τῇ τῶν πολλῶν φήμῃ μετριάζειν περὶ τὰς σωματικὰς ἡδονάς. »

16.

[ΒΙΟΣ ΞΕΝΟΦΙΛΟΥ].

Lucian. Longæv. c. 18, p. 642 ed. Did. : Ξενόφιλος ὁ μουσικὸς, ὥς φησιν Ἀριστόξενος, προσσχὼν τῇ Πυθαγόρου φιλοσοφίᾳ ὑπὲρ τὰ πέντε καὶ ἑκατὸν ἔτη Ἀθήνησι ἐβίωσε.

Valerius Max. VIII, 13, 3 : *Biennio minor* (Gorgia Leontino) *Xenophilus Chalcidensis Pythagoricus, sed felicitate non inferior. Siquidem, ut Aristoxenus musicus ait, omnis humani incommodi expers in summo perfectissimæ splendore doctrinæ exstinctus est.* Cf. Plinius H. N. VII, 50 : *Xenophilum musicum centum et quinque annis vixisse sine ullo corporis incommodo.* — Xenophili vitam conscripsisse Aristoxenum probabiliter statuit Jonsius.

His subjicio quæ ap. Stobæum et Damascium afferuntur ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων. Quæ num peculiare opus constituerint, an Vitis Pythagoræorum junctæ et intextæ fuerint, non satis liquet. Illud esse verius videtur Mahnio conjicienti ad Aristoxeni opus respicere Iamblichum V. P. § 101, ubi ait : Παραδίδοται δὲ καὶ ἄλλος τρόπος παιδεύσεως διὰ τῶν Πυθαγορικῶν ἀποφάσεων. Quo ex loco nego colligi quidquam posse.

17.

ΠΥΘΑΓΟΡΙΚΑΙ ΑΠΟΦΑΣΕΙΣ.

Stobæus Florileg. X, 67 : Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων. — Περὶ δὲ ἐπιθυμίας τάδ' ἔλεγεν· Εἶναι τὸ πάθος τοῦτο ποικίλον καὶ πολύπονον καὶ πολυειδέστατον· εἶναι δὲ τῶν ἐπιθυμιῶν τὰς μὲν ἐπικτήτους τε καὶ παρασκευαστὰς, τὰς δὲ συμφύτους·

---

plurimæ sint in promptu et exquisitissimæ voluptates. Ab illo vero secundum, ait, nostrum tyrannum non immerito quivis judicaverit, quamquam longe inferiorem. Illi namque ab Asia tota suppeditantur quæ opus sunt : quod autem Dionysio suppetit, si cum illo comparetur, exiguum ac vile prorsus videtur. Illam ergo vitam inprimis esse optabilem, liquet ex iis quæ acciderunt. Etenim Syris maximo cum periculo Medi regnum ademerunt, non alia de caussa, quam ut illorum opibus et fortunis potirentur. Persæ Medis regnum eripuerunt eodem plane consilio; nempe ut corporis voluptatibus fruerentur. At legislatores quum mortalium sortem æquare vellent, et luxui nullum e civibus indulgere, effecerunt ut virtutis species emergeret, legesque promulgarunt de rebus contrahendis, et aliis quæcunque ad civilem societatem necessaria sunt arbitrati, quinetiam de vestitu et reliquo toto victu, ut esset inter omnes æquabilis. Quum igitur adversus impotentiam hominum qui per vim et fraudes plura quam alii præter jus possidere obnituntur, legislatores bellum gererent, primum quidem justitiæ laus est amplificata, et celebravit poeta quispiam *auream Justitiæ faciem* : ac rursus, *aureum Justitiæ oculum* : deorumque numero ascriptum est Justitiæ nomen : et Justitiæ quidam aris exstructis divinam rem fecerunt : deinde Temperantiam et Continentiam invexerunt, et eos qui essent fruendis voluptatibus nimii, sibi justo plura vindicare et usurpare dixerunt. Ita factum est ut qui legibus vulgique opinioni obsequeretur, modum teneret in corporearum fruitione voluptatum.

[VITA XENOPHILI.]

16.

Xenophilus musicus, ut ait Aristoxenus, Pythagoricæ philosophiæ deditus, supra quinque et centum annos Athenis vixit.

PYTHAGOREORUM SENTENTIÆ.

17.

De concupiscentia autem hæc dicebat : Affectionem hanc variam esse, laboriosam et multiformem maxime. Cupiditatum autem alias esse accessorias atque ascititias, alias vero connatas. At ipsam cupiditatem definiebat esse impe-

αὐτὴν μέντοι τὴν ἐπιθυμίαν, ἐπιφοράν τινα τῆς ψυχῆς καὶ ὁρμὴν, καὶ ὄρεξιν εἶναι πληρώσεως ἢ παρουσίας αἰσθήσεως, ἢ κενώσεως καὶ ἀπουσίας, καὶ τοῦ μὴ αἰσθάνεσθαι. Ἐπιθυμίας δὲ ἡμαρτημένης τε καὶ φαύλης τρία εἶναι εἴδη τὰ γνωριμώτατα (ἤδη τὰ γνωρίσματα cod. Par. A., ad marg.), ἀσχημοσύνην, ἀσυμμετρίαν, ἀκαιρίαν· ἢ γὰρ αὐτόθεν εἶναι τὴν ἐπιθυμίαν ἀσχήμονά τε καὶ φορτικὴν καὶ ἀνελεύθερον· ἢ τοῦτο μὲν οὔ, σφοδρότερον δὲ καὶ χρονιώτερον τοῦ προσήκοντος· ἢ τρίτον πρὸς ταῦτα, ὅτε οὐ δεῖ, καὶ πρὸς ἃ οὐ δεῖ.

Locum in sua transtulit Iamblich. V. P. § 205, suppresso nomine auctoris.

17 a.

Stobæus Florileg. V, 70 : Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικῶν ἀποφάσεων. — Τὴν ἀληθῆ φιλοκαλίαν ἐν τοῖς ἐπιτηδεύμασι καὶ ἐν ταῖς ἐπιστήμαις ἔλεγεν εἶναι· τὸ γὰρ ἀγαπᾶν καὶ στέργειν τῶν καλῶν ἐθῶν τε καὶ ἐπιτηδευμάτων ὑπάρχει, ὡσαύτως δὲ καὶ τῶν ἐπιστημῶν τε καὶ ἐμπειριῶν τὰς καλὰς καὶ εὐσχήμονας ἀληθῶς εἶναι φιλοκάλους· τὴν δὲ λεγομένην ὑπὸ τῶν πολλῶν φιλοκαλίαν, οἷον τοῖς ἀναγκαίοις καὶ χρησίμοις πρὸς τὸν βίον γινομένην, λάφυρά που τῆς ἀληθινῆς κεῖσθαι φιλοκαλίας.

18.

Idem ibid. XLIII, 49, ex eodem libro : Καθόλου δὲ ᾤοντο δεῖν ὑπολαμβάνειν μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας· οὐ γὰρ πεφυκέναι τὸν ἄνθρωπον διασώζεσθαι μηδενὸς ἐπιστατοῦντος. Περὶ δὲ ἀρχόντων καὶ ἀρχομένων οὕτως ἐφρόνουν· τοὺς μὲν γὰρ ἄρχοντας ἔφασκον οὐ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ φιλανθρώπους δεῖν εἶναι, καὶ τοὺς ἀρχομένους οὐ μόνον πειθηνίους, ἀλλὰ καὶ φιλάρχοντας. Ἐπιμελητέον δὲ πάσης ἡλικίας ἡγοῦντο, καὶ τοὺς μὲν παῖδας ἐν γράμμασι καὶ τοῖς ἄλλοις μαθήμασιν ἀσκεῖσθαι· τοὺς δὲ νεανίσκους τοῖς τῆς πόλεως ἔθεσί τε καὶ νόμοις γυμνάζεσθαι· τοὺς δὲ ἄνδρας ταῖς πράξεσί τε καὶ δημοσίαις λειτουργίαις προσέχειν· τοὺς δὲ πρεσβύτας ἐνθυμήσεσι καὶ κριτηρίοις καὶ συμβουλίαις δεῖν ἐναναστρέφεσθαι μετὰ πάσης ἐπιστήμης ὑπελάμβανον, ὅπως μήτε οἱ παῖδες νηπιάζοιεν, μήτε οἱ νεανίσκοι παιδαριεύοιντο, μήτε οἱ γέροντες παραφρονοῖεν. Δεῖν δὲ ἔφασκον εὐθὺς ἐκ παίδων καὶ τὴν τροφὴν τεταγμένως προσφέρεσθαι, διδάσκοντες (sic Gesn.; libri διδάσκουσαν) ὡς ἡ μὲν τάξις καὶ συμμετρία καλὴ καὶ σύμφορος, ἡ δ' ἀταξία καὶ ἀσυμμετρία αἰσχρά τε καὶ ἀσύμφορος. Cf. Iamblich. l. l. § 175, 201, 203.

19.

Idem ibid. LXXIX, 45 : Μετὰ τὸ θεῖον καὶ δαιμόνιον πλεῖστον ποιεῖσθαι λόγον γονέων τε καὶ νόμων, μὴ πλαστῶς, ἀλλὰ πεπιστευμένως ἑαυτὸν πρὸς ταῦτα παρασκευάζοντα. Τὸ μένειν τοῖς πατρίοις ἔθεσί τε καὶ νόμοις ἐδοκίμαζον, εἰ καὶ μικρῷ χείρω τῶν ἑτέρων εἴη.

« Huic Aristoxeni loco in collat. Grot. subjecti sunt tres alii cum inscriptione τοῦ αὐτοῦ, id est Aristoxeni... Monendum est hæc omnia non esse Aristoxeni, sed librarii errore ipsi ascripta, quippe Stobæus ea sumpsit ex Platonis libro IX Legg. p. 930, E, et 931, E ed. Steph. » Mahne.

20.

Idem ibid. CI, 4 : Περὶ δὲ γενέσεως παίδων τάδε ἔλεγε· Καθόλου μὲν φυλάττεσθαι τὸ καλούμενον πρόφερές· οὔτε γὰρ τῶν φυτῶν, οὔτε τῶν ζῴων εὔκαρπα τὰ προφερῆ γίγνεσθαι, ἀλλὰ χρόνον τινὰ προπαρασκευάζεσθαι τῆς καρποφορίας, ἐν ᾧ ἐξισχύσαντα καὶ τετελειωμένα τὰ σώματα παρέχειν τά τε σπέρματα καὶ τοὺς καρποὺς δεδύνηται. Πολλὰ δὲ εἶναι ἐν τῷ [βίῳ] ἐν οἷς ἡ ὀψιμαθία ἐστὶ βελτίων, οἷον καὶ τὸ τοῦ ἀφροδι-

---

tum quendam animæ et motum et appetitionem repletionis et inanitionis, vel sensilis alicujus præsentiæ absentiæve, vel ipsius sensus privationis. Porro depravatæ et malæ cupiditatis tria genera præcipua faciebat, Indecorum, Immoderatum, Intempestivum. Aut enim per se statim indecentem esse cupiditatem, odiosam et illiberalem: aut non quidem simpliciter culpandam, sed vehementiorem diuturnioremque justo esse; aut quo tempore et ad quæ non convenit.

18.

Omnino autem existimandum putabant, nihil tam esse malum, quam est inobedientia. Homines enim incolumes servari non posse, ubi nemo præest. De magistratu vero et subjectis ita sentiebant : magistratus quidem dicebant non oportere tantum prudentes esse, verum etiam benignos : subditos vero non morigeros tantum, sed amantes quoque magistratuum. Præterea singularum ætatum curam habendam esse censebant, ita ut pueri quidem in literis aliisque disciplinis exercerentur ; juvenes vero civitatis morum et legum diligenter essent studiosi ; viri actionibus publicisque muneribus se darent ; senes autem in meditationibus, judiciis et consiliis prudentissime versarentur. Sic enim futurum ut pueri non haberent mores infantium, neque puerile juvenes, neque juvenile viri retinerent ingenium : nec denique senes desiperent. Ad hæc, assuescendum aiebant, ut statim a pueris alimenta certo ordine modoque sumerentur, docentes ordinem atque modum ubique decorum et utilitatem afferre : contraria autem, ut turpia, sic noxia quoque esse.

19.

Post deorum numina plurimi facere oportet parentes et leges, non simulate sed fideliter se ipsis accommodantem in patriis consuetudinibus et legibus perseverando, licet paullo deteriores aliis fuerint.

20.

De generatione liberorum hæcce dicebat : Omnino cavendum esse quod dicitur præcox. Nam neque in plantis, neque in animalibus, quæ præcocia sunt, fieri fœcunda : sed certo tempore, antequam fructus ferant, debere præparari, ut corpora ipsorum roborata atque perfecta fiant, et semina fructusque proferre possint. Multa etiam occur-

σιάζειν πρᾶγμα. Δεῖν οὖν ἔτι παῖδας οὕτως ἄγεσθαι διὰ τῶν ἀσκήματων ἀσχόλους, ὥστε μὴ μόνον μὴ ζητεῖν, ἀλλ' εἰ δυνατὸν μηδὲ εἰδέναι τὴν τοιαύτην συνουσίαν ἐντὸς τῶν εἴχοσιν ἐτῶν. Ὅταν δὲ καὶ εἰς τοῦτο ἀφίκηται, σπανίοις εἶναι χρηστέον τοῖς ἀφροδισίοις· τοῦτο γὰρ πρός τε τὴν τῶν γεννώντων καὶ γεννησομένων εὐεξίαν πολὺ συμβάλλεσθαι. Ἔλεγε δὲ καὶ μήτε τρυφῆς μήτε μέθης πλήρη ταῖς γυναιξὶν εἰς τὸ γεννᾶν ὁμιλεῖν· οὐ γὰρ οἴεσθαι ἐκ φαύλης καὶ ἀσυμφώνου καὶ ταραχώδους κράσεως εὔρυθμα καὶ καλὰ, ἀλλ' οὐδὲ ἀγαθὰ τὴν ἀρχὴν γίγνεσθαι.

21.

Stobæus Ecl. Phys. I, 7, 18 ed. Heeren. : Περὶ δὲ τύχης τάδ' ἔφασχον, εἶναι μέντοι (μέν τι **mavult Wyttenb.**) καὶ δαιμόνιον μέρος αὐτῆς· γενέσθαι γὰρ ἐπίπνοιάν τινα παρὰ τοῦ δαιμονίου τῶν ἀνθρώπων ἐνίοις ἐπὶ τὸ βέλτιον ἢ ἐπὶ τὸ χεῖρον, καὶ εἶναι φανερῶς κατ' αὐτὸ τοῦτο τοὺς μὲν εὐτυχεῖς, τοὺς δ' ἀτυχεῖς. Καταφανέστατον δὲ εἶναι τοῦτο, τοὺς μὲν ἀπροβουλεύτως καὶ εἰκῆ τι πράττοντας πολλάκις κατατυχεῖν· τοὺς δὲ προβουλευομένους καὶ προνοουμένους ὀρθῶς τι πράττειν, ἀποτυγχάνειν. Εἶναι δ' ἕτερον τύχης εἶδος, καθ' ὃ οἱ μὲν εὐφυεῖς καὶ εὔστοχοι, οἱ δὲ ἀφυεῖς τε καὶ ἐναντίαν ἔχοντες φύσιν βλάστοιεν, ὧν οἱ μὲν εὐθύβολοι εἶεν, ἐφ' ὅ τι ἂν ἐπιβάλλωνται, οἱ δὲ ἀποπίπτοιεν τοῦ σκοποῦ, μηδέποτε τῆς διανοίας αὐτῶν εὐστόχως φερομένης, ἀλλὰ καὶ ταρασσομένης. Ταύτην δὲ τὴν ἀτυχίαν σύμφυτον εἶναι, καὶ οὐκ ἐπείσακτον.

22.

Joann. Damascius in Append. ad Stob. Floril. ed. Gsfd. p. 46 : Ἔφασχον δὲ καὶ τὰς μαθήσεις πάσας τῶν τε ἐπιστημῶν καὶ τῶν τεχνῶν, τὰς μὲν ἑκουσίους ὀρθάς τε εἶναι καὶ εἰς τέλος ἀφικνεῖσθαι, τὰς δὲ ἀκουσίους φαύλους τε καὶ ἀτελεῖς γίνεσθαι. **Cf. Iambl. § 183.**

23.

Theolog. arithm. p. 40 Ast. : Ἀνδροκύδης τε ὁ Πυθαγορικὸς ὁ περὶ τῶν συμβόλων γράψας, καὶ Εὐβουλίδης ὁ Πυθαγορικὸς, καὶ Ἀριστόξενος καὶ Ἱππόβοτος καὶ Νεάνθης, οἱ τὰ κατὰ τὸν ἄνδρα ἀναγράψαντες, σις' ἔτεσι τὰς μετεμψυχώσεις τὰς συμβεβηκυίας ἔφασαν γεγονέναι. Μετὰ τοσαῦτα γοῦν ἔτη εἰς παλιγγενεσίαν ἐλθεῖν Πυθαγόραν, καὶ ἀναζῆσαι, ὡσανεὶ μετὰ τὴν πρώτην ἀνακύκλωσιν καὶ ἐπάνοδον τοῦ ἀπὸ ἒξ ψυχογονικοῦ κύβου, τοῦ δὲ αὐτοῦ καὶ ἀποκαταστατικοῦ διὰ τὸ σφαιρικόν· ὡς δὲ καὶ ἄλλο (ὥστε καλῶς **Wyttenb.**) διὰ τούτων ἀνάζησιν ἔσχε· ᾧ καὶ συμφωνεῖ τὸ Εὐφόρβου τὴν ψυχὴν ἐσχηκέναι, κατά γε τοὺς χρόνους· φ'. γὰρ καὶ ιδ' ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωϊκῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἁρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκαεῖς φυγόντες Μασσαλίαν ᾤκησαν· πᾶσι γὰρ τούτοις ὁμόχρονος ὁ Πυθαγόρας. Ὑπὸ Καμβύσου γοῦν ἱστορεῖται Αἴγυπτον ἑλόντος συνηχμαλωτίσθαι ἐκεῖ συνδιατρίβων τοῖς ἱερεῦσι, καὶ εἰς Βαβυλῶνα μετελθὼν τὰς βαρβα-

---

rere, quæ serius discere præstet, inter quæ sit etiam rei venereæ usus. Oportere itaque pueros educari sic, ut variis exercitiis occupati sint, atque venerem non modo non quærant, sed, si fieri possit, intra vicesimum annum prorsus ignorent; postquam vero ad id ætatis pervenerint, raro ei rei tamen operam dent. Nam id quum ad parentum, tum ad generandæ prolis bonum habitum plurimum conferre. Præterea jubebat, ne quis plenus deliciis aut ebrietate operam procreationi liberorum daret; quippe quod ex prava, inconcinna et turbulenta mixtione, non modo non egregia et concinna soboles, sed ne a principio quidem ullo pacto bona fieret.

21.

De fortuna statuerunt Pythagorei, partem quidem ejus aliquam esse divinam : afflari autem a deo quosdam vel boni vel mali caussa; eamque ob caussam alios felices, alios infelices esse. Manifestissimum enim hoc esse, alios nimirum temere aliquid et sine consilio agentes optatum sæpe finem consequi; alios rursum consilio et prudentia utentes, ut recte quid fiat frustra laborare. Esse præterea aliud genus fortunæ, quo alii apti et alacres ad omnia, alii contra inepti nascantur; quorum illis bene procederet quidquid susciperent, hos aberrare a scopo, intellectu eorum perturbato, ne recto unquam cursu feratur. Hanc vero infelicitatem cognatam esse, non extrinsecus allatam.

22.

Dicebant vero etiam omnes disciplinas cujuscunque scientiæ et artis, spontaneas quidem rectas suisque numeris fieri absolutas; invitas autem, viles atque imperfectas.

23.

Androcydes Pythagoricus, qui de horum symbolis s. sententiarum formulis scripsit, item Eubulides Pythagoricus, Aristoxenus, Hippobotus, Neanthes, qui res Pythagoræ literis mandarunt : hi igitur prodiderunt, migrationes in alia deinceps corpora animo Pythagoræ obtigisse per ducentos et sedecim annos : post tot annorum intervallum eum in generationem rediisse ac revixisse, tamquam post primam conversionem ac reditum cubi e senario numero facti, et in animorum generatione celebrati, ejusdemque ad instaurationem efficacis propter naturam sphæricam : quare recte id ei obtigisse ut per tot annorum intervalla revivisceret. Ostendit hoc etiam cum temporum rationibus congruentia, quod Euphorbi animam habuit. Nam quingenti et quattuordecim circiter anni numerantur a Trojano bello ad Xenophanis physici, Anacreontis et Polycratis ætatem : quo tempore Iones Persis subjecti sunt ab Harpago et Phocæenses profugi Massiliam condidere. His enim omnibus rebus æqualis fuit Pythagoras. Fertur enim degens in Ægypto cum sacerdotibus simul in captivitatem redactus a Cambyse, et Babylonem abductus barbarorum sacris initiatus esse. At Cambyses fuit ætate Polycratis, cujus tyrannidem fugiens Pythagoras, relicta Samo, Ægyptum petiit. Dempto igitur bis illo circuitu animi migrantis, id est,

ρικὰς τελετὰς μυηθῆναι· ὅτε (l. ὁ δὲ) Καμβύσης τῇ Πολυκράτους [μέχρι] τυραννίδι συνεχρόνει, ἣν φεύγων εἰς Αἴγυπτον μετῆλθεν. Δὶς οὖν ἀφαιρεθείσης τῆς περιόδου, τουτέστι δὶς τῶν σιϛ' ἐτῶν, λοιπὰ γίνεται τὰ τοῦ βίου αὐτοῦ πβ'.

Æra Trojana, quæ subest his calculis, ex vett. systemate chronologico incidisse debet in an. 1028 (= 4×63 a. Olymp. 1) — 1018. Itaque natus Pythagoras 596 vel 586 ante Christ. Posterior annus quadrat cum computo Eratosthenis, cujus vid. fr. 8, cum nota Bernhardyi.

24.

Marcian. Capella IX, p. 177 ed. Meib. : *Pythagorei etiam docuerunt ferociam animi tibiis aut fidibus mollientes, cum corporibus adhærere nexum fœdus animarum. Membris quoque latentes inter-serere numeros non contempsi. Hoc etiam Aristoxenus Pythagorasque testantur.* Rem tetigisse saltem in Pythag. placitis Aristoxenum consentaneum; eadem aliis locis iterum et sæpius exposuerit.

Crameri Anecd. Parisin. I, p. 172 : Ὅτι οἱ Πυθαγορικοὶ, ὡς ἔφη Ἀριστόξενος, καθάρσει ἐχρῶντο τοῦ μὲν σώματος διὰ τῆς ἰατρικῆς, τῆς δὲ ψυχῆς διὰ τῆς μουσικῆς. (In iisdem Anecdotis, I, p. 56 fragmentum est de septemdecim modis musicis, quos Aristoxenus distinxerit.) — De Hippone, quem Pythagoreis annumerare licet, vid. fr. 38.

ΒΙΟΣ ΣΩΚΡΑΤΟΥΣ.

25.

Diogen. Laert. II, 19 : Ἀκούσας δὲ (Σωκράτης) Ἀναξαγόρου, κατὰ τινὰς, μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ· οὗ καὶ παιδικὰ γενέσθαι φησὶν Ἀριστόξενος.

Suidas v. Σωκράτης : Ἀριστόξενος δ' Ἀρχελάου πρῶτον αὐτὸν διακοῦσαι λέγει· γεγονέναι δ' αὐτοῦ καὶ παιδικά· σφοδρότατόν τε περὶ τὰ ἀφροδίσια, ἀλλ' ἀδικήματος χωρὶς, ὡς Πορφύριος ἐν τῇ Φιλοσόφῳ Ἱστορίᾳ φησίν.

26.

Diog. L. II, 20 : Φησὶ δ' αὐτὸν Ἀριστόξενος ὁ Σπινθάρου καὶ χρηματίσασθαι· τιθέντα γοῦν τὸ βαλλόμενον κέρμα ἀθροίζειν, εἶτ' ἀναλώσαντα πάλιν τιθέναι.

27.

Plutarch. De malign. Her. p. 856, C : Ὡς ἐπὶ Σωκράτους Ἀριστόξενος, ἀπαίδευτον καὶ ἀμαθῆ καὶ ἀκόλαστον εἰπὼν, ἐπήνεγκεν, ἀδικία δ' οὐ προσῆν.

Theodor. Θεραπ. XII, p. 673, A : Καὶ ὁ Πορφύριος δὲ τὴν Φιλόσοφον Ἱστορίαν συγγράψας, πρῶτον μὲν αὐτὸν ἀκρόχολον καὶ εὐόργητον εἴρηκε γεγενῆσθαι, Ἀριστοξένῳ μάρτυρι κεχρημένος, τὸν Σωκράτους βίον ξυγγεγραφότι.

Synesius Encom. Calvit. p. 81 : Ἐπεί τοι καὶ Σωκράτην αὐτὰ ταυτά φησιν Ἀριστόξενος, ὡς φύσει γέγονε τραχὺς εἰς ὀργὴν, καὶ ὁπότε κρατηθείη τῷ πάθει, διὰ πάσης ἀσχημοσύνης ἐβάδιζεν.

28.

Cyrillus C. Jul. lib. VI, p. 208, ex Porphyrio : Φέρε γὰρ ἴδωμεν καὶ πρό γε τῶν ἄλλων ὁποῖος ἦν ὁ διαβόητος παρ' αὐτοῖς Σωκράτης· καὶ ἀπιστήσειε μὲν ἴσως ἁπαστισοῦν τοῖς περὶ τούτου λόγοις· οὐ μὴν ἔτι καὶ τοῖς Πορφυρίου γράμμασιν ἀντερεῖ, ὃς τὸν ἑκάστου τῶν ἀρχαιοτέρων ἀπεσημήνατο βίον· σκοπὸς γὰρ οὗτος γέγονεν αὐτῷ, καὶ πολλῆς ἠξίωσε τὸ χρῆμα σπουδῆς. Ἔφη τοίνυν ὡδὶ περὶ αὐτοῦ. Λέγει δὲ ὁ Ἀριστόξενος ἀφηγούμενος τὸν βίον τοῦ Σωκράτους, ἀκηκοέναι Σπινθάρου τὰ περὶ αὐτοῦ, ὃς ἦν εἷς τῶν τούτῳ ἐντυχόντων· τοῦτον λέγειν, ὅτι οὐ πολλοῖς αὐτός γε πιθανωτέροις ἐντετυχηκὼς εἴη· τοιαύτην εἶναι τήν τε φωνὴν καὶ τὸ στόμα καὶ τὸ ἐπιφαινόμενον ἦθος, καὶ πρὸς πᾶσι δὲ τοῖς εἰρημένοις τὴν τοῦ εἴδους ἰδιότητα· γίνεσθαι δέ που τοῦτο, ὅτε μὴ ὀργίζοιτο, ὅτε δὲ φλεχθείη ὑπὸ τοῦ πάθους τούτου, δεινὴν εἶναι τὴν ἀσχημοσύνην· οὐδενὸς γὰρ οὔτε ὀνόματος ἀποσχέσθαι, οὔτε πράγματος.

---

bis numero ducentorum et sedecim annorum, reliqua est summa annorum vitæ illius viri duorum supra octogenos.

VITA SOCRATIS.

25.

Aristoxenus dicit Socratem primum audiisse Achelaum ipsique in deliciis fuisse : et libidine venerea maxime flagrasse, sed sine injuria, ut ait Porphyrius in Historia philosophica.

26.

Aristoxenus Spinthari filius Socratem dicit etiam rem pecuniariam fecisse : posita enim fœnori pecunia nummulos collegisse : mox his consumtis (?) iterum sortem posuisse.

27.

Ut Aristoxenus, qui quum Socratem ineruditum, inscium, libidinosum dixisset, addit, Injustitia tamen aberat.

Præsertim quum eadem de Socrate dixerit Aristoxenus, natura illum ad iracundiam fuisse incitatiori, quæ simul atque eum invasisset, indecore prorsus sese gessisse.

28.

Videamus ergo qualis præ ceteris celeber ille Socrates fuerit. Nec forte temere quis fidem omnibus adhibebit, quæ de illo narrantur. Porphyrii tamen scriptis contradicere non poterunt, qui de antiquorum vitis singillatim exposuit, atque eum in finem studii quamplurimum impendit. Is igitur hæc de eo refert. Aristoxenus, dum Socratis vitam narrat, ait sese Spintharum Socratis familiarem audivisse affirmantem, quod in nullum unquam incidisset, cui major fuerit vis persuadendi, et ad hoc vocem et vultum moresque ejus fuisse compositos, et gestus singulis dictis accommodatos. Atque talem eum fuisse ait quum non irasceretur;

Idem ibid. paullo post : Ἐν δὲ τοῖς περὶ τὸν βίον τὰ μὲν ἄλλα εὔκολον, καὶ μικρᾶς δεόμενον παρασκευῆς εἰς τὰ καθ' ἡμέραν γεγενῆσθαι· πρὸς δὲ τὴν τῶν ἀφροδισίων χρῆσιν σφοδρότερον μὲν εἶναι, ἀδικίαν δὲ μὴ προσεῖναι· ἢ γὰρ ταῖς γαμεταῖς ἢ ταῖς κοιναῖς χρῆσθαι μόναις.

29.

Plutarch. Aristid. c. 27 : Δημήτριος ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον) ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν.

30.

Athenæus XIII, p. 555, D : Ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτὼ, οὐ τοῦ Δικαίου καλουμένου (οἱ γὰρ χρόνοι οὐ συγχωροῦσιν), ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου· εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεὺς, Σάτυρος ὁ Περιπατητικὸς, Ἀριστόξενος· οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν, ἱστορῶν τοῦτο ἐν τῷ Περὶ εὐγενείας· εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ' ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον· ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας· παρέθετο δὲ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος· ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

« Monendum est Athenæum sua e Plutarcho hausisse, quem nonnunquam suppresso nomine describit, cujus rei hoc quoque loco habemus indicium, quod de re aliena Plutarchus l. c. Callisthenem (fr. 16) laudat; cujus nomen Athenæus e propinquo arripuit, et cum Demetrio Phalereo ceterisque conjunxit. » MAHNE. — Cf. Diog. L. II, 26 et Porphyr. l. l. Diogenes Myrto filiam Aristidis Justi dicit, nisi forte menda est librariorum. Omnem hunc locum uberrime tractat Lucazius in libro De bigamia Socratis p. 54 sqq.

31.

Euseb. Pr. Ev. XI, 3, ex Aristoclis opere de philos. Platonica : Nisi divina, ait, prius perspecta et cognita habeamus, prævideri a nobis humana non possunt. Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς Ἰνδῶν εἶναι τὸν λόγον τοῦτον· Ἀθήνησι γὰρ ἐντυχεῖν Σωκράτει τῶν ἀνδρῶν ἐκείνων ἕνα τινὰ, κἄπειτα αὐτοῦ πυνθάνεσθαι, τί ποιῶν φιλοσοφοίη· τοῦ δ' εἰπόντος, ὅτι ζητῶν περὶ τοῦ ἀνθρωπίνου βίου, καταγελάσαι τὸν Ἰνδὸν, λέγοντα μὴ δύνασθαί τινα τὰ ἀνθρώπινα κατιδεῖν ἀγνοοῦντά γε τὰ θεῖα.

31 a.

Schol. in Platon. Apolog. p. 330 ed. Bekk. : Οὗτος ὁ Ἄνυτος Ἀνθεμίωνος ἦν υἱὸς, Ἀθηναῖος γένος, Ἀλκιβιάδου ἐραστὴς, πλούσιος ἐξ βυρσοδεψικῆς· ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σωκράτους διὰ τοῦτο..... ἔπεισε μισθῷ Μέλητον ἀσεβείας γραφὴν δοῦναι κατὰ Σωκράτους. Μέμνηται Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ καὶ Ξενοφῶν ὁμοίως καὶ Ἀριστόξενος ἐν τῷ Σωκράτους βίῳ.

---

sed hoc affectu succensum nullum omnino servasse decorem, nec ab ulla tum voce vel facto abstinuisse.

In reliqua omni vita eum frugi fuisse nec magno apparatu in diem vixisse; in rebus autem venereis vehementiorem quidem fuisse, abstinuisse tamen ab omni injuria, quod vel uxoribus vel prostitutis tantum uteretur.

29.

Demetrius Phalereus, Hieronymus Rhodius, Aristoxenus musicus et Aristoteles (si modo liber De nobilitate inter germanos est Aristotelis libros recensendus) Myrto tradunt Aristidis ex filia neptim a Socrate illo sapiente domum acceptam; habuisse quidem illum aliam uxorem, verum eum hanc ob inopiam viduam et omnium rerum egenam recepisse. Ceterum refellit hæc abunde Panætius in libris quos de Socrate scripsit.

30.

His positis non injuria quispiam arguat eos qui uxores duas Socratem habuisse prodiderunt, Xanthippen nimirum et Myrto, Aristidis, non cognomento Justi filiam (repugnant enim tempora), sed ejus qui ab ipso tertius est. Auctores ejus rei sunt Callisthenes, Demetrius Phalereus, Satyrus Peripateticus, Aristoxenus : quibus ad id scribendum ansam dedit Aristoteles, qui libro De nobilitate literis id mandavit : nisi fortasse plebiscito fuerit tum concessum ob civium raritatem, volentibus uxores habere duas ut liceret; ideoque prætermissum id a comicis fuisse, quamvis Socratis crebro meminerint. De uxoribus Hieronymus Rhodius plebiscitum ascripsit. Iis qui de duabus Socratis uxoribus scripserunt, contradixit Panætius Rhodius.

31.

Hanc Indorum esse rationem Aristoxenus musicus testatur. Quippe unum ex ea natione aliquem Athenis congressum esse cum Socrate, ex eoque sciscitatum, quanam in actione philosophia ejus versaretur. Quo respondente, in humanæ vitæ rationibus exquirendis eum occupari : tum vero risisse Indum, quum negaret humana quemquam prævidere posse, qui divinorum ignoratione laboraret.

31 a.

Anytus hic Anthemionis erat filius, genere Atheniensis, Alcibiadis amasius, ex coriorum fabricatione dives. Quam ob rem quum Socrates cavillans ei irrisisset, mercede Meletum adduxit, ut impietatis actionem contra Socratem institueret. Meminit hujus Lysias in Socratis Apologia, sicuti etiam Xenophon, et in Vita Socratis Aristoxenus.

ΒΙΟΣ ΠΛΑΤΩΝΟΣ.

32.

Diog. L. III, 8 : Καὶ αὐτὸν (τὸν Πλάτωνά) φησι Ἀριστόξενος τρὶς ἐστρατεῦσθαι· ἅπαξ μὲν εἰς Τάναγραν, δεύτερον δ' εἰς Κόρινθον, τρίτον ἐπὶ Δηλίῳ· ἔνθα καὶ ἀριστεῦσαι. Cf. Ælian. V. H. VII, 14 ibique Perizon.

33.

Diog. L. III, 37 : Ἣν Πολιτείαν Ἀριστόξενός φησι πᾶσαν σχεδὸν ἐν τοῖς Πρωταγόρου γεγράφθαι ἀντιλογικοῖς. Idem § 57 narrat ex Favorino, qui Aristoxenum laudaverit ab ipso Diogene vix inspectum.

33.

Diog. L. V, 35, varios Aristotelis nomine recensens : Ἕβδομος παιδοτρίβης, οὗ μέμνηται Ἀριστόξενος ἐν τῷ Πλάτωνος βίῳ.

35.

Euseb. Pr. Ev. XV, c. 2, ex Aristoclis libr. VII de Philos. Platonica : Τίς δ' ἂν πεισθείη τοῖς ὑπ' Ἀριστοξένου ἐν τῷ βίῳ τοῦ Πλάτωνος; ἐν γὰρ τῇ πλάνῃ καὶ τῇ ἀποδημίᾳ, φησὶν, ἐπανίστασθαι καὶ ἀντοικοδομεῖν αὐτῷ τινὰς Περίπατον ξένους ὄντας. Οἴονται οὖν ἔνιοι ταῦτα περὶ Ἀριστοτέλους λέγειν αὐτὸν, Ἀριστοξένου διὰ παντὸς εὐφημοῦντος Ἀριστοτέλην.

Ad Vitam Platonis ab Aristoxeno descriptam ludens respicit Lucian. De parasito c. 35 (p. 542 ed. Didot.) : Ὁ δὲ Πλάτων, ait, ὀλίγας παρασιτήσας ἡμέρας τῷ τυράννῳ (Διονυσίῳ) τοῦ παρασιτεῖν ὑπὸ ἀφυίας ἐξέπεσε, καὶ πάλιν Ἀθήναζε ἀφικόμενος καὶ φιλοπονήσας καὶ παρασκευάσας ἑαυτὸν αὖθις δευτέρῳ στόλῳ ἐπέπλευσε τῇ Σικελίᾳ καὶ δειπνήσας πάλιν ὀλίγας ἡμέρας ὑπὸ ἀμαθίας ἐξέπεσε· καὶ αὕτη ἡ συμφορὰ Πλάτωνι περὶ Σικελίαν ὁμοία δοκεῖ γενέσθαι τῇ Νικίου. ΤΥΧ. Καὶ τίς, ὦ Σίμων, περὶ τούτου λέγει; ΠΑΡΑΣ. Πολλοὶ μὲν καὶ ἄλλοι, Ἀριστόξενος δὲ ὁ μουσικὸς, πολλοῦ λόγου ἄξιος.

ΒΙΟΣ ΤΕΛΕΣΤΟΥ.

36.

Apollonius Hist. Mirab. c. 40 : Ἀριστόξενος ὁ μουσικὸς ἐν τῷ Τελέστου βίῳ φησὶν, ὥσπερ ἐν Ἰταλίᾳ συνεχύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη, ὧν ἓν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον· ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνίοτε καθημένας καὶ δειπνούσας ὡς καλοῦντος τινὸς ὑπακούειν, εἶτα ἐκπηδᾶν ἀκατασχέτους γιγνομένας, καὶ τρέχειν ἐκτὸς τῆς πόλεως. Μαντευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις περὶ τῆς ἀπαλλαγῆς τοῦ πάθους, εἰπεῖν τὸν θεὸν, Παιᾶνας ᾄδειν ἐαρινοὺς [δωδεκατης] ἡμέρας ξ'. Ὅθεν πολλοὺς γενέσθαι Παιανογράφους ἐν τῇ Ἰταλίᾳ. Vox δωδεκατης (sic absque accentu codex) corrupta; mendum etiam signo ad marginem cod. notatur.

Subjungo locos tres, de *Lycurgo*, *Hippone* et *Heraclide Pontico*, quorum vitas Aristoxenus scripsisse videri potest, quamvis idoneis rei indiciis prorsus destituamur.

37.

Plutarch. Lycurg. c. 31, 6 : Τελευτῆσαι τὸν Λυκοῦργον... Τιμαῖος καὶ Ἀριστόξενος (φασὶν) ἐν Κρήτῃ καταβιώσαντα· καὶ τάφον Ἀριστόξενος αὐτοῦ δείκνυσθαί φησιν ὑπὸ Κρητῶν τῆς Περγαμίας περὶ τὴν ξενικὴν ὁδόν.

38.

Censorinus De die nat. c. 5 : *Hipponi vero Metapontino seu, ut Aristoxenus auctor est, Samio, ex medullis profluere semen videtur.*

Samium dicit etiam Iamblich. V. P. p. 216. De Aristoxeno medico cogitari voluit Meursius ad

---

VITA PLATONIS.

32.

Ter Platonem militasse Aristoxenus auctor est, primo in Tanagram, secundo in Corinthum, tertio ad Delium, ubi et eximia fortitudinis exempla ediderit.

33.

Platonis Rempublicam fere totam in Protagoræ Contradictionibus scriptam esse Aristoxenus tradit.

34.

Aristotelis pædotribæ meminit Aristoxenus in Vita Platonis.

35.

Quis fidem habuerit ei, quod Aristoxenus musicus in Platonis vita refert? scilicet dum peregrinaretur abessetque longius Plato, quem vocant Peripatum adversus eum peregrinos homines excitasse. Putant enim nonnulli hæc eum de Aristotele dicere, cujus nunquam Aristoxenus nisi perhonorifice meminit.

VITA TELESTÆ.

36.

Aristoxenus musicus in Vita Telestæ, quicum in Italia vixit, uno eodemque tempore complures contigisse casus refert. Unus mulieribus accidit inusitatus. Tantæ enim apud eas exstiterunt mentis abalienationes, ut aliquando sedentes ac cœnantes, vocantem aliquem se exaudire opinatæ, proripuerint se, neque teneri potuerint, atque extra urbem procurrerint. Locriensibus porro et Rheginis, oraculum hac de re consulentibus, respondisse deum : finem mali futurum, si pæanas deo canerent vernos per dies sexaginta. Itaque inde in Italia multos exstitisse pæanum scriptores.

37.

Lycurgum in Creta diem obiisse dicunt Timæus et Aristoxenus, atque sepulcrum ejus Aristoxenus ait monstrari a Cretensibus Pergamiæ ad viam quæ Peregrina vocatur.

Aristoxen. Harm. Elem. p. 134. Ad musicum verba referunt Jonsius p. 74, Reinesius Var. Lect. p. 485, Mahne p. 115.

39.

Diog. L. V, 92 : Φησὶ δὲ Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν (Heraclidem Ponticum) ποιεῖν, καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν. Quæ referri etiam possunt ad opus περὶ τραγῳδοποιῶν.

ΠΕΡΙ ΤΡΑΓΩΔΟΠΟΙΩΝ.

40.

Ammonius : Ῥύεσθαι καὶ ἐρύεσθαι διαφέρει. Ἀριστόξενος ἐν τῷ πρώτῳ Τραγῳδοποιῶν περὶ νεωτέρων (?) οὕτω φησὶ κατὰ λέξιν· Ῥύεσθαι καὶ ἐρύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα· τὸ μὲν γὰρ ῥύεσθαι ἐκ θανάτου ἕλκειν· τὸ δὲ ἐρύεσθαι, φυλάττειν.

Aliam observationem grammaticam ex Aristoxeno affert Eustath. ad Il. XIII, 359 : πεῖραρ ἐπαλλάξαντες] Ἔστι δὲ τὸ ἐπαλλάξαντες, ἀντὶ τοῦ συνάξαντες, συνδήσαντες, συνάψαντες, ὅθεν, φησὶν ὁ μουσικὸς Ἀριστόξενος, πλεονάζει τῇ τοιαύτῃ λέξει. — Unde collegeris Aristoxenum etiam de Homero scripsisse atque carmina ejus commentariis illustrasse. — Tertium hujus generis fragm. affert Etym. M. : Λιπερνῆτας φησὶν Ἀριστόξενος τοὺς ἁλιεῖς καὶ θαλασσίους ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν. V. Steph. Thes. s. v.

41.

Vita Sophocl. init. p. 126 in Βιογρ. Westerm. : Σοφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλλου, ὃς οὔτε, ὡς Ἀριστόξενός φησι, τέκτων ἢ χαλκεὺς ἦν, οὔτε, ὡς Ἴστρος (fr. 51), μαχαιροποιός.

Ibid. fin : Φησὶ δὲ Ἀριστόξενος ὡς πρῶτος τῶν Ἀθήνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιίαν εἰς τὰ ἴδια ᾄσματα παρέλαβε, καὶ τῷ διθυραμβικῷ τρόπῳ κατέμιξε.

42.

Plutarch. De music. p. 1136, D : Ἀριστόξενος δέ φησι Σαπφὼ πρώτην εὕρασθαι τὴν μιξολυδιστὶ, παρ' ἧς τοὺς τραγῳδοποιοὺς μαθεῖν· λαβόντας γοῦν αὐτοὺς συζεῦξαι τῇ δωριστὶ, ἐπεὶ ἡ μὲν τὸ μεγαλοπρεπὲς καὶ ἀξιωματικὸν ἀποδίδωσιν, ἡ δὲ τὸ παθητικόν· μέμικται δὲ διὰ τούτων τραγῳδία. Ἐν δὲ τοῖς Ἱστορικοῖς τῆς ἁρμονικῆς, Πυθοκλείδην φασὶ (l. φησὶ Mahne) τὸν αὐλητὴν εὑρετὴν αὐτῆς γεγονέναι.

43.

(*) Phaniæ reliquias collegit Voisin., *Diatribe de Phania Eresio*. Gandav. 1824. Cf. Ebert. *Sic*. p. 76; Plehn. *Lesb*. p. 215; Bœckh. *C. I*. II, p. 304. Distinguendi ab Eresio : *Phanias*, *Atheniensis* ut videtur, navarchus ap. Xenophon. Hell. V, 1, 26 (ubi in 3 codd. Φαινίας). Hunc intellexerit Harpocrat. : Φανίας, ὄνομα κύριον, τῶν ἐστρατηγηκότων τις. Ad eundemque referenda videtur oratio Lysiæ ὑπὲρ Φανίου παρανόμων, cujus meminit Athenæus XII, p. 551, D, Cf. Hœlscher. De vit. et script. Lysiæ (Berolin. 1837) p. 176 sq. — *Phanias* quidam sub Antiocho illo, qui philosophos regno suo expulit, ap. Athen. XII, p. 547, A (cf. Schweigh. in Indice s. h. v.). — *Phanias*, *Appii Pulcri libertus*, ap. Cic. Ep. ad Div. II, 13; III, 1. — *Phanias*, medicus haud dubie, ap. Galen. vol. II, p. 795, C. Quæritur num ab Eresio diversus sit *Phanias Physicus*, de quo Plinius H. N. XXII, c. 13 : *Condidit laudes ejus* (urticæ) *Phanias Physicus*; *utilissimam cibis coctam conditamve professus*, *arteriæ*, *tussi*, *ventris destillationi*, *stomacho*, *panis*, *parotidibus*, etc. Quæ nisi medici sunt, legi in Eresii Περὶ φυτῶν opere potuerunt. — *Theophrasti* ad Phaniam epistolas commemorant Diogenes L. V, 37 et schol. Apoll. Rhod. I, 972.

ΠΕΡΙ ΠΡΥΤΑΝΕΩΝ ΕΡΕΣΙΩΝ.

E LIBRO SECUNDO.

1.

Athenæus VIII, p. 333, A : Φανίας (Φαινίας vgo) γοῦν ἐν δευτέρῳ Πρυτάνεων Ἐρεσίων ἐν Χερρονήσῳ φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν ἰχθύας. Eadem libri notitia omissa Eustath. ad Il. p. 35 Bas. Cf. Phylarch. ap. Athen. l. l. (fr. 4).

1 a.

Idem I, p. 16, E : Καὶ οἱ μνηστῆρες δὲ παρ' αὐτῷ πεσσοῖσι προπάροιθε θυράων ἐτέρποντο, οὐ παρὰ τοῦ Μεγαλοπολίτου Διοδώρου ἢ Θεοδώρου μαθόντες τὴν πεττείαν, οὐδὲ τοῦ Μυτιληναίου Λέοντος τοῦ ἀνέκαθεν Ἀθηναίου, ὃς ἀήττητος ἦν κατὰ τὴν πεττευτικὴν, ὥς φησι Φανίας.

2.

Clemens Alex. I, p. 145, 35 Sylb. : Ἀπὸ τούτου (sc. ab reditu Heraclidarum) ἐπὶ Εὐαίνετον ἄρχοντα, ἐφ' οὗ φασιν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς μὲν Φανίας (libri Φανείας) ἔτη ἑπτακόσια δέκα πέντε. De hoc computo vide Fragm. chronol. p. 128.

3.

Plutarch. Solon. c. 14 : Ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι συνορῶντες τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς. Καίτοι Φανίας ὁ Λέσβιος αὐτὸν ἱστορεῖ τὸν Σόλωνα χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως ὑποσχέσθαι κρύφα τοῖς μὲν ἀπόροις τὴν νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν τῶν συμβολαίων. Ἀλλ' αὐτὸς ὁ Σόλων ὀκνῶν φησὶ τὸ πρῶτον ἅψασθαι τῆς πολιτείας καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν. Ἡρέθη δὲ ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης, δεξαμένων προθύμως αὐτὸν ὡς μὲν εὔπορον τῶν πλουσίων, ὡς δὲ χρηστὸν τῶν πενήτων. De anno Philombroti vide Clinton. F. H. tom. II, præf. p. XI.

4.

Lex. Gudian. p. 335 v. Κύρβεις... Ἀσκληπιάδης ἐν τοῖς τῶν ἀξόνων Ἐξηγητικοῖς ἀπὸ Κύρβεως τοῦ τὰς θυσίας (sic Salmas.; vgo οὐσίας) ὁρίσαντος· ὥς φησι Φανίας ὁ Ἐρέσιος (vgo Ἐφέσιος), ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμμασιν. Scilicet litera β in Κύρβεις olim fuit digamma. V. Welcker. *Trilog.* p. 191. Etym. M. et Suidas s. v. Gramm. ap. Cramer. Anecd. I, p. 221; II, p. 455. Cf. Aristotelis fr. 11, Apollodori fr. 24 sqq.; Preller. ad Polem. p. 89. Steph. Thes. Gr. s. v. p. 2138 B.

5.

Plutarch. Solon. c. 32 : Ἐπεβίωσε δ' οὖν ὁ Σόλων ἀρξαμένου τοῦ Πεισιστράτου τυραννεῖν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, συχνὸν χρόνον, ὡς δὲ Φανίας ὁ Ἐρέσιος ἐλάττονα δυοῖν ἐτῶν. Ἐπὶ Κωμίου μὲν γὰρ ἤρξατο τυραννεῖν Πεισίστρατος· ἐφ' Ἡγεστράτου δὲ Σόλωνά φησιν ὁ Φανίας ἀποθανεῖν, τοῦ μετὰ Κωμίαν ἄρξαντος. Cf. Clinton. ad an. 560. Marm. Par. ep. 40.

DE PRYTANIBUS ERESIORUM.

1.

Phanias secundo libro Prytanum Eresiorum, ait in Chersoneso per tres continuos dies piscibus cœlum pluisse.

1 a.

Apud eundem Homerum proci *ante fores calculorum lusu animum* recreant : non a Megalopolitano Diodoro sive Theodoro ludi illius artem edocti, nec a Mytilenæo Leonte, cujus majores Athenienses fuerant, quem scribit Phanias invictum fuisse in arte calculis ludendi.

2.

Ab reditu Heraclidarum usque ad Euænetum archontem, sub quo Alexandrum in Asiam transiisse dicunt, secundum Phaniam numerantur anni septingenti quindecim.

3.

Eo rerum statu prudentissimi Atheniensium cernentes Solonem unum ab utroque vitio esse intactum, ac neque injuriarum divitibus neque miseriarum pauperibus socium, oravere hominem, ut communis utilitatis curam susciperet controversiamque dissolveret. Phanias quidem Lesbius narrat, utrisque eum imposuisse, quod saluti publicæ consuleret, clanculum pauperibus agrorum divisionem, divitibus confirmationem pactionum pollicendo. At ipse ait se ægre initio rempublicam attigisse, quod et horum cupiditatem et illorum superbiam metueret. Electus est archon post Philombrotum, simulque et arbiter et legum conditor, accipientibus eum utrisque libenter plane, divitibus tanquam locupletem, egenis ut mitem.

4.

Cyrbes (*quibus jus sacrum inscriptum erat*) Asclepiades Commentariis in axes Soloneas, nomen habere dicit a Cyrbe, qui quæ ad sacrificia pertinent, legibus definiverit, secundum Phaniam vero inde nomen hoc acceperunt, quod quæ iis continentur literis κύρια sive rata sint.

5.

Solon post occupatam a Pisistrato tyrannidem vixit adhuc sat multum temporis, ut quidem Heraclides Ponticus est auctor; ut Phanias Eresius, non totum biennium : siquidem Pisistratum invasisse tyrannidem Comia archonte, Solonem autem sub Hegestrato, qui Comiæ successit, vita defunctum esse dicit.

6.

Plutarch. Themist. c. 1 : Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε· πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρρίου τῶν δήμων ἐκ τῆς Λεοντίδος φυλῆς· νόθος δὲ πρὸς μητρὸς, ὡς λέγουσιν·

Ἀβρότονον Θρῄσσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι·
τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιστοκλέα.

Φανίας μέντοι τὴν μητέρα Θεμιστοκλέους οὐ Θρᾷτταν, ἀλλὰ Καρίνην, οὐδ' Ἀβρότονον ὄνομα, ἀλλ' Εὐτέρπην ἀναγράφει· Νεάνθης δὲ καὶ πόλιν αὐτῇ τῆς Καρίας Ἁλικαρνασσὸν προστίθησι.

7.

Idem ib. c. 7 : Ἐπεὶ δὲ τοῖς Ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος ἐκπλαγεὶς Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι Πελοποννήσου καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες· ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν. Ἐναντιουμένου δ' αὐτῷ τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐπ' αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. Τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος εἰσέπεμψε Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας, ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. Ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

8.

Idem ib. c. 13 : Prœlium ad Salaminem inituro Θεμιστοκλεῖ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. Ἐλέγοντο δὲ Σανδάκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταΰκτου. Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. Ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινὸν, οἷον εἰώθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

6.

Themistocli genus obscurius fuit, quam quod ad gloriam conferre aliquid posset; patrem enim habuit inter Athenienses non admodum illustrem, nomine Neoclem, de curia Phrearrhiorum, et tribu Leontide. Matre autem non legitima natum tradunt; estque in eam sententiam id carmen :

Abrotonum Threissa fui genus : at peperisse
me magnum Græcis dico Themistoclea.

Phanias quidem matri Themistoclis non Thraciam, sed Cariam patriam, neque Abrotono, sed Euterpæ nomen fuisse asserit : Neanthes etiam urbem Cariæ ubi nata fuerit, Halicarnassum nominat.

7.

Postquam autem, barbarorum classe ad eum locum, cui Aphetæ nomen est, delata, Eurybiades, multitudine navium quæ in fronte apparebant perterritus, insuper audito ducentas alias super Sciathum cursum flectere, id consilium cepit, ut quam celerrime intra Græciam reversus, Peloponnesum adiret ac terrestres copias navibus circumjiceret, posse copiis regiis mari resisti nullo modo putans. Hic Euboenses veriti ne a Græcis destituerentur, clandestinum cum Themistocle colloquium habuerunt, misso cum magna pecunia ad eum Pelagonte : quam Themistocles acceptam Eurybiadi tradidit, ut Herodotus auctor est. Repugnabat autem Themistocli Architeles unus ex civibus ejus, præfectus sacræ triremi : qui quum non haberet pecuniam unde nautas sustentaret, discessum agitabat. Contra hunc irritatos jam ante animos civium Themistocles magis adhuc concitavit, ita ut ei concursu facto cœnam diriperent. Architeli indigne id animoque ægro ferenti Themistocles in cista misit panem et carnes ad cœnam, subjecto illis argenti talento mandatoque, ut ipse cœnaret, et postridie sociorum navalium curam haberet : ni faceret, delaturum se eum apud cives, quasi pecuniam eam ab hostibus accepisset. Hæc narratio Phaniæ est Lesbii.

8.

Ad Themistoclem autem juxta prætoriam triremem sacris operantem, tres adducti sunt captivi, forma venustissima, vestium et auri ornatu splendidissimo : ferebanturque nati Sandaca regis sorore et Artaycto. Quos ut vidit Euphrantides aruspex, simulque magnus et clarus ignis e sacris eluxit, et sternutamentum a dextra signum dedit : dextra Themistocli injecta, jussit eum factis Baccho ὠμηστῇ (*i. e. qui crudis carnibus vescitur*) votis juvenes istos immolare : ita enim et victoriam Græcis et salutem constituram. Attonito Themistocle ac grave id vaticinium et immane existimante, Græci, ut fere in summis certaminibus ac rebus adversis salutem magis ab inopinato aliquo casu quam certo consilio homines exspectare solent, uno omnes ore deum invocaverunt, adductisque ad aram captivis, coegerunt sacra ita, uti vates jusserat, perpetrari. Hæc Phanias Lesbius, vir in philosophia et historiis minime rudis, memoriæ prodidit.

9.

Idem ibid. c. 27 : Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν, Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. Τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. Ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. Ὁ δέ φησιν, « Ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων, ἄλλα δ' ἄλλοις καλά, καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. Ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος, ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. Εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοὶ καὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν, εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν· βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος. » Ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· « Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύναντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν· ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν. » « Τίνα δ', εἶπεν ὁ Ἀρτάβανος, Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; οὐ γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας. » Καὶ ὁ Θεμιστοκλῆς, « Τοῦτ' οὐκέτ' ἄν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως. » Οὕτω μὲν ὁ Φανίας φησίν· ὁ δ' Ἐρατοσθένης ἐν τοῖς Περὶ πλούτου προσιστόρησε διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

10.

Idem ibid. c. 29, 10 : Πόλεις δ' αὐτῷ (Themistocli ab Artaxerxe) τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα· δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν, εἰς στρώμνην καὶ ἀμπεχόνην. Eadem non injecta Phaniæ mentione Athenæus p. 29, F, schol. ad Aristoph. Eq. 84.

11.

Athenæus I, p. 48, D : Τὸν οὖν Κρῆτα Τιμαγόραν, ἢ τὸν ἐκ Γόρτυνος (scr. vid. Voisino τὸν οὖν Τ. ἢ τὸν ἐκ Γόρτυνος Κρῆτα), ὥς φησι Φανίας ὁ Περιπατητικός, Ἔντιμον, ὃς ζήλῳ Θεμιστοκλέους ἀνέβη ὡς βασιλέα, τιμῶν Ἀρταξέρξης, σκηνήν τε ἔδωκεν αὐτῷ διαφέρουσαν τὸ κάλλος καὶ τὸ μέγεθος, καὶ κλίνην ἀργυρόποδα, ἔπεμψε δὲ καὶ στρώματα πολυτελῆ, καὶ τὸν ὑποστρώσοντα, φάσκων οὐκ ἐπίστασθαι τοὺς Ἕλληνας ὑποστρωννύειν. Καὶ ἐπὶ τὸ συγγενικὸν ἄριστον ἐκαλεῖτο ὁ Κρὴς οὗτος, τὸν βασιλέα ψυχαγωγήσας· ὅπερ οὐδενὶ πρότερον τῶν Ἑλλήνων

9.

Thucydides et Charon Lampascenus narrant, Xerxe jam ante defuncto, ad filium ejus venisse Themistoclem : Ephorus, Dino, Clitarchus, Heraclides, aliique complures ad ipsum Xerxem delatum scribunt. Videtur autem Thucydides annales magis secutus, quanquam et hi ipsi non satis accurate inter se congruunt. Themistocles quum jam in præsens discrimen venisset, primo omnium convenit Artabanum militum præfectum, eique exponit, Græcum se esse, cupere autem cum rege de maximis rebus, et in quibus ille plurimum studii poneret, colloqui. Cui Artabanus, « Leges, inquit, o hospes, aliæ sunt apud alios homi« nes, diversaque apud diversos honesta judicantur, omnibus « tamen ex æquo pulchrum videtur, suas ornare et con« servare leges. Vos audio præ ceteris libertatem et æqua« litatem admirari; apud nos autem quum multæ sint ac « pulchræ leges, ea omnium præstantissima est, quæ ho« norare regem, adorareque eum, tanquam dei omnia « conservantis effigiem, jubet. Quare si nostros mores « probas et genua flectere coram rege vis, videndi tibi « compellandique ejus facultas erit : sin aliter sentis, in« ternunciis ad eum utendum tibi est. Regi enim leges pa« triæ non permittunt, ut homini qui ipsi non supplicave« rit, aures accommodet. » Ad hæc Themistocles : « Ego vero, Artabane, regis vestri gloriam atque potentiam augendi causa veni : itaque et ipse parebo vestris legibus, quando ita visum deo qui Persas extollit, et propter me plures, quam nunc sunt, erunt qui regem adorent; quare nihil hoc impedit quominus cum rege colloquar. » « Quod autem, inquit Artabanus, nomen tibi esse regi indicabo? neque enim vulgaris hominis animum præ te fers. » Tum Themistocles : « Nomen, Artabane, meum nemo quisquam rege prior audiet. » Hæc narratio est Phaniæ. Eratosthenes in opere de Divitiis narrationi id adjecit, fuisse Themistocli aditum ad Artabanum atque congressum paratum ab hujus muliere, quæ natione fuerit Eretrica.

10.

Plerique auctores tradunt Themistocli ab Artaxerxe datas esse tres civitates, quarum e reditibus panem, vinum et obsonia pararet, Magnesiam, Lampsacum et Myuntem : duas addunt ad vestem stragulam et amictum ei concessas Neanthes Cyzicenus et Phanias, nimirum Percoten et Palæscepsin.

11.

Timagoram, vel, ut ait Phanias Peripateticus, Entimum e Gortyne Cretensem, qui æmulatione Themistoclis ad regem profectus erat, Artaxerxes honoris caussa tentorio donavit insigni pulchritudine amplitudineque, et lecto argenteis pedibus suffulto; stragulaque ei misit pretiosa, et hominem qui ea sterneret, nescire dictitans Græcos lectum sternere. Et ad cognatorum convivium vocatus hic Cretensis est; (ita regis demulserat animum :) quod nulli Græcorum, nec ante, nec post hunc, contigit : nam solis

ἐγένετο, ἀλλ' οὐδ' ὕστερον. Αὕτη γὰρ ἡ τιμὴ τοῖς συγγενέσι διεφυλάττετο. Τιμαγόρᾳ μὲν γὰρ τῷ Ἀθηναίῳ, τῷ προσκυνήσαντι βασιλέα, καὶ μάλιστα τιμηθέντι, τοῦτο οὐχ ὑπῆρξε· τῶν δὲ παρατιθεμένων βασιλεῖ τούτῳ τινὰ ἀπὸ τῆς τραπέζης ἀπέστελλε. Ἀνταλκίδᾳ δὲ τῷ Λάκωνι τὸν αὑτοῦ στέφανον εἰς μύρον βάψας ἔπεμψε. Τῷ δ' Ἐντίμῳ τοιαῦτα πολλὰ ἐποίει, καὶ ἐπὶ τὸ συγγενικὸν ἄριστον ἐκάλει. Ἐφ' ᾧ οἱ Πέρσαι χαλεπῶς ἔφερον, ὡς τῆς τε τιμῆς δημευομένης, καὶ στρατείας ἐπὶ τὴν Ἑλλάδα πάλιν ἐσομένης. Ἔπεμψε δὲ καὶ κλίνην αὐτῷ ἀργυρόποδα, καὶ στρωμνήν, καὶ σκηνὴν οὐρανόροφον ἀνθινήν, καὶ θρόνον ἀργυροῦν, καὶ ἐπίχρυσον σκιάδιον, καὶ φιάλας λιθοκολλήτους χρυσᾶς, καὶ ἀργυρᾶς δὲ μεγάλας ἑκατόν, καὶ κρατῆρας ἀργυροῦς, καὶ παιδίσκας ἑκατόν, καὶ παῖδας ἑκατόν, χρυσοῦς τε ἑξακισχιλίους, χωρὶς τῶν εἰς τὰ ἐπιτήδεια καθ' ἡμέραν διδομένων.

Quæ ex his Phaniæ debeantur, quæ Heraclidæ Cumano, qui in antecedentibus memoratur, haud liquet. De Timagora *Atheniensi* v. Xenoph. Hell. VII, 1, 33, 38, ibiq. interpr.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΙΚΕΛΙᾼ ΤΥΡΑΝΝΩΝ.

12.

Athenæus VI, p. 231, E : Καὶ τὰ ἐν Δελφοῖς δὲ ἀναθήματα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ὑπὸ πρώτου Γύγου τοῦ Λυδῶν βασιλέως ἀνετέθη· καὶ πρὸ τῆς τούτου βασιλείας ἀνάργυρος, ἔτι δὲ ἄχρυσος, ἦν ὁ Πύθιος, ὡς Φανίας τέ φησιν ὁ Ἐρέσιος καὶ Θεόπομπος ἐν τῇ τεσσαρακοστῇ τῶν Φιλιππικῶν. Ἱστοροῦσι γὰρ οὗτοι κοσμηθῆναι τὸ Πυθικὸν ἱερὸν ὑπό τε τοῦ Γύγου καὶ τοῦ μετὰ τοῦτον Κροίσου, μεθ' οὓς ὑπό τε Γέλωνος καὶ Ἱέρωνος τῶν Σικελιωτῶν, τοῦ μὲν τρίποδα καὶ Νίκην χρυσοῦ πεποιημένα ἀναθέντος, καθ' οὓς χρόνους Ξέρξης ἐπεστράτευε τῇ Ἑλλάδι, τοῦ δ' Ἱέρωνος τὰ ὅμοια. Λέγει δὲ οὕτως ὁ Θεόπομπος· « Ἦν γὰρ κτλ. (v. fr. 219.) Ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας ἐν τῷ Περὶ τῶν ἐν Σικελίᾳ τυράννων, ὡς χαλκῶν ὄντων τῶν παλαιῶν ἀναθημάτων καὶ τριπόδων καὶ λεβήτων καὶ ἐγχειριδίων, ὧν ἐφ' ἑνὸς καὶ ἐπιγεγράφθαι φησίν·

> Θάησαί μ'· ἐτεὸν γὰρ ἐν Ἰλίου εὐρέϊ πύργῳ
> ἦν, ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' Ἑλένῃ·
> καί μ' Ἀντηνορίδης ἐφόρει κρείων Ἑλικάων.
> Νῦν δέ με Λητοΐδου θεῖον ἔχει δάπεδον.

Ἐπὶ δὲ τρίποδος, ὃς ἦν εἷς τῶν ἐπὶ Πατρόκλῳ ἄθλων τεθέντων·

> Χάλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα,
> καί μ' ἐπὶ Πατρόκλῳ θῆκεν πόδας ὠκὺς Ἀχιλλεύς·
> Τυδεΐδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
> νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.

13.

Idem I, p. 6, C : Φανίας δέ φησιν, ὅτι Φιλόξενος ὁ Κυθήριος ποιητής, περιπαθὴς ὢν τοῖς ὄψοις, δειπνῶν ποτε παρὰ Διονυσίῳ, ὡς εἶδεν ἐκείνῳ μὲν μεγάλην τρίγλαν παρατεθεῖσαν, ἑαυτῷ δὲ μικράν, ἀναλαβὼν αὐτὴν εἰς τὰς χεῖρας πρὸς τὸ οὖς προσήνεγκε. Πυθομένου δὲ τοῦ Διονυσίου, τίνος ἕνεκεν τοῦτο ποιεῖ, εἶπεν

---

cognatis ille honos concessus est. Neque enim Timagoras Atheniensis, quum adorasset regem, magnoque honore esset exceptus, id consecutus est : sed illi solum ex appositis regi ferculis quædam mittebatur portio. Antalcidæ vero Lacedæmonio rex suam ipse coronam, unguento delibutam, misit. Entimum vero multis talibus honorabat, et ad convivium vocabat cognatorum : ægre ferentibus Persis, quod et vulgaretur ille honos, et nova expeditio in Græciam instare videretur. Misit vero ei rex et lectum argenteis pedibus, et quidquid ad eum sternendum pertinebat, et tabernaculum orbiculato tecto, floribus variegatum, et sellam argenteam, et umbellam inauratam, et aureas phialas gemmis distinctas, et centum alias argenteas majores, et crateres argenteos, puellas centum, totidemque pueros, et aureorum numorum millia sex, præter ea quæ ad quotidianam impensam dabantur.

DE SICILIÆ TYRANNIS.

12.

Fuerant autem argentea et aurea donaria in Delphico templo primum omnium a Gyge, Lydorum rege, dedicata; ante cujus regnum argento et auro caruit Pythius : ut Phanias scribit Eresius, et Theopompus Philippicorum libro XL. Narrant enim hi, exornatum fuisse Pythicum templum quum a Gyge, tum post hunc a Crœso, et postea a Gelone et ab Hierone Siculis, quorum ille tripodem aureum et Victoriam ex auro factam dedicaverit, quo tempore Xerxes Græciæ bellum intulit; Hiero vero rursus paria dona miserit. Theopompi verba hæc sunt.... Paria Phanias narrat in libro De Siciliæ tyrannis, dicens ænea fuisse prisca donaria, et quidem tripodas, lebetes et pugiones. In pugionum uno hos inscriptos fuisse versus ait :

> Aspice me : revera enim in Ilii ampla turri
> eram, quum ob pulchricomam pugnaremus Helenam
> et me Antenorides gestabat princeps Helicaon :
> nunc me Latonæ filii fanum tenet.'

Super tripode vero, qui unus ex eis erat, quæ in Patrocli funebribus ludis præmia victoribus fuerant proposita, inscripta hæc erant :

> Æneus sum tripus, Pythio consecratum donarium :
> in Patrocli funere præmium me proposuerat Achilles;
> dedicavit autem Tydei filius, bello strenuus Diomedes,
> postquam equis vicit juxta latum Hellespontum.

13.

Phanias narrat Philoxenum Cytherium poetam, obsoniorum cupediis deditissimum, quum cœnaret apud Dionysium, ut mullum ingentem vidit ei appositum, sibi vero parvum, manu sua prehensum hunc admovisse auri, et interrogante Dionysio cur id faceret, respondisse : Galateam se scribere, cupivisseque nonnihil eorum, quæ apud Nereum geruntur, ex illo pisciculo rescire; hunc vero interrogatum respondisse : juniorem se esse captum, ideoque

ὁ Φιλόξενος, ὅτι γράφων τὴν Γαλάτειαν βούλοιτό τινα παρ' ἐκείνης τῶν κατὰ Νηρέα πυθέσθαι· τὴν δὲ ἠρωτημένην ἀποκεχρίσθαι, διότι νεωτέρα ἁλοίη· διὸ μὴ παρακολουθεῖν· τὴν δὲ τῷ Διονυσίῳ παρατεθεῖσαν, πρεσβυτέραν οὖσαν, εἰδέναι πάντα σαφῶς ἃ βούλεται μαθεῖν. Τὸν οὖν Διονύσιον γελάσαντα ἀποστεῖλαι αὐτῷ τὴν τρίγλαν τὴν παρακειμένην αὐτῷ. Συνεμέθυε δὲ τῷ Φιλοξένῳ ἡδέως ὁ Διονύσιος. Ἐπεὶ δὲ τὴν ἐρωμένην Γαλάτειαν ἐφωράθη διαφθείρων, εἰς τὰς λατομίας ἐνεβλήθη· ἐν αἷς ποιῶν τὸν Κύκλωπα συνέθηκε τὸν μῦθον εἰς τὸ περὶ αὐτὸν γενόμενον πάθος, τὸν μὲν Διονύσιον Κύκλωπα ὑποστησάμενος, τὴν δ' αὐλητρίδα Γαλάτειαν, ἑαυτὸν δ' Ὀδυσσέα. Hæc etiam ad libros Περὶ ποιητῶν referre licet.

ΤΥΡΑΝΝΩΝ ΑΝΑΙΡΕΣΙΣ ΕΚ ΤΙΜΩΡΙΑΣ.

14.

Idem III, p. 90, E: Σωληνισταὶ δ' ἐκαλοῦντο οἱ συνάγοντες τὰ ὄστρεα ταῦτα (sc. τοὺς σωλῆνας), ὡς ἱστορεῖ Φανίας ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ Τυράννων ἀναίρεσις ἐκ τιμωρίας, γράφων οὕτως· « Φιλόξενος, ὁ καλούμενος σωληνιστής, ἐκ δημαγωγοῦ τύραννος ἀνεφάνη, ζῶν τὸ μὲν ἐξ ἀρχῆς ἁλιευόμενος καὶ σωληνοθήρας ὤν, ἀφορμῆς δὲ λαβόμενος καὶ ἐμπορευσάμενος βίον ἐκτήσατο. »

15.

Idem X, p. 438, C: Φανίας δὲ ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ Τυράννων ἀναίρεσις ἐκ τιμωρίας Σκόπαν φησί, τὸν Κρέοντος μὲν υἱόν, Σκόπα δὲ τοῦ παλαιοῦ υἱιδοῦν, φιλοποτοῦντα διατελέσαι, καὶ τὴν ἐπάνοδον τὴν ἀπὸ τῶν συμποσίων ποιεῖσθαι ἐπὶ θρόνου καθήμενον, καὶ ὑπὸ τεσσάρων βασταζόμενον, οὕτως οἴκαδε ἀπιέναι.

16.

Parthenius Erot. c. 7: Περὶ Ἱππαρίνου. Ἱστορεῖ Φανίας ὁ Ἐρέσιος. — Ἐν δὲ τῇ Ἰταλῇ Ἡρακλείᾳ παιδὸς διαφόρου τὴν ὄψιν, Ἱππαρῖνος ἦν αὐτῷ ὄνομα, τῶν πάνυ δοκίμων, Ἀντιλέων ἠράσθη· ὃς πολλὰ μηχανώμενος οὐδαμῇ δυνατὸς ἦν αὐτὸν ἁρμόσασθαι, περὶ δὲ γυμνάσια διατρίβοντι πολλὰ τῷ παιδὶ προσρυεὶς ἔφη, τοσοῦτον αὐτοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ἀνατλῆναι, καὶ ὅ τι ἂν κελεύοι μηδενὸς αὐτὸν ἁμαρτήσεσθαι. Ὁ δὲ ἄρα κατειρωνευόμενος προσέταξεν αὐτῷ, ἀπό τινος ἐρυμνοῦ χωρίου, ὃ μάλιστα ἐφρουρεῖτο ὑπό του τῶν Ἡρακλεωτῶν τυράννου, τὸν κώδωνα κατακομίσαι, πειθόμενος μὴ ἄν ποτε τελέσειν αὐτὸν τόνδε τὸν ἆθλον. Ἀντιλέων δὲ κρύφα τὸ φρούριον ὑπελθὼν καὶ λοχήσας τὸν φύλακα τοῦ κώδωνος κατακαίνει, καὶ ἐπειδὴ ἀφίκετο πρὸς τὸ μειράκιον, ἐπιτελέσας τὴν ὑπόσχεσιν, ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο, καὶ ἐκ τοῦδε μάλιστα ἀλλήλους ἐφίλουν. Ἐπεὶ δὲ ὁ τύραννος τῆς ὥρας ἐγλίχετο τοῦ παιδὸς καὶ οἷός τε ἦν αὐτὸν βίᾳ ἄγεσθαι, δυσανασχετήσας ὁ Ἀντιλέων ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγειν κινδυνεύειν, αὐτὸς δὲ οἴκοθεν ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀνεῖλεν· καὶ τοῦτο δράσας δρόμῳ ἵετο καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδεδεμένοις ἀμφιπεσὼν ἐχειρώθη. Διὸ τῆς πόλεως εἰς τἀρχαῖον ἀποκαταστάσης, ἀμφοτέροις παρὰ

---

minus intelligere: illum autem qui Dionysio appositus esset, ut grandiorem, accurate omnia scire, quæ ipse cognoscere vellet. Risisse ad ea tum Dionysium, eique mullum, qui penes ipsum erat positus, misisse. Libenter autem cum Philoxeno potui indulgebat Dionysius. Verum ut ab eo vitiatam comperit Galateam amasiam suam, in lapicidinas eum conjecit: ubi Cyclopem fabulam scribens Philoxenus, ad suum casum accommodavit argumentum, Dionysio Cyclopis tribuens partes, tibicinis partes Galateæ, sibique Ulyssis sumens personam.

TYRANNORUM CÆDES EX VINDICTA.

14.

Qui hæc ostrea (solenes sc.) colligebant, Solenistæ vocabantur, ut Phanias Eresius in libro qui inscribitur Tyrannorum cædes ex vindicta, ubi sic scribit: « Philoxenus, cognomine Solenista, ex demagogo tyrannus factus est. Is initio victitans piscatu et solenum præcipue captura, postquam pecuniæ nonnihil corraserat, mercaturæ dans operam luculentas fortunas comparavit. »

15.

Phanias Eresius in libro cui titulus Tyrannorum cædes ex vindicta, Scopam ait, Creontis filium, vetusti illius Scopæ nepotem, totam vitam potando traduxisse, et e compotationibus haud fere aliter domum redire consuevisse nisi in solio sedentem, quod a quattuor hominibus gestaretur.

16.

De Hipparino narratio Phaniæ Eresii. In Heraclea Italica excellentem forma puerum, Hipparinum nomine, celebri familiâ ortum, Antileon amabat, qui multa machinatus nullo modo poterat eum sibi conciliare. Circa gymnasia autem versanti utplurimum puero se accommodans, tanto ejus desiderio se teneri affirmavit, ut ejus gratia omnem laborem subire velit, et quidquid jubeat, in nulla re delinquere. Puer ergo per ludibrium mandavit ei, ut ex munito quodam loco, qui magna custodia ab Archelao Heracleotarum tyranno servabatur, tintinnabula deturbaret, confisus nunquam ipsum hoc certamen perfecturum. Antileon autem occulte præsidium aggressus, ex insidiis custodem tintinnabuli occidit, atque inde ad adolescentulum confecto opere reversus in magna apud eum benevolentia fuit, et ab hoc tempore amor inter eos vehementer excrevit. Accidit autem ut aliquando tyrannus puerum de stupro sollicitaret: qui quum potens esset vel vi cogere, molestissime rem tulit Antileon, atque illum quidem propter periculum vitandum admonuit, ut nihil contradiceret; ipse vero e domo exeuntem tyrannum invadens occidit. Quo perpetrato, cursu abiit; et aufugisset sane, nisi in oves colligatas obviam sibi factas incidens captus fuisset. Quare civitate in pristi-

τοῖς Ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ, καὶ νόμος ἐγράφη, μηδένα ἐλαύνειν τοῦ λοιποῦ πρόβατα συνδεδεμένα.

Προσρυεὶς] προσφυεὶς Legrand.; vulgatam tuetur Bast. post Abresch. Lectt. Aristæn. p. 151. — ὑπό του τῶν Ἡρ. τυρ.] « cod. et Cornar.; ὑπὸ τοῦ Gale et Legrand. Margo codicis ascriptum habet τοῦ Ἀρχελάου, quod Cornarii interpretatio lat. expressit. » *Passov.* — Ad narrationem de ovibus ap. Heracleenses colligatis Schneiderus : « An huc pertinet locus Varronis De re rust. II, 9, 6? De Heracleæ emporio et ovibus deductis τοῖς τὴν Ἡράκλειαν οἰκοῦσι Τυρρηνοῖς, Theophrast. Hist. plant. IX, 16. »

ΠΕΡΙ ΠΟΙΗΤΩΝ.

17.

E LIBRO SECUNDO.

Athenæus VIII, p. 352, C : Φανίας δ' ὁ Περιπατητικὸς ἐν δευτέρῳ Περὶ ποιητῶν « Στρατόνικος (φησὶν) ὁ Ἀθηναῖος δοκεῖ τὴν πολυχορδίαν εἰς τὴν ψιλὴν κιθάρισιν πρῶτος εἰσενεγκεῖν, καὶ πρῶτος μαθητὰς τῶν ἁρμονικῶν ἔλαβε, καὶ διάγραμμα συνεστήσατο. Ἦν δὲ καὶ ἐν τῷ γελοίῳ οὐκ ἀπίθανος. » Φησὶ δὲ καὶ τελευτῆσαι αὐτὸν διὰ τὴν ἐν τῷ γελοίῳ παρρησίαν ὑπὸ Νικοκλέους τοῦ Κυπρίων βασιλέως φάρμακον πιόντα, διὰ τὸ σκώπτειν αὐτοῦ τοὺς υἱούς. Cf. Clearchus ap. Athen. p. 350, A.

18.

Clem. Alex. I, 21, p. 144, 8 : Ἑλλάνικος γοῦν τοῦτον (τὸν Τέρπανδρον) ἱστορεῖ κατὰ Μίδαν γεγονέναι, Φανίας δὲ πρὸ Τερπάνδρου τιθεὶς Λέσχην τὸν Λέσβιον, Ἀρχιλόχου νεώτερον φέρει τὸν Τέρπανδρον, διημιλλῆσθαι δὲ τὸν Λέσχην Ἀρκτίνῳ καὶ νενικηκέναι. Cf. Welcker. *Cycl.* p. 212.

ΠΡΟΣ ΤΟΥΣ ΣΟΦΙΣΤΑΣ.

Cf. Westermann. Hist. Eloq. Gr. § 78, 3.

19.

Athenæus XIV, p. 638, B : Καὶ μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταί, περὶ ὧν φησι Φανίας ὁ Ἐρέσιος ἐν τοῖς Πρὸς τοὺς σοφιστάς, γράφων οὕτως· « Τελένικος ὁ Βυζάντιος, ἔτι δὲ Ἀργᾶς ποιηταὶ μοχθηρῶν ὄντες νόμων, πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν, τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι. »

« Dicat aliquis Phaniam fortassis loquentem de sophistarum plausu adductum videri esse ut vel malorum cantorum in suo genere successum opponeret. » *Ebert.* p. 83.

[ΠΕΡΙ ΦΙΛΟΣΟΦΩΝ.]

ΠΕΡΙ ΤΩΝ ΣΩΚΡΑΤΙΚΩΝ.

20.

Diogenes L. VI, 8, de Antisthene : Ἐρωτηθεὶς ὑπό του (καθά φησι Φανίας ἐν τῷ περὶ Σωκρατικῶν), τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη « Εἰ τὰ κακὰ ἃ ἔχεις, ὅτι φευκτά ἐστι, μάθοις παρὰ τῶν εἰδότων.

21.

Id. ibid. II, 65, de Aristippo : Οὗτος σοφιστεύσας (ὥς φησι Φανίας ὁ Περιπατητικὸς Ἐρέσιος) πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο, καὶ ἀπέστειλε χρήματα τῷ διδασκάλῳ. Καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἔλαβεν, εἰπόντος Σωκράτους, τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ.

---

num statum et libertatem restituta, utrique apud Heracleotas æneæ statuæ sunt erectæ, ac lex scripta est, ne quis colligatas oves in posterum ageret.

DE POETIS.

E LIBRO SECUNDO.

17.

Phanias Peripaticus secundo libro De poetis de Stratonico hæc scribit : « Stratonicus Atheniensis primum perhibetur in nuda citharæ pulsatione instituisse ut plures simul chordæ pulsarentur, primumque concentus musicos docuisse et tabulam musicam descripsisse. Erat vero etiam in ridicule dictis non absurdus. » Scribitque idem auctor, interfectum esse ob suam in dicendo libertatem a Nicocle Cypriorum rege, venenum bibere coactum, quod in filios ejus scommata jactitasset.

18.

Hellanicus Terpandrum Midæ temporibus vixisse ait, Phanias vero ante Terpandrum Leschen Lesbium ponens Archilocho juniorem facit Terpandrum, Leschen vero cum Arctino certasse victoriamque de eo reportasse narrat.

CONTRA SOPHISTAS.

19.

Fuere porro vilium canticorum poetæ illi, de quibus Phanias Eresius in libris Contra Sophistas loquitur ita scribens : « Telenicus Byzantinus, item Argas, vilium modorum poetæ, qui in suo quidem poeseos genere successum habuere, sed Terpandri aut Phrynidis modos ne attingere quidem ausi sunt. »

DE SOCRATICIS.

20.

Antisthenes (uti Phanias libro De Sociaticis ait) a quodam interrogatus quid faciens vir bonus ac probus futurus esset, respondit : « Si mala quæ habes fugienda esse didiceris ab iis qui noverunt. »

21.

Aristippus, teste Phania Peripatetico Eresio, sophistarum more primus inter Socraticos mercedem a discipulis exegit, idemque magistro suo pecunias misit. Aliquando vero quum viginti minas ei misisset, remisit has Socrates, dicens dæmonium ipsi, ut acceptaret, haud permittere. Nimirum ægre rem Socrates tulit.

22.

Plutarchus De defect. orac. c. 23, p. 422, E: Ἵππυς ὁ Ῥηγῖνος, οὗ μέμνηται Φανίας ὁ Ἐρέσιος, ἱστορεῖ δόξαν εἶναι ταύτην Πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγδοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ' ἀλλήλων κατὰ στοιχεῖον κτλ. (vide Hippyis Rhegini fr. 6).

Hinc et e sequenti fragm. colligo Phaniam non modo de Socraticis, sed de reliquis etiam philosophis egisse; nec improbabile est librum Περὶ Σωκρατικῶν nonnisi partem majoris De philosophis operis fuisse.

(23.)

Suidas: Ἀρχύτας Ταραντῖνος... φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. Τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους.

« Latet auctoris cujuspiam nomen, nec multum opinor ab φανερῶς conjecturam recedere φησὶ Φανίας ὁ Ἐρέσιος. » *Bernhardy*. Ceterum de re tradita aliunde non constat, ac omnino caret veri similitudine. V. Sturz. Empedocl. p. 19.

Reliquorum fragmentorum, quæ ad historiam minus pertinent, verba græca apposuisse habemus satis.

ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ.

24.

Alexander Aphrodis. in Exc. Gr. ap. Brandis. De perditis libr. Aristot. De ideis et de bono p. 18: Λέγει δὲ Φανίας ἐν τῷ πρὸς Διόδωρον, Πολύξενον τὸν σοφιστὴν τὸν τρίτον ἄνθρωπον εἰσάγειν λέγοντα· εἰ κατὰ μετοχήν τε καὶ μετουσίαν τῆς ἰδέας καὶ τοῦ αὐτοανθρώπου ὁ ἄνθρωπός ἐστι, δεῖ τινα εἶναι ἄνθρωπον, ὃς πρὸς τὴν ἰδέαν ἕξει τὸ εἶναι· οὔτε δὲ ὁ αὐτοάνθρωπος, ὅ ἐστιν ἰδέα, κατὰ μετοχὴν ἰδέας, οὔτε ὁ τὶς ἄνθρωπος· λείπεται ἄλλον τινὰ εἶναι τρίτον ἄνθρωπον τὸν πρὸς τὴν ἰδέαν τὸ εἶναι ἔχοντα. Fortasse ex libro Πρὸς τοὺς σοφιστάς, ut conjicit Ebert. l. l.

ΠΕΡΙ ΦΥΤΩΝ.

E LIBRO PRIMO.

25.

Athenæus II, p. 61, F: Φανίας δὲ ἐν πρώτῳ Περὶ φυτῶν· « Τὰ δὲ οὐδὲ φύει τὴν ἀνθίνην, οὐδὲ τῆς σπερματικῆς ἴχνος κορυνήσεως, οὐδὲ σπερματώσεως, οἷον μύκης, ὕδνον, πτέρις, ἕλιξ. » Ὁ αὐτός φησι, « Πτέρις, ἣν ἔνιοι βλάχνον καλοῦσι. » Alium locum ex libro I vide fr. 27.

E LIBRO QUINTO.

26.

Idem II, p. 70, D: Φανίας δ' ἐν πέμπτῳ Περὶ φυτῶν κάκτον Σικελικήν τινα καλεῖ, ἀκανθῶδες φυτόν, ὡς καὶ Θεόφραστος ἐν ἕκτῳ Περὶ φυτῶν.

27.

Idem IX, p. 371, D: Μνημονεύει τοῦ σταφυλίνου καὶ Θεόφραστος. Φανίας δ' ἐν πέμπτῳ Περὶ φυτῶν γράφει οὕτως· « Κατὰ δὲ τὴν αὐτοῦ τοῦ σπέρματος φύσιν ὁ καλούμενος σὴψ καὶ τὸ τοῦ σταφυλίνου σπέρμα. » Κἂν τῷ πρώτῳ δέ φησι· « Πετασώδη τὴν τῶν σπερμάτων ἀπείληφε φύσιν ἄννησον, μάραθον, σταφυλῖνος, καυκαλίς, κώνειον, κόριον, σκιάς, ἣν ἔνιοι μυηφόνον. » Ἐπεὶ δὲ ἄρου ἐμνημόνευσεν ὁ Νίκανδρος, προσαποδοτέον, ὅτι καὶ Φανίας ἐν τῷ προειρημένῳ βιβλίῳ γράφει οὕτως· « Δρακόντιον, ὃ ἔνιοι ἄρον ἀρωνία. »

28.

E LIBRO SEPTIMO.

Idem II, p. 64, D: Θεόφραστος δ' ἐν ἑβδόμῳ Φυτικῶν « Ἐνιαχοῦ (φησὶν) οὕτω γλυκεῖς εἰσιν οἱ βολβοί, ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, ὥσπερ ἐν τῇ Ταυρικῇ Χερῥονήσῳ. » Τὰ αὐτὰ ἱστορεῖ καὶ Φανίας. « Ἔστι δὲ καὶ γένος (φησὶ) βολβῶν (Θεόφραστος) ἐριοφόρων, ὃ φύεται ἐν αἰγιαλοῖς. Ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέσον εἶναι τοῦ ἐδωδίμου, τοῦ ἐντὸς καὶ τοῦ ἔξω. Ὑφαίνεται δ' ἐξ αὐτοῦ καὶ πόδεια καὶ ἄλλα ἱμάτια· » (ὡς καὶ Φανίας φησὶ) « τὸ δὲ ἐν Ἰνδοῖς τριχῶδές ἐστι. »

E LIBRIS INCERTIS.

29.

Idem p. 54, E: Φανίας ἐν τοῖς Περὶ φυτῶν φησί· « Τραγήματος ἔχει χώραν, ἁπαλὰ μέν, ὦχρος, κύαμος, ἐρέβινθος· ξηρὰ δέ, ἑφθὰ καὶ φρυκτὰ σχεδὸν τὰ πλεῖστα.

Idem II, p. 58, D: Φανίας δὲ ἐν τοῖς Φυτικοῖς φησι· « Τῆς ἡμέρου μαλάχης ὁ σπερματικὸς τύπος καλεῖται πλακοῦς, ἐμφερὴς ὢν αὐτῷ· τὸ μὲν γὰρ κτενῶδες ἀνάλογον καθάπερ ἡ τοῦ πλακοῦντος κρηπίς, κατὰ μέσον δὲ τοῦ πλακουντικοῦ ὄγκου τὸ κέντρον ὀμφαλικόν. Καὶ περιληφθείσης τῆς κρηπῖδος ὅμοιον γίνεται τοῖς θαλαττίοις περιγεγραμμένοις ἐχίνοις. »

22.

Hippys Rheginus, cujus meminit Phanias Eresius, Petronis sententiam affert, ex qua centum et octoginta et tres sint mundi, qui invicem se tangant etc. (v. Hippyis fr. 6).

23.

Archytas Tarentinus philosophiam docens celebres discipulos habuit, multosque libros conscripsit. Hunc Phanias (?) Eresius magistrum (?) Empedoclis fuisse ait.

30.

Idem I, p. 29, F : Φησὶ δὲ Φανίας ὁ Ἐρέσιος, Μενδαίους τοὺς βότρυς ἐπὶ τῇ ἀμπέλῳ ῥαίνειν τῷ ἐλατηρίῳ· διὸ γίνεσθαι τὸν οἶνον μαλακόν.

31.

Idem IX, p. 406, C : Μετὰ ταῦτα περιενεχθεισῶν ὀρνίθων τε ὀπτῶν φακῆς τε καὶ πισῶν αὐταῖς χύτραις, ἔτι δὲ τῶν τοιούτων, περὶ ὧν Φανίας ὁ Ἐρέσιος ἐν τοῖς Περὶ φυτῶν τάδε γράφει· « Πᾶσα γὰρ χεδροπώδης ἥμερος φύσις ἐνσπέρματος ἡ μὲν ἑψήσεως ἕνεκα σπείρεται, οἷον ὁ κύαμος, πισός· ἐτνηρὸν γὰρ ἐκ τούτων ἕψημα γίνεται· τὰ δὲ πάλιν αὖθις λεκιθώδη, καθάπερ ἄραχος· τὸ δὲ φακῆς, οἷον ἀφάκη, φακός· τὸ δὲ χόρτου ἕνεκα τῶν τετραπόδων ζώων, οἷον ὄροβος μὲν ἀροτήρων βοῶν, ἀφάκη δὲ προβάτων. »

32.

Idem I, p. 32, A : Περὶ δὲ τῆς τοῦ ἀνθοσμίου οἴνου σκευασίας Φανίας ὁ Ἐρέσιός φησι τάδε· « Γλεύκει παραχεῖται ἐπὶ χοῦς πεντήκοντα εἷς θαλάσσης, καὶ γίνεται ἀνθοσμίας. » Καὶ πάλιν· « Ἀνθοσμίας γίνεται ἐκ νέων ἀμπέλων ἰσχυρότερος ἢ ἐκ παλαιῶν. » Ἑξῆς τέ φησι· « Τὰς ὀμφακώδεις συμπατήσαντες ἀπέθεντο, καὶ ἀνθοσμίας ἐγένετο. »

33.

Idem II, p. 51, E : Φανίας δ' ὁ Ἐρέσιος, ὁ Ἀριστοτέλους μαθητής, τὸν τῆς ἀγρίας συκαμίνου καρπὸν μόρον καλεῖ, ὄντα καὶ αὐτὸν γλυκύτατον καὶ ἥδιστον, ὅτε πεπανθείη. Γράφει δὲ οὕτως· « Τὸ μόρον τὸ βατῶδες, ξηρανθείσης τῆς σφαίρας τῆς συκαμινώδους, σπερματικὰς ἔχει τὰς συκαμινώδεις διαγονάς, καθάπερ ὑποφαινούσας, καὶ διαφυὰς ἔχει ψαθυρὰς καὶ εὐχύμους. »

34.

Idem II, p. 66, D : Φανίας· « Βρωτὰ μὲν ἁπαλὰ τῷ ἐπικαρπίῳ σικυὸς καὶ πέπων ἄνευ τοῦ σπέρματος, πεττόμενον δὲ τὸ περικάρπιον μόνον. Κολοκύντη δὲ ὠμὴ μὲν ἄβρωτος, ἑφθὴ δὲ καὶ ὀπτὴ βρωτή. »

35.

Idem III, p. 84, C, D : Τούτοις εἴ τις ἀντιλέγειν ἔχει, ὅτι μὴ τὸ νῦν κιτρίον λεγόμενον σημαίνεται, σαφέστερα μαρτύρια παρατιθέσθω, καίτοι καὶ Φανίου τοῦ Ἐρεσίου ἔννοιαν ἡμῖν διδόντος, μήποτε ἀπὸ τῆς κέδρου τὸ κεδρίον ὠνόμασται. Καὶ γὰρ τὴν κέδρον φησὶν ἐν πέμπτῳ Περὶ φυτῶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα. Ὅτι δὲ τὸ αὐτὸ τοῦτο καὶ περὶ τὸ κιτρίον ἐστὶ, παντὶ δῆλον.

36.

Etym. M. p. 515, 48 : Κίτριον. Φάνης (sic) ὁ Ἐρέσιος ἔννοιαν ἡμῖν δίδωσι, μήποτε ἀπὸ τῆς κέδρου τὸ κίτριον ὠνόμασται· καὶ γὰρ τὴν κέδρον φασὶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα, ὡς τὸ κίτριον. Ἀθηναῖοι δὲ ἀπὸ τοῦ τόπου αὐτὸ ἐτυμολογοῦσιν.

37.

Schol. Theocrit. VII, 134 : Φανίας δὲ φησὶν οἰναρίζειν, τὸ περιαιρεῖν τῶν οἰναρέων καὶ τρυγᾶν.

38.

Antigonus Mirab. c. 171 (155 Westerm.) : Φανίαν δὲ (sc. ἱστορεῖν φασι) τὴν τῶν Πυράκων λίμνην ὅταν ἀναξηρανθῇ κάεσθαι.

Πυράκων] Συράκων Bentleius; Πυρραίων (in Thessalia Meursius.) Cf. Theophrast. De plant. II, 8. Noster locus item ex opere De plantis peti potuit.

39.

Id. ibid. c. 186 (171 Westerm.) : Φανίαν δὲ κατά τινας τόπους τῆς Λέσβου καὶ περὶ τῶν Νεανδρίδων τὰς βώλους τὰς τῶν ὄψεων καθηγήσεις γίνεσθαι καὶ χρησίμας, καὶ εἰς ὕδωρ ἐμβληθείσας οὔτε καταδύνειν οὔτε κατατήκεσθαι.

40.

Hesych. v. Κήρυκες : Ἐκαλεῖτο δὲ καὶ γένος ἰθαγενῶν, ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ. Φανίας. Καὶ τοὺς ἐρινάζοντας τοὺς ἐρινοὺς κήρυκας λέγουσιν.

Fortasse Phaniæ Eresii mentio latet apud Eustath. ad Odyss. λ, 522, p. 1697, 60, ubi hæc : Ἐρέσιος δὲ ἱστορεῖ καὶ Πρωτεσιλάῳ δοθῆναι μνήμονα Δάρδανον Θετταλὸν, δοθέντος χρησμοῦ Φυλάκῳ τῷ πατρὶ, ἀναιρεθῆναι εἰ προπηδήσει· ὃ καὶ γέγονε.

Epigrammata Phaniæ, nescio cujus, leguntur in Brunckii Anal. Vet. Poet. Gr. tom. II, p. 52 sqq. Jacobs. Anthol. tom. II, p. 53 sqq.

CLEARCHUS SOLENSIS.

Clearchus (*) patriam habuit Solos, non Ciliciæ illam sed Cypri urbem, uti ipse auctor declarat fr. 25, ubi de Cypri regulis loquens iterum ac sæpius utitur verbis παρ' ἡμῖν. Cujus vim testimonii non erat cur addubitaret J. B. Verraert. in Diatribe inaugurali de Clearcho Solensi (Gandavi 1828), p. 4, propterea quod Clearchus ubique Σολεὺς appellatur, Diogenes Laertius (I, 51) vero dicit: Καὶ εἰσὶν οἱ μὲν ἔνθεν (sc. ex urbe Ciliciæ) Σολεῖς, οἱ δ' ἀπὸ Κύπρου Σόλιοι. Ejusmodi enim distinctiones sæpenumero sunt inania grammaticorum commenta, et quod ad modo memoratam attinet, aperte Diogeni refragatur Stephanus Byzantius, qui de Solis Ciliciæ sermonem faciens ait: ὁ πολίτης Σολεὺς καὶ Σόλιος. — Magistro Clearchus usus est Aristotele, quod tum aliis locis declaratur, tum vero fr. 46 ex Athenæo p. 701, C, ubi: Κλέαρχος ὁ Σολεὺς οὐδενὸς δεύτερος τῶν τοῦ σοφοῦ Ἀριστοτέλους μαθητῶν, et fragm. 69, ubi Josephus dicit: Κλέαρχος ὁ Ἀριστοτέλους ὢν μαθητὴς καὶ τῶν ἐκ περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος. Præterea de vita Clearchi nihil constat. — Scripta Clearchi laudantur hæc:

1. Βίοι, libris minimum VIII, fr. 1—24.
2. Γεργίθιος (De adulatoribus), fr. 25. 26.
3. Περὶ φιλίας, lib. min. II, fr. 30. 31.
4. Ἐρωτικά, lib. min. II, fr. 32—42.
5. Πλάτωνος ἐγκώμιον, fr. 43.
6. Περὶ τῶν ἐν τῇ Πλάτωνος πολιτείᾳ μαθηματικῶς εἰρημένων, fr. 44.
7. Ἀρκεσιλᾶς, fr. 44 a.
8. Περὶ παροιμιῶν lib. II, fr. 45—60.
9. Περὶ γρίφων lib. II, fr. 61—68.
10. Περὶ ὕπνου, lib. min. II, fr. 69.
11. Περὶ νάρκης, fr. 70.
12. Περὶ πανικοῦ, fr. 71.
13. Περὶ σκελετῶν, lib. min. II, fr. 72.
14. Περὶ τῶν ἐνύδρων, fr. 73.
15. Περὶ θινῶν, fr. 74.

[16. Περὶ ᾠῶν? fr. 74 a]
[17. Τακτική fr. 75.]

(*) Distinguendus a nostro Clearcho est Clearchus comicus, quem novimus ex Athenæo VI, p. 218, B; III, p. 109, D; VI, p. 258, B; X, p. 420, D; VIII, p. 364, F; III, p. 107, E; IX, p. 381, E; I, p. 5, F; Bekkeri Anecd. p. 1208. V. Meinek. Fragm. Com. I, p. 490 et IV, p. 562. — *Clearchus rhetor*, qui olim citabatur ex Rutilio Lupo init., est *Cleochares*, monente Ruhnkenio. — *Clearchus*, quem Clemens Alex. Strom. I, p. 13 in Milesiorum Didymæo sepultum dicit, neque statuarius neque scriptor est, uti putarunt, sed corrupta vox; legi debet Κλέοχος, uti monebo ad Mæandrii fragm. 5. Reliquos homines, quibus Clearchi nomen, recensere ad nos nihil attinet. V. Verraert. l. l. p. 111 sqq.

Scripta quorum titulos ignoramus, vide in fr. 76 sqq. Cf. not. ad fr. 44 a.

Inter opera, quæ modo recensuimus, ne unum quidem est quod historicum jure dicere licet. Quodsi nihilominus Clearcho locum in hoc volumine concessimus, ita tamen ut paucissimis rem absolveremus, movit nos quod auctor in libris quæ ad philosophiam moralem pertinent doctrinam suam largissima exemplorum ex historia petitorum copia illustravit atque major pars fragmentorum istius modi exemplis absumitur.

Historicum quidem opus esse videri possit plurimisque esse visum est illud, quod Βίοι vel Περὶ βίων inscribitur. Qua in sententia etiam Verraertius perstitit p. 115: « Ubi dico, inquit, Clearchum Περὶ βίων scripsisse, hoc non ita accipiendum est, ac si scripsisset de diversis vitæ generibus, θεωρητικοῦ, πρακτικοῦ, ἡδονικοῦ, sed eum scripsisse opus historicum, βίους ἀνδρῶν. » Quod quam temere dictum sit, docent fragmenta, quæ ad ordinem quendam historicum sive virorum sive etiam populorum revocare frustra tentaveris. Nimirum e libro *primo* inter alia sermo erat de parasitis (fr. 1), ex *secundo* affertur Euxithei Pythagorei sententia de anima pœnæ causa corpori ἐν τῷ δεῦρο βίῳ illigata deque vita usque ad naturalem ejus exitum toleranda (fr. 2). Alterum ejus libri fragmentum est de Lacedæmoniis priscæ vitæ κόσμον cum enervi permutantibus mollitie ac luxuria. In eodem argumento versantur quæ e sequentibus libris supersunt. Nam e libro *tertio* laudatur fragmentum de Parrhasio aliisque luxui deditis (fr. 4), libro *quarto* agitur περὶ τρυφῆς Medorum, Lydorum, Milesiorum, Colophoniorum, Scytharum, Tarentinorum, Dionysii junioris (fr. 5—10); libro *quinto* de mensis Siculis sumptuosis (fr. 11), de Cantabari Persa, de Sagari Mariandyno, viris ob turpem vitam contemnendis (fr. 12, 13), et de Clearchi Eudæmonici ineptiis (fr. 14). Quibus e libro *octavo* accedit locus de Gorgia ob sobrietatem longævissimo (fr. 15). Reliqua, quibus libri numerus non additur, longe plurima in iisdem versantur argumentis. Manu igitur in eam ducimur sententiam, ut Clearchum putemus in Βίων opere diversa genera vitarum, quibus indulgere homines student, eo maxime consilio descripsisse, ut vim salutarem quam sobrietatis studium, et perniciosam quam luxuria aliæque pravæ cupiditates in fortunam virorum

populorumque exerceant, ostenderet atque sic vitæ optime instituendæ viam monstraret. Certius tamen quiddam statui vix potest, quum fragmenta tantum non omnia fluxerint ex Athenæo Dipnosophista, qui quum ea tantum attulerit, quæ ad rem suam facerent, minime inde sequitur reliqua Clearchi omnia ejusdem fuisse generis.

Ceterorum operum argumenta ipsis reliquiis satis declarantur. Quæ utique virum magna doctrinæ varietate instructum produnt. Eum multa peripateticæ doctrinæ decreta pervertisse (πολλὰ τοῦ περιπάτου παρέτρεψεν) testatur Plutarchus (fr. 76). Oratio non caret jucunditate quadam, at non nativa illa, sed aliunde allata et affectata. Denique Schweighæuserus, severius ille quidem at non prorsus inique, ita judicat (ad Athen. XIII, p. 701, C): » Clearchum... sæpius fatuum scriptorem et partim in exaggerandis partim in contorquendis rebus, quas attingit, ineptum deprehendimus. » Cf. Idem in Indice v. Clearchus et passim in Commentariis.

BIOI.

E LIBRO PRIMO.

1.

Athenæus VI, p. 234, F: Κλέαρχος δ' ὁ Σολεὺς, εἷς δ' οὗτος τῶν Ἀριστοτέλους ἐστὶ μαθητῶν, ἐν τῷ πρώτῳ τῶν Βίων τάδε γράφει· « Ἔτι δὲ παράσιτον νῦν μὲν τὸν ἄτιμον, τότε δὲ τὸν εἰς τὸ συμβιοῦν κατειλεγμένον. Ἐν γοῦν τοῖς παλαιοῖς νόμοις αἱ πλεῖσται τῶν πόλεων ἔτι καὶ τήμερον ταῖς ἐντιμοτάταις ἀρχαῖς συγκαταλέγουσι παρασίτους. »

ἄτιμον] sic pro vulgata ἕτοιμον scribendum esse viderunt Piersonus ad Mœr. p. 332 et Coray. ap. Schweigh. ad h. l. et Prellerus ad Polemonem p. 120, ubi hæc: « Ceterum Clearchus non de sacerdotalibus illis epulonibus, de quibus sunt cetera Athenæi testimonia (e Polemone petita) loqui videtur, verum de iis qui vulgo dicebantur ἀείσιτοι. Cf. Aristotelis Resp. Athen. fr. 47 b.; Thom. Mag. p. 280 ed. Ritsch., Mœris p. 322 Piers.: Παρασίτους, τοὺς δημοσίᾳ σιτουμένους ἐν τῷ πρυτανείῳ Ἀττικοί, quales erant præter prytanes legatosque peregrinos sacerdotes Eleusinii, alii. Cf. Corp. Inscrr. n. 190 sqq., Westermann. De publ. Athen. honor. (Lips. 1830) p. 45 sqq. »

E LIBRO SECUNDO.

2.

Idem IV, p. 157, C: Εὐξίθεος ὁ Πυθαγορικὸς, ὥς φησι Κλέαρχος ὁ περιπατητικὸς ἐν δευτέρῳ Βίων, ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν, καὶ διείπασθαι τὸν θεὸν, ὡς, εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις, ἕως ἂν ἑκὼν αὐτοὺς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις. Διὸ πάντας, εὐλαβουμένους τὴν τῶν κυρίων ἀνάτασιν, φοβεῖσθαι τοῦ ζῆν ἑκόντας ἐκβῆναι, μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον ἀσπασίως προΐστασθαι (προσίεσθαι Casaub.), πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης.

Euxitheus Pythagoreus aliunde non notus. Probabile est eundem esse atque Dexitheum, quem inter celebres Pythagoreos memorat Iamblich. V. Pyth. § 265 sqq.

3.

Idem XV, p. 681, C: Κλέαρχος δ' ἐν δευτέρῳ Βίων, « Ὅρα, φησὶ, τοὺς τὸ κοσμοσάνδαλον ἀνευρόντας (ἀνείροντας?) Λακεδαιμονίους, οἳ τὸν παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. Διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ·

Οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε,
νῦν δ' ὁμηρεύουσ' ἔχοντες πορφυροῦς κεκρυφάλους; »

Cf. Æschines Contra Ctesiphontem p. 72, 33 Steph.

E LIBRO PRIMO.

1.

Clearchus Solensis, unus ille ex Aristotelis discipulis, Vitarum libro primo scribit hæc: « Præterea *parasitum* nunc quidem hominem vocant vilem et ignobilem, olim vero eum qui esset ad convictum cooptatus. Certe vetustis legibus pleræque civitates, atque etiam ad hunc diem [nonnullæ] honoratissimis magistratibus accensent Parasitos. »

E LIBRO SECUNDO.

2.

Euxitheus Pythagoricus, ut ait Clearchus Peripateticus secundo libro Vitarum, illigatas dixit esse corpori et terrenæ vitæ animas, pœnæ caussa: et edixisse deum, ni maneant in his donec ipse ultro eos liberasset, fore ut in plura dein gravioraque mala incidant. Quare omnes, veritas dominorum minas illas, cavere ne sponte vita excedant et solam in senectute mortem libenter admittere, persuasos illam animæ liberationem ex dominorum fieri voluntate.

3.

Clearchus secundo libro Vitarum: « Vide, inquit, Lacedæmonios, qui, postquam cosmosandalum invenerunt, conculcato antiquissimo administrandæ reipublicæ ornatu, præcipites ruerunt. Quare commode in eos dixit comicus Antiphanes in Citharista:

Nonne superbiebant olim Lacedæmonii quasi inexpugnabiles,
Nunc vero serviunt utentes purpureis reticulis? »

E LIBRO TERTIO.

4.

Idem XV, p. 687, A : Νῦν δὲ τῶν ἀνθρώπων οὐχ αἱ ὀσμαὶ μόνον, ὥς φησι Κλέαρχος ἐν τρίτῳ Περὶ βίων, ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν ἔχουσαί τι συνεκθηλύνουσι τοὺς μεταχειριζομένους. Ὑμεῖς δ' οἴεσθε, τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν; καίτοι Σαπφὼ, γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ᾐδέσθη τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν, λέγουσα ὧδε· « Ἐγὼ δὲ φίλημ' ἁβροσύναν, καί μοι τὸ λαμπρὸν ἔρως ἀελίω καὶ τὸ καλὸν λέλογχε, » φανερὸν ποιοῦσα πᾶσιν, ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ. Ταῦτα δ' ἐστὶν οἰκεῖα τῆς ἀρετῆς. Παρράσιος δ', ὁ ζωγράφος, καίπερ παρὰ μέλος ὑπὲρ τὴν ἑαυτοῦ τέχνην τρυφήσας, καὶ τὸ λεγόμενον ἐλευθέριον ἐκ ῥαβδίων τινῶν καὶ ποτηρίων ἑλκύσας, λόγῳ γοῦν ἀντελάβετο τῆς ἀρετῆς, ἐπιγραψάμενος τοῖς ἐν Λίνδῳ πᾶσιν αὐτοῦ ἔργοις·

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψε,
Παρράσιος.

Ὧ κομψός τις, ὡς ἐμοὶ δοκεῖ, ὑπεραλγήσας ῥυπαίνοντι τὸ τῆς ἀρετῆς ἁβρὸν καὶ καλὸν, ἅτε φορτικῶς μετακαλεσαμένῳ εἰς τρυφὴν τὴν δοθεῖσαν ὑπὸ τῆς τύχης χορηγίαν, παρέγραψε τὸ Ῥαβδοδίαιτος ἀνήρ. Ἀλλ' ὅμως διὰ τὸ τὴν ἀρετὴν φῆσαι τιμᾶν ἀνεκτέον. Ταῦτα μὲν ὁ Κλέαρχος.

Idem XII, p. 543, C : Οὕτω δὲ παρὰ τοῖς ἀρχαίοις τὰ τῆς τρυφῆς καὶ τῆς πολυτελείας ἠσκεῖτο, ὡς καὶ Παρράσιον τὸν ζωγράφον πορφύραν ἀμπέχεσθαι, χρυσοῦν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχοντα, ὡς ἱστορεῖ Κλέαρχος ἐν τοῖς Βίοις. Οὗτος γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν τρυφήσας λόγῳ τῆς ἀρετῆς ἀντελαμβάνετο, καὶ ἐπέγραφε τοῖς ὑφ' αὐτοῦ ἐπιτελουμένοις ἔργοις·

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψε.

Καί τις, ὑπεραλγήσας ἐπὶ τούτῳ, παρέγραψε, Ῥαβδοδίαιτος ἀνήρ. Ἐπέγραψε δὲ ἐπὶ πολλῶν ἔργων αὐτοῦ καὶ τάδε·

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψε,
Παρράσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
Οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς νιν ἔφυσε
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

E LIBRO QUARTO.

5.

Athenæus XII, p. 514, D : Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τετάρτῳ Βίων προειπὼν περὶ τῆς Μήδων τρυφῆς, καὶ ὅτι διὰ ταύτην πολλοὺς εὐνουχίσαιεν τῶν περικτιόνων, ἐπιφέρει καὶ τὴν παρὰ Μήδων γενέσθαι Πέρσαις μηλοφορίαν μὴ μόνον ὧν ἔπαθον τιμωρίαν, ἀλλὰ καὶ τῆς τῶν δορυφορούντων τρυφῆς εἰς ὅσον ἦλθον ἀνανδρίας ὑπόμνημα. Δύναται γὰρ, ὡς ἔοικεν, ἡ παράκαιρος ἅμα καὶ μάταιος αὐτῶν περὶ τὸν βίον τρυφὴ καὶ τοὺς ταῖς λόγχαις καθωπλισμένους ἀγύρτας ἀποφαίνειν. Καὶ προελθὼν δὲ γράφει· « Τοῖς γοῦν πορίσασί τι αὐτῷ ἡδὺ βρῶμα διδοὺς ἆθλα τοῦ πορισθέντος,

---

E LIBRO TERTIO.

4.

Nunc vero hominum non odores solum, ut ait Clearchus tertio libro De vitis, sed et colores, luxuriosum quidpiam habentes, effeminant hos qui illos tractant. Vos vero putatisne elegantiam absque virtute delicati quidquam habere? Atqui Sappho, quum vere quidem mulier esset, eademque poetria, tamen verita est honestatem ab elegantia separare, ita dicens : « Ego amo elegantiam et mihi amor lucis et splendorem et honestatem sortitus est, » testatum faciens omnibus, vitæ amorem apud ipsam et splendorem et honestatem habere : sunt autem hæc cum virtute conjuncta. « Parrhasius vero pictor, quamquam præter modum supra artem suam magnificus et arrogans, et liberalem quæ dicitur sortem vitamque ex bacillis quibusdam et poculis ducens, verbo tamen virtutem sibi vindicavit, quum omnibus suis quæ Lindi sunt operibus hæc inscriberet :

Elegantis vir vitæ virtutemque colens hæc pinxit
Parrhasius.

Cui facetus aliquis, indignatus, puto, quod virtutis splendorem pulchritudinemque pollueret, ut qui, quas fortuna ei dederat opes, illas arroganter ad luxuriam revocasset : mutato verbo pro ἁβροδίαιτος ascripsit ῥαβδοδίαιτος ἀνήρ. Verum, quoniam tamen virtutem se colere ait, ferendus. » Hæc quidem Clearchus.

Adeo vero in usu apud veteres fuit luxuria et magnificentia, ut etiam Parrhasius pictor purpura amictus incederet, aureamque coronam in capite gestans, ut narrat Clearchus in Vitis. Hic enim præter modum et supra pictoris sortem luxurians, verbis virtutem professus est, et in operibus a se confectis inscribere consueverat :

Elegantis vir vitæ, virtutemque colens, hocce pinxit.

Qua inscriptione indignatus aliquis, pro eo quod ille ἁβροδίαιτος ait, ῥαβδοδίαιτος ascripsit (quasi diceret *baculo vivens*). Multis vero suorum operum etiam hos versus inscripsit :

Elegantis vir vitæ virtutemque colens hæc pinxit
Parrhasius, cui patria est inclyta Ephesus.
Nec patris oblitus sum Euenoris qui me genuit
legitimum, Græcorum primas in arte ferentem.

E LIBRO QUARTO.

5.

Clearchus Solensis, quarto libro Vitarum, postquam de Medorum luxuria verba fecit, a quibus ea caussa multos, ait, e circumvicinis castratos esse, subjicit deinde : « a Medis acceptam melophoriam Persis fuisse non modo ultionem eorum quæ passi essent, verum etiam admonitionem, quæ (Medos) commonefaceret pristinæ satellitum mollitiei, quousque effeminati animi fuissent delapsi. Potest enim, ut videtur, immodica illorum et stolida in omni vita mollities etiam ex hominibus lanceis armatis

οὐχ ἑτέραις ἡδύνων ταῦτα τιμαῖς παρετίθει, πολὺ δὲ μᾶλλον αὐτὸς ἀπολαύειν αὐτῶν, νοῦν ἔχων· τοῦτο μὲν γάρ ἐστιν ὁ λεγόμενος, οἶμαι, καὶ Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος. »

Idem XII, p. 529, D : Κλέαρχος δὲ, περὶ τοῦ Περσῶν βασιλέως διηγούμενος, ὅτι « τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶμα ἆθλα ἐτίθει, νοῦν [οὐχ] ἔχων· τοῦτο γάρ ἐστιν ὁ λεγόμενος οἶμαι Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος· ὅθεν ὁ πάντων εὐδαιμονέστατος Σαρδανάπαλλος, παρ' ὅλον τὸν βίον τιμήσας τὰς ἀπολαύσεις, καὶ τελευτήσας δείκνυσιν ἐν τῷ τοῦ μνήματος τύπῳ τοῖς δακτύλοις, οἵου καταγέλωτός ἐστιν ἄξια τὰ τῶν ἀνθρώπων πράγματα, οὐκ ἄξια ὄντα ψόφου δακτύλων, ὃν πεποίηται ** ποιούμενος, δὶς ἐν χορῷ (καὶ ὡς οὐδενὶ ἐν χώρῳ ?), ἡ περὶ τὰ λοιπὰ σπουδή. Φαίνεται οὖν (φ. μέντοι οὐκ ?) ἄπρακτος γενόμενος Σαρδανάπαλλος· καὶ γὰρ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι « Σαρδανάπαλλος Ἀνακυνδαράξεω Ἀγχιάλην ἔδειμε καὶ Ταρσὸν μιῇ ἡμέρῃ, ἀλλὰ νῦν τέθνηκεν. »

Zenobius III, 41 : Διὸς ἐγκέφαλος; ἐπὶ τῶν ἡδυπαθούντων ἡ παροιμία τέτακται. Κλέαρχος δὲ ἐν τῷ πέμπτῳ (τετάρτῳ ?) Περὶ βίων φησὶ τὰ πολυτελῆ βρώματα παρὰ τοῖς Πέρσαις Διὸς καὶ βασιλέως ἐγκέφαλον καλεῖσθαι. Inter reliquos qui proverbii meminerunt, Cléarchi mentionem facit Hesychius : Διὸς ἐγκέφαλος, ἣν Κλέαρχός φησιν εἰρῆσθαι, οἷον ἐπὶ τῶν ἄγαν θείων. Cf. fr. 18

6.

Athen. XII, p. 515, E : Κλέαρχος δ' ἐν τῇ τετάρτῃ Περὶ βίων « Λυδοὶ (φησὶ) διὰ τρυφὴν παραδείσους κατασκευασάμενοι, καὶ κηπαίους αὐτοὺς ποιήσαντες ἐσκιατροφοῦντο, τρυφερώτερον ἡγησάμενοι τὸ μηδ' αὐτοῖς ὅλως ἐπιπίπτειν τὰς τοῦ ἡλίου αὐγάς. Καὶ τέλος πόρρω προάγοντες ὕβρεως, τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τὸν τόπον τὸν διὰ τὴν πρᾶξιν Ἁγνεῶνα κληθέντα συνάγοντες ὕβριζον. Καὶ τέλος τὰς ψυχὰς ἀποθηλυνθέντες ἠλλάξαντο τὸν τῶν γυναικῶν βίον, διόπερ καὶ γυναῖκα τύραννον ὁ βίος εὕρετο αὐτοῖς, μίαν τῶν ὑβρισθεισῶν, Ὀμφάλην· ἥτις πρώτη κατῆρξε μὲν τῆς εἰς Λυδοὺς πρεπούσης τιμωρίας. Τὸ γὰρ ὑπὸ γυναικὸς ἄρχεσθαι ὑβριζομένους σημεῖόν ἐστι βίας. Οὖσα οὖν καὶ αὐτὴ ἀκόλαστος, καὶ ἀμυνομένη τὰς γενομένας αὐτῇ πρότερον ὕβρεις, τοῖς ἐν τῇ πόλει δούλοις τὰς τῶν δεσποτῶν παρθένους ἐξέδωκεν, ἐν ᾧ τόπῳ πρὸς ἐκείνων ὑβρίσθη· εἰς τοῦτον οὖν συναθροίσασα μετ' ἀνάγκης, συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας. Ὅθεν οἱ Λυδοὶ, τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι, τὸν τόπον καλοῦσι [γυναικῶν ἀγῶνα] γλυκὺν ἀγκῶνα. Οὐ μόνον δὲ Λυδῶν γυναῖκες ἄφετοι οὖσαι τοῖς ἐντυχοῦσιν, ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων, ἔτι δὲ τῶν περὶ Κύπρον, καὶ πάντων ἁπλῶς τῶν ἑταιρισμῷ τὰς ἑαυτῶν κόρας ἀφοσιούντων, παλαιᾶς τινος ὕβρεως ἔοικεν εἶναι πρὸς ἀλήθειαν ὑπόμνημα καὶ τιμωρία. Πρὸς ἣν εἷς τῶν Λυδῶν εὐγενὴς ἀνὴρ ὁρμήσας, καὶ τῇ παρ' αὐτοῖς Μίδου βασιλείᾳ βαρυνθεὶς, τοῦ μὲν Μίδου ὑπ' ἀνανδρίας καὶ τρυφῆς καὶ ἐν πορφύρᾳ κειμένου καὶ ταῖς γυναιξὶν ἐν τοῖς ἱστοῖς συνταλασιουργοῦντος, Ὀμφάλης δὲ πάντας τοὺς συγκατακλιθέντας

---

meros facere agyrtas. » Tum in progressu libri ait : « Iis igitur qui delicatiorem aliquem cibum ei excogitaverunt, præmia dans inventi, non aliis honoribus condiens cibos tales apponebat, sed ipse solus his fruebatur; quæ ejus sapientia erat. Hoc enim est, opinor, quod dicitur et *Jovis* simul et *regis cerebrum*. »

Clearchus, ubi de Persarum rege verba facit, aitque « his qui suaviorem aliquem cibum ei invenissent præmia ab eo proposita esse, (non) prudenter faciente; est enim hoc, puto, quod dicitur Jovis simul et regis cerebrum : » hæc deinde subjicit : « Quare omnium felicissimus Sardanapallus, postquam tota vita voluptates coluit, etiam post mortem forma in sepulcrali monumento expressa digitis ostendit, quam sint deridendæ omnes res humanæ, non valere scilicet digitorum crepitum, quem faciens repræsentatur, et quam nihili sit studium circa reliqua. Apparet tamen non prorsus nihil rerum gessisse Sardanapallum. Etenim monumento ejus inscripta hæc verba sunt : « Sardanapallus, Anacyndaraxæ filius, Anchialen condidit et Tarsum uno die : at nunc mortuus est. »

Jovis cerebrum : in eos qui laute vivunt jactatur proverbium. Clearchus vero, libro quinto Vitarum scribit opiparas ac lautas epulas apud Persas Jovis et Regis cerebrum appellatas.

6.

Clearchus quarto libro De vitis ita scribit : « Lydi, vitæ mollitie soluti, viridaria instruxere, quibus pro hortis utentes umbram sectabantur; delicatius existimantes, si omnino solis radiis nullis ferirentur. Ad extremum vero eo progressi sunt contumeliæ, ut aliorum uxoribus et virginibus certum in locum coactis, qui ex ea re Hagneon nominatus est, vim inferrent. Denique animis quum essent prorsus effeminatis, virilem vitam muliebri mutarunt. Itaque reginam etiam tyrannicam progenuit illorum ætas, unam ex his quæ vim passæ erant, Omphalen : quæ prima exorsa est meritas a Lydis pœnas exigere. Nam feminæ imperio parere, quæ contumelia afficit subditos, satis argumenti est imperii per vim parati. Hæc igitur quum et ipsa per se feroci esset ingenio, et ulcisci vellet contumelias sibi olim illatas, servis qui in civitate erant filias dominorum matrimonio junxit eodem in loco, ubi ipsa ab illis contumeliam passa erat. In hunc locum per vim congregatas dominas conclusit una cum servis. Quare Lydi acerbitatem rei indignitatemque verbo lenientes, locum illum vocant, *dulcem cubitum*. Nec vero solæ Lydorum mulieres libidini cujusvis prostitutæ, sed et Locrorum Epizephyriorum itemque Cypriorum, et omnino omnium qui meretriciæ consuetudini filias suas consecrant, verum si quæris, videntur esse admonitio et ultio pristinæ cujusdam quæ illos populos afflixisset contumeliæ. Adversus illam igitur coortus unus e Lydis vir nobilis, Midæ etiam apud ipsos imperio offensus; quum Midas ignavus et deliciis torpens in purpura jaceret, et cum mulieribus lanificio operam daret, Omphale autem omnes qui cum ipsa

αὐτῇ ξενοκτονούσης, ἀμφοτέρους ἐκόλασε, τὸν μὲν ὑπ' ἀπαιδευσίας κεκωφημένον τῶν ὤτων ἐξελκύσας, ὃς διὰ τὴν τοῦ φρονεῖν ἔνδειαν τοῦ πάντων ἀναισθητοτάτου ζῴου τὴν ἐπωνυμίαν ἔσχε· τὴν δὲ * * »

Γλυκὺν ἀγκῶνα] Cf. Hesych. s. h. v : Κλέαρχος δέ φησι, τοὺς Αἰγυπτίους ἐξυβρίζειν εἰς τὰς τῶν καταδεεστέρων γυναῖκας καὶ παρθένους, καὶ τὸν τόπον, ἐν ᾧ ταῦτα ἔδρων, ὀνομάσαι Γλυκὺν ἀγκῶνα. Ubi Αἰγυπτίους Hesychius pro Λυδοὺς ponit miscens diversa. Vide Zenobium II, 92 ibique interpretes p. 55, coll. p. 470, 7 et 486,6. Cf. fr. 22.

7.

Idem XII, p. 524, B : Κλέαρχος δ' ἐν τετάρτῳ, ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφήν, διαδοῦναι καὶ τοῖς πλησιοχώροις, ἔπειτ' ὀνειδιζομένους λέγειν ἑαυτοῖς· « Οἴκοι τὰ Μιλήσια κἀπιχώρια, καὶ μὴ 'ν τῷ μέσῳ. »

8.

Idem XII, p. 524, C : Καὶ περὶ Σκυθῶν δ' ἑξῆς ὁ Κλέαρχος τάδε ἱστορεῖ· « Μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν· εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν διὰ τὴν ὕβριν. Ἐτρύφησαν μὲν γὰρ ὡς οὐδένες ἕτεροι, τῶν πάντων εὐροίας καὶ πλούτου καὶ τῆς λοιπῆς αὐτοὺς χορηγίας κατασχούσης. Τοῦτο δὲ δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. Τρυφήσαντες δέ, καὶ μάλιστα δὴ καὶ πρῶτοι πάντων τῶν ἀνθρώπων ἐπὶ τὸ τρυφᾶν ὁρμήσαντες, εἰς τοῦτο προῆλθον ὕβρεως, ὥστε πάντων τῶν ἀνθρώπων, εἰς οὓς ἀφίκοιντο, ἠκρωτηρίαζον τὰς ῥῖνας· ἀφ' ὧν οἱ ἀπόγονοι μεταστάντες, ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. Αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρακῶν τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον τῶν περιοίκων γυναῖκας ἐποίκιλλον τὰ σώματα, περόναις γραφὴν ἐνεῖσαι. Ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ ὑβρισθεῖσαι τῶν Θρακῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφοράν, προσαναγραψάμεναι τὰ λοιπὰ τοῦ χρωτός, ἵν' ὁ τῆς ὕβρεως καὶ τῆς αἰσχύνης ἐπ' αὐταῖς χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. Πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν, ὥστε οὐδένων ἄδακρυς ἡ τῆς δουλείας ὑπουργία γιγνομένη, διήγγειλεν εἰς τοὺς ἐπιγιγνομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, οἵα τις ἦν. Διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον καὶ τὰς κόμας περιεσπάσθησαν παντὸς ἔθνους, οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι προσηγόρευσαν. »

9.

Idem XII, p. 522, D : Ταραντίνους δέ φησι Κλέαρχος ἐν τετάρτῳ Βίων, ἀλκὴν καὶ δύναμιν κτησαμένους, εἰς τοσοῦτον τρυφῆς προελθεῖν, ὥστε τὸν ὅλον χρῶτα παραλεαίνεσθαι, καὶ τῆς ψιλώσεως ταύτης τοῖς λοιποῖς κατάρξαι. « Ἐφόρουν δέ, φησί, καὶ παρυφὴν διαφανῆ πάντες, οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. Δεύτερον δ' ὑπὸ τῆς τρυφῆς εἰς ὕβριν ποδηγηθέντες ἀνάστατον μίαν πόλιν Ἰαπύγων ἐποίησαν, Καρβίναν, ἐξ ἧς παῖδας καὶ παρθένους καὶ τὰς ἐν ἀκμῇ γυναῖκας ἀθροίσαντες εἰς τὰ τῶν Καρβινατῶν ἱερὰ σκηνοποιησά-

---

concubuerant hospites interficeret, de ambobus pœnas sumpsit : illi quidem, rudi homini et stolido, aures in longum extrahens; cui, quoniam sensu communi carebat, stupidissimi omnium animalium cognomen impositum est : hanc vero * * »

7.

Clearchus quarto libro ait, Milesios Colophoniorum luxuriam æmulatos, eandèm finitimis etiam tradidisse; deinde quum id illis exprobraretur, dixisse ipsos sibi : « Domi Milesia et patria, non in medio. »

8.

Ibidem deinde Clearchus de Scythis hæc tradit : « Una legibus communibus primum usa erat gens Scytharum; deinde rursus omnium fuerunt miserrimi mortalium ob contumeliam injuriamque. Luxuriæ enim dediti erant, ut nemò alius populus magis, quum omnium rerum successu uterentur et divitiis omnibusque copiis abundarent. Apparet id autem etiam nunc ex vestitu et vitæ genere, quo hodieque duces eorum utuntur. Voluptati igitur maxime dediti, et primi omnium hominum in luxuriam effusi, eo progressi sunt contumeliæ, ut, quocumque venirent, nares hominum decurtarent. Quorum nepotes, postquam alio migrarunt, etiam nunc ab ea contumelia nomen habent. Uxores vero Scytharum corpora mulierum Thracicarum, eorum Thracum, qui ab occidente et a septentrione Scythis finitimi sunt, variegarunt, subulis picturas quasdam cuti illarum inserentes. Quare multis post annis Thracicæ mulieres, quæ eam contumeliam passæ erant, proprio quodam modo calamitatis notam deleverunt, reliquam etiam insuper cutem totam picturis variegantes : ut injuriæ et contumeliæ nota quæ illis inerat, varie multiplicata, ornatus nomine deleret probrum. Cunctis autem ita superbe Scythæ imperarunt, ut servitutis ministeria, quæ nemini non lacrimosa erant, etiam posteris declararent, quid illud fuerit quod *a Scythis dictum* vulgo aiunt. Propter multitudinem igitur malorum quæ illos premebant, quoniam ob luctum simul vitæ commoditates et comæ cujusque circumcirca populi abstrahebantur, externi populi tonsuram quæ fit contumeliæ causa, ἀπεσκυθίσθαι vocarunt.

9.

Tarentinos vero, ait Clearchus quarto libro Vitarum, robur et potentiam nactos, eo luxuriæ mollitieique progressos esse, ut totius corporis cutem lævigarent, et hujus deglabrationis exemplum aliis omnibus præirent. « Gestabant vero etiam omnes (inquit) splendidos vestibus prætextos limbos, quibus nunc luxuriat mollis feminarum vita. Deinde a luxuria ad contumeliam injuriamque progressi, eversa Carbina, uno ex Iapygiæ (sive Apuliæ) oppidis, pueros et virgines et in flore ætatis matronas in Carbinatarum delubra congregarunt, in quibus ipsi sedem figentes nuda illorum corpora totum diem spectanda exposuerunt, ut,

μενοι, γυμνὰ πᾶσι τῆς ἡμέρας τὰ σώματα παρεῖχον θεωρεῖν· καὶ ὁ βουλόμενος, καθάπερ εἰς ἀτυχῆ παραπηδῶν ἀγέλην, ἐθοινᾶτο ταῖς ἐπιθυμίαις τὴν τῶν ἀθροισθέντων ὥραν, πάντων μὲν ὁρώντων, μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι προσεδόκων θεῶν. Οὕτω δὲ τὸ δαιμόνιον ἠγανάκτησεν, ὥστε Ταραντίνων τοὺς ἐν Καρβίνῃ παρανομήσαντας ἐκεραύνωσε πάντας. Καὶ μέχρι καὶ νῦν ἐν Τάραντι ἑκάστη τῶν οἰκιῶν, οὓς ὑπεδέξαντο τῶν εἰς Ἰαπυγίαν ἐκπεμφθέντων, τοσαύτας ἔχει στήλας πρὸ τῶν θυρῶν· ἐφ' αἷς καθ' ὃν ἀπώλοντο χρόνον οὔτ' οἰκτίζονται τοὺς ἀποιχομένους, οὔτε τὰς νομίμους χέονται χοάς, ἀλλὰ θύουσι Διὶ Καταιβάτῃ. »

10.

Idem XII, p. 541, C: Καὶ Κλέαρχος δὲ ἐν τῷ τετάρτῳ τῶν Βίων γράφει οὕτως· « Διονύσιος δ' ὁ Διονυσίου, ἁπάσης γενόμενος Σικελίας ἀλάστωρ, εἰς τὴν Λοκρῶν πόλιν παρελθὼν, οὖσαν αὐτῷ μητρόπολιν (Δωρὶς γὰρ ἡ μήτηρ αὐτοῦ τὸ γένος ἦν Λοκρίς), στρώσας οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον ἑρπύλλοις καὶ ῥόδοις, μετεπέμπετο μὲν ἐν μέρει τὰς Λοκρῶν παρθένους· καὶ γυμνὸς μετὰ γυμνῶν οὐδὲν αἰσχύνης παρέλιπεν, ἐπὶ τοῦ στρώματος κυλινδούμενος. Τοιγαροῦν μετ' οὐ πολὺν χρόνον οἱ ὑβρισθέντες, γυναῖκα καὶ τέκνα ἐκείνου λαβόντες, ὑποχείρια ἐπὶ τῆς ὁδοῦ στήσαντες μεθ' ὕβρεως ἐνηκολάσταινον αὐτοῖς· καὶ ἐπεὶ τῆς ὕβρεως πλήρεις ἐγένοντο, κεντοῦντες ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας βελόναις ἀνεῖλον αὐτούς. Καὶ τελευτησάντων τὰ μὲν ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, τὰ δὲ λοιπὰ κρέα νεμησάμενοι, ἐπηράσαντο πάντες τοῖς μὴ γευσαμένοις αὐτῶν· ὅθεν πρὸς τὴν ἀνόσιον ἀρὰν κατήλεσαν αὐτῶν τὰς σάρκας, ἵν' ἡ τροφὴ σιτοποιουμένων κατεδεσθῇ· τὰ δὲ λείψανα κατεπόντωσαν. Αὐτὸς δὲ Διονύσιος τέλος μητραγυρτῶν καὶ τυμπανοφορούμενος οἰκτρῶς τὸν βίον κατέστρεψεν. Εὐλαβητέον οὖν τὴν καλουμένην τρυφὴν, οὖσαν τῶν βίων ἀνατροπὴν, ἁπάντων τε ὀλέθριον ἡγεῖσθαι τὴν ὕβριν. » Cf. Strabo VI, p. 259; Ælian. V. H. IX, 8.

E LIBRO QUINTO.

11.

Idem XII, p. 518, C: Διαβόητοι δέ εἰσιν ἐπὶ τρυφῇ καὶ αἱ τῶν Σικελῶν τράπεζαι, οἵτινες καὶ τὴν παρ' αὐτοῖς θάλατταν λέγουσιν εἶναι γλυκεῖαν, χαίροντες τοῖς ἐξ αὐτῆς γινομένοις ἐδέσμασιν, ὥς φησι Κλέαρχος ἐν πέμπτῳ Βίων.

12.

Idem X, p. 416, B: Κλέαρχος δ' ἐν πέμπτῳ Βίων Καντιβάρι φησὶ τῷ Πέρσῃ, ὁπότε κοπιάσειε τὰς σιαγόνας ἐσθίων, κεχηνότι καθάπερ εἰς ἄψυχον ἀγγεῖον εἰσαντλεῖν τὴν τροφὴν τοὺς οἰκείους. Cantibarim Persam memorat etiam Ælian. V. H. I, 27.

13.

Idem XII, p. 530, C: Κλέαρχος δ' ἐν πέμπτῳ Βίων Σάγαρίν φησι τὸν Μαριανδυνὸν ὑπὸ τρυφῆς σιτεῖσθαι μὲν μέχρι γήρως ἐκ τοῦ τῆς τιτθῆς στόματος, ἵνα μὴ

---

cuicumque libitum esset, is tanquam in miserum gregem insiliens, congregatarum flore suas cupiditates expleret, spectantibus omnibus, maxime vero, quos illi minime cogitabant, diis. Quo flagitio ita indignatum est dei numen, ut, quotquot ex Tarentinis illud scelus admiserant, eos omnes fulmine percussos deleret. Et ad hunc usque diem Tarenti unaquaeque domus, quot illa olim ceperat ex his qui in Iapygiam missi erant, tot cippos habet pro foribus, ad quos cippos, redeunte eo die quo illi perierunt, neque lamentantur mortuos, neque consuetis inferiis honorant, sed Jovi Fulminatori sacra faciunt. »

10.

Clearchus quarto libro Vitarum ita scribit: « Dionysius, Dionysii filius, universæ Siciliæ exsecranda pestis, Locrorum in urbem quum venisset, quæ ei metropolis erat (Doris enim, mater ipsius, genere fuerat Locrensis), domum in urbe amplissimam serpillo et rosis sterni jussit, in quam per vices arcessivit Locrensium virgines: et nudus cum nudis super strato illo sese volvens, nihil ad turpitudinem flagitiumque reliqui fecit. Itaque haud multo post, qui illa contumelia affecti erant, postquam uxorem ejus et liberos in potestatem acceperunt, in via publica prostituerunt, omni contumeliæ lasciviæque genere in eos utentes: tum, expleta libidine, subulis sub manuum unguibus compunctos interemerunt. Mortuorum ossa in mortariis contuderunt; reliquam vero carnem distribuentes, diras imprecati sunt his qui non gustarent; quare, pro scelesta imprecatione, carnes illorum in pistrinis comminuerunt, ut in cibo comederentur ab his qui panem conficerent: reliquias vero in mare projecerant. Ipse vero Dionysius ad extremum stipem Matri Deûm emendicans tympanumque pulsans, misere vitam finivit. Fugienda igitur luxuria, quæ recte τρυφὴ a *frangendo* nominata est, ut quæ vitam omnem evertat, persuasumque habeamus, quovis modo exitiosam esse contumeliam atque injuriam. »

E LIBRO QUINTO.

11.

Deliciarum et luxuriæ nomine celebratæ quoque sunt mensæ Siculorum; qui etiam mare, quod illorum insulam alluit, dulce esse dictitant, gaudentes scilicet cibis quos illud suppeditat, ut ait Clearchus, quinto libro Vitarum.

12.

Clearchus, quinto libro Vitarum, scribit, Cantibaridi Persæ, quoties mandendo defatigatæ essent maxillæ, hianti domesticos cibum in os ingerere solitos, tanquam in vas quoddam inane.

13.

Clearchus, quinto libro Vitarum, Sagarin ait Mariandynum præ mollitie usque ad senectutem cibum e nutricis

μασώμενος πονήσειεν, οὐ πώποτε δὲ τὴν χεῖρα κατωτέρω τοῦ ὀμφαλοῦ προενέγκασθαι.

14.

Idem XII, p. 548, B: Περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν πέμπτῳ Βίων οὕτω γράφει· « Τῶν Εὐδαιμονικῶν καλουμένων Ἀναξάρχῳ, διὰ τὴν τῶν χορηγησάντων ἄγνοιαν περιπεσούσης ἐξουσίας, γυμνὴ μὲν ᾠνοχόει παιδίσκη πρόσηβος, ἡ προκριθεῖσα διαφέρειν ὥρᾳ τῶν ἄλλων, ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν τῶν οὕτως αὐτῇ χρωμένων ἀκρασίαν. Ὁ δὲ σιτοποιὸς, χειρῖδας ἔχων καὶ περὶ τῷ στόματι κημὸν, ἔτριβε τὸ σταῖς, ἵνα μήτε ἱδρὼς ἐπιρρέοι, μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμπνέοι. »

Locum Zenobii (III, 41) ubi Clearchus ἐν πέμπτῳ laudatur de re, quam ex libro quarto Athenæus narrat, vide supra fr. 5.

E LIBRO OCTAVO.

15.

Idem XII, p. 548, D: Πόσῳ γὰρ τούτων βελτίων Γοργίας ὁ Λεοντῖνος, περὶ οὗ φησιν ὁ αὐτὸς Κλέαρχος ἐν τῷ ὀγδόῳ τῶν Βίων, ὅτι διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ φρονεῖν συνεβίωσε. Καὶ ἐπεί τις αὐτὸν ἤρετο, τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν, Οὐδὲν πώποτε, εἶπεν, ἡδονῆς ἕνεκεν πράξας.

E LIBRIS INCERTIS.

16.

Athenæus VIII, p. 344, C: Κλέαρχος δὲ ἐν τοῖς Περὶ βίων φίλιχθύν τινα ἀναγράφων, φησὶν οὕτως· « Τέχνων ὁ παλαιὸς αὐλητὴς, Χάρμου τοῦ αὐλητοῦ τελευτήσαντος, (ἦν δὲ φίλιχθυς,) ἀποπυρίδας ἐπὶ τοῦ μνήματος ἐνήγιζεν αὐτῷ. »

Idem I, p. 4, A: Κλέαρχός φησι Χάρμον τὸν Συρακόσιον εὐτρεπίσθαι στιχίδια καὶ παροιμίας εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων. Εἰς μὲν τὸν ἰχθὺν,

Ἥκω λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος·

εἰς δὲ τοὺς κήρυκας,

Χαίρετε, κήρυκες, Διὸς ἄγγελοι·

εἰς δὲ τὴν χορδὴν,

Ἑλικτὰ, κοὐδὲν ὑγιές·

εἰς δὲ τὴν ὠνθυλευμένην τευθίδα,

Σοφὴ, σοφὴ σύ·

εἰς δὲ τὸ ἐν τοῖς ἑψητοῖς ὡραῖον,

Οὐκ ἀπ' ἐμοῦ σκεδάσεις ὄχλον;

εἰς δὲ τὴν ἀποδεδαρμένην ἔγχελυν,

Οὐ προκαλυπτομένα βοστρυχώδεα.

Τοιούτους πολλούς φησι τῷ Λαρηνσίου παρεῖναι δείπνῳ ὥσπερ συμβολὰς κομίζοντας τὰ ἀπὸ τῶν στρωματοδέ-

---

ore cepisse, ne mandendo fatigaretur: eundemque nunquam infra umbilicum protulisse manum.

14.

De Anaxarcho vero Clearchus Solensis, Vitarum quinto libro, ita scribit: « Anaxarcho, ex eorum numero philosophorum, qui Eudæmonici sunt appellati, postquam per eorum stultitiam, qui eum sua magnificentia sustentarunt, opes est consecutus, vinum fundebat nuda puella pubescens, quæ forma ceteris præstare videbatur, nudans illa, verum si quæris, eorum incontinentiam qui ea ad hoc ministerium usi sunt. Ejusdem pistor manicatus et ore capistrato farinæ massam subigebat, ne sudor stillans influeret, neve pinsens halitu suo afflaret farinam. »

E LIBRO OCTAVO.

15.

Quanto his melior Gorgias Leontinus! de quo idem Clearchus, octavo libro Vitarum, ait: « Quia moderate vixit, fere octoginta annos in prudentiæ convictu transegit; ac si quando ex eo quæreret quispiam, qua vivendi ratione usus, ita commode et integris omnibus sensibus in tam provecta ætate vitam transigeret? respondere solebat: Nihil unquam voluptatis causa faciens. »

E LIBRIS INCERTIS.

16.

Clearchus in Vitarum libris, piscium lurconem quendam memorans, ita scribit: « Technon olim tibicen, quum e vita excessisset Charmon tibicen, qui strenuus fuerat obsonii vorator, apopyride, (i. e. piscium sartagine fervida) tumulo ingesta parentavit mortuo.

Clearchus refert, Charmum Syracusium quibusvis ferculis in cœna appositis versiculos quosdam et adagia lepide accommodasse. Veluti piscibus:

Adsum relicto Ægæo salso pelago.

Buccinis conchis quas κήρυκας (i. e. præcones) Græci vocant:

Salvete, præcones, Jovis nuntii!

Flexuosis agnorum aut hædorum lactibus:

Tortuosa sanique nihil!

Loligini exquisita arte paratæ:

Sapiens tu quidem, sapiens es!

Salsamento ex minutis pisciculis:

Nonne a me turbam dispelles?

Anguillæ excoriatæ:

Non velata teneras cincinnis-ornatas genas.

Tales multos, ait, interfuisse Larensii cœnæ, qui e colle-

σμων γράμματα. Φησὶ δὲ καὶ ὅτι ὁ Χάρμος εἰς ἕκαστον τῶν παρατιθεμένων ἔχων τι πρόχειρον, ὡς προείρηται, ἐδόκει τοῖς Μεσσηνίοις πεπαιδευμένος εἶναι, ὡς καὶ Καλλιφάνης, ὁ τοῦ Παραβρύχοντος κληθείς, ἀρχὰς ποιημάτων πολλῶν ἐκγραψάμενος, ἀνειλήφει μέχρι τριῶν καὶ τεσσάρων στίχων, πολυμαθείας δόξαν προσποιούμενος. Locum hunc exscripsit Suidas v. Ἀθηναῖος et Χάρμος.

Idem I, p. 4, D : Κλεάνθης δὲ ὁ Ταραντῖνος, ὥς φησι Κλέαρχος, πάντα παρὰ τοὺς πότους ἔμμετρα ἔλεγε, καὶ Πάμφιλος δὲ ὁ Σικελὸς, ὡς ταῦτα·

Ἔγχει πιεῖν μοι, καὶ τὸ πέρδικος σκέλος.
Ἀμίδα δότω τις· ἢ πλακοῦντά τις δότω.

Idem I, p. 4, E : Ὅτι Ἀρχέστρατος ὁ Συρακόσιος ἢ Γελῷος ἐν τῇ, ὡς Χρύσιππος ἐπιγράφει, Γαστρονομίᾳ, ὡς δὲ Λυγκεὺς καὶ Καλλίμαχος, Ἡδυπαθείᾳ, ὡς δὲ Κλέαρχος, Δειπνολογίᾳ, ὡς δ' ἄλλοι, Ὀψοποιΐᾳ — ἐπικὸν δὲ τὸ ποίημα, οὗ ἡ ἀρχή·

Ἱστορίης ἐπίδειγμα ποιούμενος Ἑλλάδι πάσῃ...

Idem I, p. 5, F : Κλέαρχος δέ φησι Φιλόξενον προλουόμενον περιέρχεσθαι τὰς οἰκίας, ἀκολουθούντων αὐτῷ παίδων καὶ φερόντων ἔλαιον, οἶνον, γάρον, ὄξος καὶ ἄλλα ἡδύσματα· ἔπειτα εἰσιόντα εἰς τὰς ἀλλοτρίας οἰκίας, τὰ ἑψόμενα τοῖς ἄλλοις ἀρτύειν ἐμβάλλοντα, ὧν ἐστι χρεία, εἶθ' οὕτως ἀνακάψαντα εὐωχεῖσθαι. Οὗτος εἰς Ἔφεσον καταπλεύσας, εὑρὼν τὴν ὀψοπωλίαν κενὴν, ἐπύθετο τὴν αἰτίαν· καὶ μαθὼν ὅτι πᾶν εἰς γάμους συνηγόρασται, λουσάμενος παρῆν ἄκλητος ὡς τὸν νυμφίον. Καὶ μετὰ τὸ δεῖπνον ᾄσας ὑμέναιον, οὗ ἡ ἀρχὴ « Γάμε θεῶν λαμπρότατε » πάντας ἐψυχαγώγησεν. Ἦν δὲ διθυραμβοποιός. Καὶ ὁ νυμφίος, « Φιλόξενε, εἶπε, καὶ αὔριον ὧδε δειπνεῖς; » Καὶ ὁ Φιλόξενος « Ἂν ὄψον, ἔφη, μὴ πωλῇ τις. »

17.

Idem IX, p. 396, E : Κλέαρχος δ' ἐν τοῖς Περὶ βίων, εἰς τοῦτό φησιν ὠμότητος Φάλαριν τὸν τύραννον ἐλάσαι, ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη.

18.

Idem XII, p. 539, B : Κλέαρχος δ' ἐν τοῖς Περὶ βίων, περὶ Δαρείου λέγων τοῦ καθαιρεθέντος ὑπὸ τοῦ Ἀλεξάνδρου, φησίν· « Ὁ Περσῶν βασιλεὺς, ἀθλοθετῶν τοῖς τὰς ἡδονὰς αὐτῷ γνωρίζουσιν, ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν, καὶ καταγωνιζόμενος ἑαυτὸν οὐκ ᾔσθετο πρότερον, ἢ τὸ σκῆπτρον ἕτεροι λαβόντες ἀνεκηρύχθησαν. » Cf. fr. 5.

19.

Zenob. IV, 87 : Λευκηπατίας· Κλέαρχος ἐν τῷ Περὶ βίων φησὶ συμβαίνειν τι περὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς ποιεῖ· εἰρῆσθαι οὖν ἐπὶ τῶν τοιούτων τὴν παροιμίαν.

20.

Zenob. IV, 18 : Τιθωνοῦ γῆρας· ἐπὶ τῶν πο-

---

ctaneorum suorum fasciculis libellos, veluti symbolas, conferebant. Ait etiam, Charmum, quum ad apposita singula fercula, ut paullo ante dictum est, aliquid in promptu haberet, eruditum virum apud Messanenses esse habitum : quod et Calliphani contigit, cui Parabrysontis cognomen, qui, quum multorum carminum et orationum principia in suos commentariolos retulisset, tres aut quattuor versus cujusque memoria tenebat, quibus recitatis multiplicis eruditionis laudem affectabat.

Cleanthes Tarentinus, ut Clearchus refert, in conviviis omnia versibus eloquebatur; pariterque Pamphilus Siculus. Velut ista :

Da quod bibam, et perdicis crus.
Matulam mihi aliquis, aut placentam porrigat.

Archestratus, Syracusius sive Gelous, in opere, cui, Chrysippum si audias, titulus est Gastronomia, quasi dicas Ventri leges; si Lynceum et Callimachum, Hedypathia, id est, Voluptatis institutio; si Clearchum, Deipnologia, i. e de Cœnæ ratione; si alios, Opsopœia, i. e. de Obsoniorum apparatu : est vero carmen hexametris versibus compositum, cujus hoc initium :

Helladi doctrinæ specimen nunc præbeo toti...

Clearchus tradit, Philoxenum, quum in patria, tum in aliis civitatibus, postquam lavasset, domos circumire solitum, servulis comitantibus, qui oleum, vinum, garum, acetum aliaque condimenta ferrent; tum alienas domos ingressum, quæ pro aliis coquebantur, ea ipsum, injectis quæ opus forent, condivisse, eoque labore defunctum epulis accubuisse. Idem quum Ephesum aliquando navigasset, reperissetque vacuum obsonio forum, causam percunctatus, ubi ad nuptias omnia coempta fuisse cognovit, lotus ad sponsi domum perrexit, non invitatus. Tum post cœnam carmen nuptiale canens, cujus erat initium : *Nuptiæ, dearum splendidissima!* mirifice omnes oblectavit : erat enim dithyrambicus poeta. Rogante vero sponso, num postridie rursus apud eum vellet cœnare : Sic sane, inquit, obsonium si nemo vendat.

17.

Clearchus in Vitis scribit, eo sævitiæ progressum esse Phalaridem, ut lactentibus vesceretur infantibus.

18.

Clearchus in libris De vitis, de Dario loquens qui ab Alexandro sublatus est, scribit : « Persarum rex, præmia statuens his qui novas sibi voluptates indicarent, ab omnibus iis deliciis frangi evertique suum imperium passus est : nec prius intellexit ipsum se debellare, quam alii renuntiati sunt sceptrum manu tenentes. »

19.

Albi jecinoris homo] Clearchus libro De vitis auctor est, quorum hepati certum quoddam vitium acciderit, meticulosos reddi. De quibus usurpatum proverbium.

20.

Tithoni senectus] De longævis et decrepitis usurpatum.

λυχρονίων καὶ ὑπεργήρων τέττεται. Ἱστορεῖται δὲ, ὅτι Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος τέττιξ ἐγένετο, ὥς φησι Κλέαρχος ἐν τῷ Περὶ βίων.

Subjicio reliqua quæ probabiliter ad Βίους referenda sunt.

21.

Athenæus I, p. 6, B : Κλέαρχος δὲ Μελάνθιόν φησι τοῦτ' εὔξασθαι, λέγων· « Τιθωνοῦ Μελάνθος ἔοικε βουλεύσασθαι βέλτιον. Ὁ μὲν γὰρ ἀθανασίας ἐπιθυμήσας ἐν θαλάμῳ κρέμαται, πάντων ὑπὸ γήρως ἐστερημένος τῶν ἡδέων· Μελάνθιος δὲ τῶν ἀπολαύσεων ἐρῶν ηὔξατο τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν, ἵν' ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ. » Ὁ αὐτός φησι Πίθυλλον τὸν τένθην καλούμενον οὐ περιγλωττίδα μόνον ὑμενίνην φορεῖν, ἀλλὰ καὶ προσελυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις· καὶ τέλος ἰχθὺν τρίβων ἀπεκάθαιρεν αὐτήν. Μόνος δ' οὗτος τῶν ἀπολαυστικῶν καὶ δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν' ὡς θερμότατον ὁ τρισάθλιος ἀναδιδῷ τῇ γλώττῃ.

22.

Idem XII, p. 540, E : Κλέαρχος δέ φησιν, ὡς Πολυκράτης, ὁ τῆς ἁβρᾶς Σάμου τύραννος, διὰ τὴν περὶ τὸν βίον ἀκολασίαν ἀπώλετο, ζηλώσας τὰ Λυδῶν μαλακά. Ὅθεν τῷ μὲν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ τοῖς Σαμίοις λαύραν ἀντικατεσκεύασεν ἐν τῇ πόλει, καὶ τῶν Λυδῶν ἄνθεσι πάντα ἔπλησε (ἄνθεσιν ἀντεποίησε Dal.) τὰ διαγγελθέντα Σαμίων ἄνθεα. Τούτων δὲ ἡ μὲν Σαμίων λαύρα στενή τις ἦν γυναικῶν δημιουργῶν, πλήθουσα καὶ τῶν πρὸς ἀπόλαυσιν καὶ ἀκρασίαν πάντων βρωμάτων ὧν ὄντως ἐνέπλησε τὴν Ἑλλάδα· τὰ δὲ Σαμίων ἄνθη γυναικῶν καὶ ἀνδρῶν κάλλη διάφορα, ἔτι δὲ τῆς συμπάσης πόλεως ἐν ἑορταῖς τε καὶ μέθαις. Καὶ ταῦτα μὲν ὁ Κλέαρχος*. Cf. fr. 6.

23.

Athenæus XIII, p. 590, C : Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως· « Ἐπαμινώνδας ὁ Θηβαῖος σεμνότερον μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα. »

24.

Idem XIII, p. 611, B : Συνελόντι δὲ εἰπεῖν, κατὰ τὸν Σολέα Κλέαρχον, οὐ καρτερικὸν βίον ἀσκεῖτε, κυνικὸν δὲ τῷ ὄντι ζῆτε· καίτοι τοῦ ζῴου τούτου ἐν τέτταρσι τὴν φύσιν περιττὴν ἔχοντος, ὧνπερ ὑμεῖς τὰ χείρω μερισάμενοι τηρεῖτε.

ΓΕΡΓΙΘΙΟΣ.

25.

Athen. VI, p. 255, C: Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ ἐπιγραφομένῳ Γεργιθίῳ, καὶ πόθεν ἡ ἀρχὴ τοῦ ὀνόματος τῶν κολάκων παρῆλθε, διηγεῖται, καὶ αὐτὸν τὸν Γεργίθιον ὑποτιθέμενος, ἀφ' οὗ τὸ βιβλίον ἔχει τὴν ἐπιγραφὴν, ἕνα γεγονότα τῶν Ἀλεξάνδρου κολάκων. Διηγεῖται δὲ οὕτως· « Τὴν κολακείαν ταπεινὰ ποιεῖν τὰ ἤθη τῶν κολάκων, καταφρονητικῶν ὄντων τῶν περὶ αὐτούς. Σημεῖον δὲ τὸ πᾶν ὑπομένειν εἰδότας οἷα τολμῶσι. Τὰ δὲ τῶν κολακευομένων ἐμφυσωμένων τῇ κο-

---

Ferunt enim Tithonum ex voto, senio deposito, in cicadam mutatum, auctore Clearcho, libro de Vitis.

21.

Clearchus Melanthium ita precatum esse scribit : « Tithono, inquit, Melanthius consultior fuit. Ille enim, quoniam immortalem se fieri concupiverat, in cunis suspensus hæret, omnibus vitæ voluptatibus ob senectutem privatus; Melanthius vero, voluptatis desiderio captus, precatus est, ut volucris longo collo præditi guttur sibi daretur, quo diutius ipsi duraret voluptatis sensus. » Idem Clearchus narrat, Pithyllum, qui Catillo cognominatus est, non solum membraneo tegmine involvisse linguam, verum etiam crustam illi ceu loricam induxisse, luxuriæ causa, et denique piscis affrictu illam repurgasse. « Solusque ille e catillonum numero digitalibus utens cibos comedebat, ut eos quam ferventissimos linguæ tradere hominum miserrimus posset. »

22.

Clearchus scribit : « Polycrates, delicatæ Sami tyrannus, ob vitæ lasciviam periit, quum omne genus mollitiei Lydorum æmularetur. Quare *dulci Anconi*, qui Sardibus vocabatur, apud Samios *Lauram* opposuit in urbe, et Lydorum floribus opposuit, famosos illos Samiorum flores. Erat autem Samiorum Laura vicus quidam in urbe, mulieribus publicis repletus, et omnibus ad voluptatem et intemperantiam facientibus cibis, quibus revera ille implevit Græciam. Sunt autem Samiorum flores, mulierum et virorum excellentes formæ, atque etiam totius civitatis in temulentia et festis diebus et *hilaritas et lætitia*. » Et hæc quidem Clearchus.

23.

Clearchus de Epaminonda ita scribit : « Epaminondas Thebanus his quidem gravior : sed tamen parum decora ratione in colloquiis cum mulieribus de animi sui sententia dimotus est, si quis illud quidem cogitet quod cum Laconis uxore gestum est. »

24.

Ut paucis concludam, quod ait Solensis Clearchus, vos non tolerantiam constantiamque vitæ exercetis, sed caninam revera vitam agitis : quamquam, quum in quattuor rebus excellat canum natura, vos ex his pejora seligentes imitamini.

GERGITHIUS.

25.

Clearchus Solensis in libro quem Gergithium inscripsit, exponit etiam unde initio nomen assentatorum progressum sit. In eo libello ipsum illum Gergithium, cujus nomen titulus præfert, statuit unum ex Alexandri fuisse assentatoribus. Exponit vero ita : « Assentationem, ait, humiles reddere animos moresque assentatorum; quandoquidem illos fere contemnunt hi quibuscum versantur. Argumento esse, quod omnia patiantur, bene gnari quid sit quod illi audeant.

λακείᾳ, χαύνους καὶ κενοὺς ποιοῦντα, πάντων ἐν ὑπεροχῇ παρ' αὐτοῖς ὑπολαμβάνεσθαι κατασκευάζεσθαι.» Ἑξῆς τε διηγούμενος περί τινος μειρακίου, Παφίου μὲν τὸ γένος, βασιλέως δὲ τὴν τύχην, «Τοῦτο (φησὶ) τὸ μειράκιον (οὐ λέγων αὐτοῦ τοὔνομα) κατέκειτο δι' ὑπερβάλλουσαν τρυφὴν ἐπὶ ἀργυρόποδος κλίνης, ὑπεστρωμένης Σαρδιανῇ ψιλοτάπιδι τῶν πάνυ πολυτελῶν. Ἐπεβέβλητο δ' αὐτῷ πορφυροῦν ἀμφίταπον ἀμοργίνῳ καλύμματι περιειλημμένον. Προσκεφάλαια δ' εἶχε τρία μὲν ὑπὸ τῇ κεφαλῇ βύσσινα παραλουργῆ, δι' ὧν ἠμύνετο τὸ καῦμα, δύο δ' ὑπὸ τοῖς ποσὶν, ὑσγινοβαφῆ τῶν Δωρικῶν καλουμένων· ἐφ' ὧν κατέκειτο λευκῇ χλαμύδι.»

«Παραδεδεγμένοι δ' εἰσὶ πάντες οἱ κατὰ τὴν Κύπρον μόναρχοι τὸ τῶν εὐγενῶν κολάκων γένος, ὡς χρήσιμον. Πάνυ γὰρ τὸ κτῆμα τυραννικόν ἐστι. Καὶ τούτων οἷον Ἀρεοπαγιτῶν τινων οὔτε τὸ πλῆθος οὔτε τὰς ὄψεις ἔξω τῶν ἐπιφανεστάτων οἶδεν οὐδείς. Διῃρημένων δὲ διχῇ κατὰ συγγένειαν τῶν ἐν τῇ Σαλαμῖνι κολάκων, ἀφ' ὧν εἰσιν οἱ κατὰ τὴν ἄλλην Κύπρον κόλακες, τοὺς μὲν Γεργίνους, τοὺς δὲ Προμάλαγγας προσαγορεύουσιν. Ὧν οἱ μὲν Γεργῖνοι συναναμιγνύμενοι τοῖς κατὰ τὴν πόλιν ἔν τε τοῖς ἐργαστηρίοις καὶ ταῖς ἀγοραῖς ὠτακουστοῦσι, κατασκόπων ἔχοντες τάξιν, ὅ τι δ' ἂν ἀκούσωσιν ἀναφέρουσιν ἑκάστης ἡμέρας πρὸς τοὺς καλουμένους ἄνακτας. Οἱ δὲ Προμάλαγγες ζητοῦσιν ἀντὶ τῶν ὑπὸ τῶν Γεργίνων προσαγγελθέντων, ὅ τι ἂν ἄξιον εἶναι ζητήσεως δόξῃ, ὄντες τινὲς ἐρευνηταί. Καὶ τούτων οὕτως ἔντεχνος καὶ πιθανὴ πρὸς ἅπαντας ἡ ἔντευξις, ὥστ' ἔμοιγε δοκεῖ, καθάπερ καὶ αὐτοί φασι, παρ' ἐκείνων εἰς τοὺς ἔξω τόπους διαδεδόσθαι τὸ σπέρμα τῶν ἐλλογίμων κολάκων. Καὶ γὰρ οὐχ οἷον μετρίως ἐπὶ τῷ πράγματι σεμνύνονται διὰ τὸ τετιμῆσθαι παρὰ τοῖς βασιλεῦσιν, ἀλλὰ καὶ λέγουσιν ὅτι τῶν Γεργίνων τις, ἀπόγονος ὢν τῶν Τρώων ἐκείνων, οὓς Τεῦκρος ἀπὸ τῶν αἰχμαλώτων καταχτησάμενος εἰς Κύπρον ἔχων ἀπῴκισεν, οὗτος διὰ τῆς παραλίας μετ' ὀλίγων στείλας ἐπὶ τῆς Αἰολίδος κατὰ πύστιν ἅμα καὶ οἰκισμὸν τῆς τῶν προγόνων χώρας, πόλιν οἰκίσειε περὶ τὴν Τρωικὴν Ἴδην, συμπαραλαβών τινας τῶν Μυσῶν· ἣ πάλαι μὲν ἀπὸ τοῦ γένους Γέργινα, νῦν δὲ Γέργιθα κέκληται. Τούτου γὰρ, ὡς ἔοικε, τοῦ στόλου τινὲς ἀποσπασθέντες ἐν τῇ Κυμαίᾳ κατέσχον, ἐκ Κύπρου τὸ γένος ὄντες, ἀλλ' οὐκ ἐκ τῆς Θετταλικῆς Τρίκκης, καθάπερ τινὲς εἰρήκασιν, ὧν ἰατρεῦσαι τὴν ἄγνοιαν, οὐδ' Ἀσκληπιάδαις τοῦτό γε νομίζω δεδόσθαι.»

«Γεγόνασι δὲ παρ' ἡμῖν καὶ ἐπὶ Γλοῦ τοῦ Καρὸς καὶ γυναῖκες ὑπὸ τὰς ἀνάσσας, αἱ προσαγορευθεῖσαι κολακίδες. Ἀφ' ὧν ὑπολιπεῖς τινες εἰς τὸ πέραν ἀφικόμεναι μετάπεμπτοι πρός τε τὰς Ἀρταβάζου καὶ τὰς Μέντορος γυναῖκας, κλιμακίδες μετωνομάσθησαν, ἀπὸ τοιαύτης πράξεως· ταῖς μεταπεμψαμέναις ἀρεσκευόμεναι κλίμακα κατεσκεύαζον ἐξ ἑαυτῶν οὕτως, ὥστ' ἐπὶ τοῖς νώτοις αὐτῶν τὴν ἀνάβασιν γίγνεσθαι καὶ τὴν κατάβασιν ταῖς ἐπὶ τῶν ἁμαξῶν ὀχουμέναις. Εἰς τοῦτο τρυφῆς, ἵνα μὴ ἀθλιότητος εἴπω, προηγάγοντο τεχνώμεναι τὰς

Tum vero, quum jam per se inflati sint ii quibus assentantur, prorsus etiam vanos futilesque eos sua adulatione reddunt, faciuntque ut supra omnes alios elatos se illi existiment. » Tum de adolescentulo quodam verba faciens, Paphio genere, conditione rege : « Hic adolescentulus, ait (nomen ejus non edidit), ob immodicum luxum cubabat in lectulo pedibus fulto argenteis, constrato tapete nudo Sardiano ex eo genere qui sunt pretiosissimi. Superne corpori injectus erat purpureus tapes utrimque villosus, cui Amorginum tegmen circumdatum erat. Tres autem habebat pulvinos byssinos purpureis fimbriis prætextos, quibus se defendebat ne calor ipsi incommodaret; duos vero a pedibus hysgino tinctos ex eo genere qui Dorici vocantur : super his recumbebat candida læna indutus. »

« Est autem vetusto usu apud omnes Cypri reges receptum nobilium assentatorum genus, tanquam rebus ipsorum utile. Inprimis enim commodum est tyranno, tales homines in parato habere. Horum autem, quasi quidam Areopagitæ essent, neque numerum, neque faciem, exceptis illustrissimis, novit nemo. Jam qui in urbe Salamine sunt assentatores, a quibus omnes in reliqua Cypro originem traxerunt, in duas distribuuntur familias, unam eorum qui Gergini appellantur, alteram eorum qui Promalanges. Ex his Gergini, immiscentes se oppidanis, quum in artificum officinis, tum in foris, auscultant sermones, speculatorum vice fungentes, et quidquid audiverunt, id quotidie regiis principibus, quos ἄνακτας vocant, renuntiant. Tum Promalanges eorum causa, quæ ab his renuntiata sunt, uberius inquirunt, si quid inquisitione dignum visum est; suntque veluti investigatores. Et sunt horum congressus et colloquia cum omnibus ita artificiosa atque blanda, ut verum mihi videatur id quod ipsi profitentur, ab his in extera loca sparsum esse semen illustrium assentatorum. Nec enim mediocriter sua arte gloriantur, quod in honore sunt apud reges, verum etiam narrant, Gerginorum aliquem, ex illo Trojanorum genere oriundum, quos ex captivis sibi Teucer adjunxit, cum eisque in Cyprum habitatum concessit, illum igitur Gerginum, aiunt, paucis comitantibus secundum oram maritimam versus Æolidem navigasse, priscas majorum sedes exquisiturum instauraturumque; assumptisque Mysorum nonnullis, oppidum circa Idam montem Troadis condidisse. Oppidumque illud olim quidem a familiæ nomine, unde ortum duxit, Gergina nominata est, nunc vero Gergitha vocatur. Videntur enim nonnulli ex ista navigatione abstracti in Cumæorum regione appulisse, Cyprii genere, non ex Thessalica Tricca, ut affirmarunt nonnulli; quorum mederi errori ne Asclepiadis quidem datum esse arbitror. »

« Fuerunt vero apud nos etiam sub Glue Care feminæ quoque principibus matronis addictæ, quæ Colacides appellabantur. Quarum reliquæ nonnullæ, quæ cis mare advenerunt, ad Artabazi et Mentoris uxores accitæ, mutato nomine Climacides appellatæ sunt, nomine a re ipsa desumpto, quæ erat hujusmodi. Quo placerent mulieribus, a quibus erant arcessitæ, scalam efficiebant ex se ipsis, ita ut per ipsarum terga illæ, quoties carpentis veherentur,

ἀφρονεστάτας. Τοιγαροῦν αὗται μὲν, ἐκ τῶν λίαν μαλακῶν ὑπὸ τῆς τύχης μεταβιβασθεῖσαι, σκληρῶς ἐβίωσαν ἐπὶ γήρως, αἱ δὲ τῶν παρ' ἡμῖν ταῦτα διαδεξάμεναι, ἐκπεσοῦσαι τῆς ἐξουσίας, κατῆραν εἰς Μακεδονίαν, καὶ τὰς τῶν ἐκεῖ κυρίας τε καὶ βασιλίδας ὃν τρόπον ταῖς ὁμιλίαις διέθεσαν, οὐδὲ λέγειν καλὸν, πλὴν ὅτι μαγευόμεναι καὶ μαγεύουσαι, ταυροπόλοι καὶ τρίοδοί τινες αὗται πρὸς ἀλήθειαν ἐγένοντο, πλήρεις πάντων ἀποκαθαρμάτων. Τοσούτων ἔοικε καὶ τοιούτων ἡ κολακεία κακῶν αἰτία γενέσθαι τοῖς διὰ τοῦ κολακεύεσθαι προσδεξαμένοις αὐτήν. »

Προελθὼν δὲ πάλιν ὁ Κλέαρχος καὶ τάδε φησίν· « Ἀλλ' ἤδη καὶ τῇ τούτων χρείᾳ μέμψαιτ' ἄν τις τὸ μειράκιον, ὥσπερ εἶπον. Οἱ μὲν γὰρ παῖδες μικρὸν ἄπωθεν τῆς κλίνης ἐν χιτωνίσκοις ἕστασαν· τριῶν δ' ὄντων ἀνδρῶν, δι' οὓς δὴ νῦν ὁ πᾶς λόγος ἐνέστηκε, καὶ τούτων ὄντων ἐπωνύμων παρ' ἡμῖν, ὁ μὲν εἷς ἐπὶ τῆς κλίνης πρὸς ποδῶν καθῆστο, τοὺς τοῦ μειρακίου πόδας ἐπὶ τοῖς αὑτοῦ γόνασι λεπτῷ ληδίῳ συνημφιακώς. Ὁ δὲ ἐποίει, δήπου καὶ μὴ λέγοντος οὐκ ἄδηλον. Καλεῖται δ' οὗτος ὑπὸ τῶν ἐγχωρίων Παράβυστος, διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων ὅμως τεχνικώτατα κολακεύων παρεμπίπτειν ἐς τὰς ὁμιλίας. Ἅτερος δ' ἦν ἐπί τινος δίφρου κειμένου παρ' αὐτὴν τὴν κλίνην, καὶ τοῦ νεανίσκου τὴν χεῖρα παρειχότος ἐκκρεμάμενος, ταύτῃ καὶ προσπεπτωκὼς κατέψηχέ τε καὶ τῶν δακτύλων ἕκαστον ἐν μέρει διαλαμβάνων, εἷλκέ τε καὶ ἐξέτεινεν· ὥστε τὸν πρῶτον αὐτὸν ἐπονομάσαντα Σικύαν εὐστόχως εἰρηκέναι δοκεῖν. Ὁ τρίτος, ὁ Θὴρ ὁ γενναιότατος, ὅσπερ ἦν τῆς ὑπηρεσίας πρωταγωνιστὴς, προσεστηκὼς αὐτῷ κατὰ κεφαλὴν, μετεῖχε τῶν βυσσίνων προσκεφαλαίων, ἀποκεκλιμένος εἰς αὐτὰ πάνυ φιλικῶς. Καὶ τῇ μὲν ἀριστερᾷ τὸ τοῦ μειρακίου τριχωμάτιον ἐπικοσμῶν, τῇ δεξιᾷ δὲ Φωκαϊκὸν ψῦγμά τι διακινῶν, ὡς αἰωρῶν ἡδὺς ἦν, ἀλλ' οὐκ ἀποσοβῶν. Διό μοι δοκεῖ ἂν αὐτῷ δαίμων τις ἐλευθέριος νεμεσήσας ἐφεῖναι τῷ μειρακίῳ μυῖαν, οὐκ ἄλλην ἢ κείνην, ἧς καὶ τὴν Ἀθηνᾶν φησιν Ὅμηρος ἐνεῖναι τῷ Μενελάῳ τὸ θάρσος, οὕτως ἦν ἐρρωμένη καὶ ἄφοβος τὴν ψυχήν. Δηχθέντος δὲ τοῦ μειρακίου τηλικοῦτον ἀνέκραγεν ἄνθρωπος ὑπὲρ ἐκείνου, καὶ οὕτως ἠγανάκτησεν, ὥστε διὰ τὴν πρὸς μίαν ἔχθραν ἁπάσας ἐκ τῆς οἰκίας ἤλαυνεν. Ὅθεν καὶ φανερὸς ἐγένετο πρὸς τούτῳ τεταχὼς ἑαυτόν. »

26.

Athenæus VI, p. 258, A : Εἴη οὖν ἂν ὁ τοῦ προειρημένου μειρακίου κόλαξ μαλακοκόλαξ, ὥς φησιν ὁ Κλέαρχος. Πρὸς γὰρ τῷ τοιούτῳ κολακεύειν καὶ τὸ σχῆμα τῶν κολακευομένων ἐπακολουθοῦν ἀποπλάττεται, παραγκωνίζων καὶ σπαργανῶν ἑαυτὸν τοῖς τριβωναρίοις· ὅθεν αὐτὸν οἱ μὲν παραγκωνιστὴν, οἱ δὲ σχηματοθήκην, καλοῦσι. Κατ' ἀλήθειαν γὰρ ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. Γίγνεται γοῦν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφὴν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους· οὕτω ποικιλόφωνός τις ἐστίν.

---

et ascenderent et descenderent. Eo luxuriæ, ne miseriæ dicam, sua arte stultissimas illas adduxere. Itaque hæ, ex mollissima vita per fortunam dejectæ, duram in senectute vitam vixerunt : illæ vero, quæ ab his nostris ista acceperant, postquam potestate exciderunt, in Macedoniam delatæ sunt, ubi rerum dominas reginasque quales sua consuetudine reddiderint, ne eloqui quidem honestum est. Verbo dicam, magicas artes et in se et in aliis exercentes, tauropolæ ac vere dixerim triviæ quædam factæ sunt omni genere immunditiarum plenæ. Talium tantorumque malorum causa adulatio his est, qui ejus lenocinio demulsi eam admittunt. »

In progressu vero sermonis rursus hæc dicit Clearchus : « Jam vero ob istarum rerum usum merito aliquis reprehenderit illum, quem dixi, adolescentulum. Pueri enim ex modico intervallo ab lectulo stabant tunicis vestiti. Quum vero tres sint viri, quorum causa nunc instituta est tota hæc disputatio, quorum etiam cuique apud nos proprium a re ipsa cognomen est : eorum unus lectulo a pedibus assidebat, qui pedes adolescentuli suis genibus impositos tenui veste contegebat; qui quid porro fecerit, etiam me non dicente haud obscurum est. Vocatur autem hic ab indigenis Parabystus (i. e. intrusus), quia in eorum etiam consuetudinem, qui non sponte eum recipiunt, artificiosa sua adulatione sese ingerit. Alter in sella quadam sedebat juxta ipsum lectulum posita, et ab adolescente totus pendens, quum manum ille languide demitteret, cupide eam prehendens demulcebat, et digitos singulos vicissim prehensos trahebat et extendebat, ut apte appositeque dixisse videatur is qui primus Sicyam (i. e. cucurbitulam) hunc appellavit. Tertius vero, nobilissimus, Ther cognominatus (i. e. fera, sive leo), qui totius ministerii antesignanus erat, ad caput ejus astans byssinorum cervicalium ejusdem particeps erat, familiariter admodum in iis reclinatus. Et læva quidem manu molliusculum adolescentuli capillum adornabat, dextra vero Phocaicum flabellum ultro citroque movens, veluti oscillans (vel veluti oscillam) jucundus erat; sed ita leniter id faciebat, ut non idcirco muscæ prorsus arcerentur. Quare iratus ei aliquis deus ingenuus muscam adolescentulo immisit, non aliam atque illam cujus audaciam a Minerva immissam Menelao esse Homerus ait : ita valida erat et animo interrito. Quum igitur morderetur adolescens, tam immaniter exclamavit hic homo pro illo, atque ita iratus est, ut unius illius muscæ odio omnes ædibus expelleret. Ex quo etiam apparuit, ad hoc ministerium illum se constituisse. »

26.

« Fuerit igitur prædicti adolescentuli adulator *malacocolax*, ut ait Clearchus, id est *mollitiei adulator*. Nam præterquam quod tali homini adulatur, habitum ejus formamque consentientem his quibus adulatur fingit : et modo cubito propellit alios dimovetque, modo involvit se panniculis. Quare etiam alii eum *paranconisten* appellant, id est, *cubito depulsorem*, alii *schematothecam*, id est *variarum formarum promptuarium*. Vere enim assentator idem atque *Proteus* esse videtur. Fit enim multiplex et omnifarius, non modo quod ad formam attinet, sed et quod ad sermonem : ita variare vocem novit. »

ΠΕΡΙ ΠΑΙΔΕΙΑΣ.

27.

E LIBRO SECUNDO.

Athenæus XV, p. 697, E : Κλέαρχος, ὦ λῷστε, ἐν δευτέρῳ Περὶ παιδείας οὑτωσί φησι· « Λείπεταί τις ὁ Συρβηναίων χορὸς, ὧν ἕκαστον τὸ δοκοῦν ἑαυτῷ κατᾷσαι δεῖ, προσέχων οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορὸν, ἀλλ' αὐτὸς πολὺ τούτων ἀτακτότερός ἐστι θεατής. Καὶ κατὰ τὸν παρῳδὸν Μάτρωνα

Οἱ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι,
οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν.
Ἔστι δέ τις Κλεόνικος, ὃν ἀθάνατον λάχε γῆρας,
οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων·
ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Περσεφόνεια. »

28.

Diogenes L. I, 9 : Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ Περὶ παιδείας καὶ τοὺς γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν μάγων φησίν.

29.

Hesychius v. Μανέρως. : Τοῦτον φασὶν Αἰγύπτιοι ὁμολογῆσαι πρῶτον παρὰ μάγων διδαχθέντα, καὶ διὰ τοῦτο πᾶσιν ἀνὰ στόμα γενέσθαι, ὡς Κλέαρχος ἐν τοῖς Περὶ παιδείας ἱστορεῖ. Pro μάγων ex Polluce VII, c. 7 Vossius restitui jubet μουσῶν.

ΠΕΡΙ ΦΙΛΙΑΣ.

30.

E LIBRO PRIMO.

Athenæus XII, p. 533, E : Κλέαρχος δ' ἐν πρώτῳ Περὶ φιλίας τὸν Θεμιστοκλέα φησὶ τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον, ἀγαπᾶν ἔφησεν, εἰ τοῦτον φίλων πληρώσειεν.

31.

E LIBRO SECUNDO.

Athenæus VIII, p. 349, F : Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ φιλίας, « Στρατόνικος (φησὶν) ὁ κιθαριστὴς, ἀναπαύεσθαι μέλλων, ἐκέλευεν ἀεὶ τὸν παῖδα προσφέρειν αὐτῷ πιεῖν, Οὐχ ὅτι διψῶ, φησὶν, ἵνα δὲ μὴ διψήσω. Ἐν δὲ Βυζαντίῳ κιθαρῳδοῦ τὸ μὲν προοίμιον ᾄσαντος εὖ, ἐν δὲ τοῖς λοιποῖς ἀποτυγχάνοντος, ἀναστὰς ἐκήρυξεν, Ὃς ἂν καταμηνύσῃ τὸν τὸ προοίμιον ᾄσαντα κιθαρῳδὸν, λήψεται χιλίας δραχμάς. Ἐρωτηθεὶς δ' ὑπό τινος, τίνες εἰσὶν οἱ μοχθηρότατοι, τῶν ἐν Παμφυλίᾳ Φασηλίτας μὲν ἔφησε μοχθηροτάτους εἶναι, Σιδήτας δὲ τῶν ἐν τῇ οἰκουμένῃ. »

ΕΡΩΤΙΚΑ.

32.

E LIBRO PRIMO.

Idem VI, p. 255, B : Κλέαρχος δ' ὁ Σολεὺς ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν· « Κόλαξ μὲν οὐδεὶς (φησὶ)

DE INSTITUTIONE.

27.

E LIBRO SECUNDO.

Clearchus, o optime, secundo libro De institutione ita scribit : « Superest aliquis Syrbenæorum chorus in quo singulos oportet occinere quidquid cuique visum fuerit, nihil attendentes ad præsidentem chori magistrum, qui ipse multo etiam his tumultuosior spectator est. Et, quod parodus Matron ait,

Illi enim omnes, qui olim fuerant, præstantissimi viri,
Eubœus et Hermogenes, nobilesque Philippi,
illi igitur mortui sunt, et Ditis subierunt domos.
Est vero quidam Cleonicus, cui immortalis obtigit senectus,
neque poetarum ignarus, nec scenicarum fabularum :
cui, ut mortuus etiam loquatur, dedit Proserpina. »

28.

Clearchus Solensis De institutione etiam gymnosophistas magorum posteros esse dicit.

29.

Maneron Ægyptii dicunt communi consensu statui a magis (*Musis*) edoctum fuisse, ac propterea omnium ore celebrari, uti Clearchus refert in libris De institutione.

DE AMICITIA.

30.

E LIBRO PRIMO.

Clearchus, primo libro De amicitia, Themistoclem ait, postquam tricliniam singulari elegantia construendum curasset, dixisse, contentum se fore, si amicis illud implere posset.

31.

E LIBRO SECUNDO.

Clearchus, secundo libro De amicitia, scribit : « Stratonicus citharista, quando quietem volebat capere, puerum semper jussit sibi potum afferre : « Non quod sitiam, dicere solebat, sed, ne sitiam. » Byzantii vero quum citharœdus aliquis prooemium quidem belle cecinisset, reliqua vero prorsus perperam, surgens Stratonicus alta voce proclamavit : « Mille drachmas accepturum, si quis citharœdum indicaverit, qui prooemium istud cecinisset. » Interrogatus ab aliquo, quinam essent homines miserrimi? respondit : « In Pamphylia miserrimos esse Phaselitas; Sidetas vero omnium totius orbis gentium. »

EROTICA.

32.

E LIBRO PRIMO.

Clearchus Solensis primo Eroticorum : « Nullus assentator, inquit, constans amicus est. Consumit enim tempus

διαρκεῖ πρὸς φιλίαν. Καταναλίσκει γὰρ ὁ χρόνος τὸ τοῦ προσποιήματος αὐτῶν ψεῦδος. Ὁ δ' ἐραστὴς κόλαξ ἐστὶ φιλίας δι' ὥραν ἢ κάλλος. »

33.

Idem XIII, p. 564, A : Πρὸς ἀλήθειαν γὰρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν, Λυκοφρονίδην εἰρηκέναι φησίν·

Οὔτε παιδὸς ἄρρενος, οὔτε παρθένων
τῶν χρυσοφόρων, οὔτε γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἀλλὰ κόσμιον πεφύκει.
Ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

34.

Idem XIII, p. 573, A : Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν « Γύγης (φησὶν), ὁ Λυδῶν βασιλεὺς, οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος γέγονεν, ἐγχειρίσας αὑτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ, τελευτησάσης, συναγαγὼν τοὺς ἐκ τῆς χώρας Λυδοὺς πάντας, ἔχωσε μὲν Λυδίας (Μεναλίας conj. Schweigh.) τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα, εἰς ὕψος ἄρας, ὥστε, περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς Τμώλου χώραν, οὗ ἂν ἐπιστραφεὶς τύχοι, καθορᾶν τὸ μνῆμα, καὶ πᾶσι τοῖς τὴν Λυδίαν οἰκοῦσιν ἄποπτον εἶναι. »

35.

Idem XIII, p. 589, D : Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας, ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης, καίπερ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, οὐ συνετάραξε πᾶσαν τὴν Ἑλλάδα;

36.

Idem XIII, p. 605, D : Ὁρᾶτε οὖν καὶ ὑμεῖς οἱ φιλόσοφοι, οἱ παρὰ φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι καὶ ἀσεβοῦντες εἰς τὴν θεὸν, μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον (sc. ὃν Φαρσαλία διὰ τὴν τοῦ θεοῦ μῆνιν διασπασθεῖσα). Τότε γὰρ καὶ οἱ παῖδές εἰσι καλοὶ, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα ὅσον ἐοίκασι γυναικὶ χρόνον, καθάπερ ἱστορεῖ Κλέαρχος.

Idem XIII, p. 605, E : Ὑμεῖς δὲ, ὦ φιλόσοφοι, κἂν ἐρασθέντες ποτὲ γυναικῶν ἐν ἐννοίᾳ λάβητε ὡς ἀδύνατόν ἐστι τὸ τυχεῖν μάθετε * * * παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος. Τῇ τε γὰρ περὶ τὴν Πειρήνην χαλκῇ βοῒ βοῦς ἐπανέβη· καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερὰ, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων, ἀπέστησαν, καθάπερ Κλείσοφος ὁ Σηλυμβριανός. Οὗτος γὰρ, τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς, κατέκλεισεν αὑτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος· καὶ ὡς ἠδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη, καὶ προβαλλόμενος τὸ σαρκίον ἐπλησίασε.

Idem p. 606, C : Ἐν Αἰγίῳ δὲ παιδὸς ἠράσθη χὴν, ὡς Κλέαρχος ἱστορεῖ ἐν πρώτῳ Ἐρωτικῶν. Τὸν δὲ παῖδα τοῦτον Θεόφραστος ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί φησι καὶ τὸ γένος Ὠλένιον εἶναι. — Ibid. : Ἐν δὲ Λευκαδίᾳ φησὶ Κλέαρχος οὕτως ἐρασθῆναι ταὼν παρθένου, ὡς καὶ τὸν βίον ἐκλιπούσῃ συναποθανεῖν.

---

mendacium illorum, qui amicitiam simulant. Amator vero assentator est et amicitiæ simulator ob ætatis florem sive formæ pulchritudinem. »

33.

Vere, quemadmodum Clearchus ait primo libro Eroticorum, dixisse inquit Lycophroniden :

Nec adolescentulum, nec virgines
aurum gestantes, nec mulieres amplos sinus habentes
tam pulchra facies, quam modesta decet.
Pudor enim florem inspergit.

34.

Περὶ τῆς δεκαετείας βιβλ. α', sive De decennio illo, per quod penes Demetrium erat Athenarum administratio. Cujus libri meminit etiam Strabo IX, p. 398: Ἔνιοι δέ φασι, καὶ βέλτιστα τότε αὐτοὺς πολιτεύσασθαι δεκαετῆ χρόνον, ὃν ἦρχε Μακεδόνων Κάσσανδρος. Οὗτος γὰρ ὁ ἀνὴρ πρὸς μὲν τὰ ἄλλα δοκεῖ τυραννικώτερος γενέσθαι, πρὸς Ἀθηναίους δὲ ηὐγνωμόνησε λαβὼν ὑπήκοον τὴν πόλιν· ἐπέστησε γὰρ τῶν πολιτῶν Δημήτριον τὸν Φαληρέα, τὸν Θεοφράστου τοῦ φιλοσόφου γνώριμον, ὃς οὐ μόνον οὐ κατέλυσε τὴν δημοκρατίαν, ἀλλὰ καὶ ἐπηνώρθωσε. Δηλοῖ δὲ τὰ ὑπομνήματα, ἃ συνέγραψε περὶ τῆς πολιτείας ταύτης ἐκεῖνος.

Alterum opus, quod in Catalogo Diogenes, sicuti alia complura, omisit, quamquam ipse id laudat lib. I, 22 et II, 7, *Recensus archontum* erat sive Ἀρχόντων ἀναγραφή. Alia quæ historicum argumentum præ se ferunt, Diogenes laudat hæc: Περὶ τῶν Ἰώνων, Ἀθηναίων καταδρομή. Quorum tamen nihil superest. Deinde vero historicis scriptis accenseri possunt: Τὰ περὶ τῆς Ἀθήνησι νομοθεσίας βιβλ. ε', Περὶ τῶν Ἀθήνησι πολιτῶν βιβλ. β'. Quæ quasi medium locum obtinuisse videntur inter opera mere historica atque theoretica illa, quæ ad politicam pertinent, Περὶ νόμων α', Περὶ πολιτικῆς β', Περὶ δημαγωγίας. — His adde titulos: Προοίμιον ἱστορικόν, Κλέων α'; Ἀρταξέρξης α'; Διονύσιος α', quibus fortasse item historica scripta significantur. — Fragmenta vero operum modo recensitorum non nisi duorum deprehendi, nempe Ἀρχόντων ἀναγραφῆς, et Τῶν περὶ τῆς Ἀθήνησι νομοθεσίας.

ΑΡΧΟΝΤΩΝ ΑΝΑΓΡΑΦΗ.

1.

Diogenes Laert. I, 22, de Thalete: Καὶ πρῶτος σοφὸς ὠνομάσθη, ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν Ἀρχόντων ἀναγραφῇ.

2.

Idem II, 7, de Anaxagora: Ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλιάδου ἐτῶν εἴκοσιν ὤν, ὥς Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν Ἀρχόντων ἀναγραφῇ, ἔνθα καί φασιν αὐτὸν ἐτῶν διατρῖψαι τριάκοντα.

3.

Marcellin. Vit. Thuc. § 50: Δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει καὶ Δημήτριος ἐν τοῖς Ἄρχουσι.

Τοῖς φεύγουσιν] sc. τοῖς φυγάσι πλὴν τῶν Πεισιστρατιδῶν μετὰ τὴν ἧτταν τὴν ἐν Σικελίᾳ. Ol. 92, 1, 412. Vide notata ad fragm. Cratippi 3, p. 77.

ΠΕΡΙ ΤΗΣ ΑΘΗΝΗΣΙ ΝΟΜΟΘΕΣΙΑΣ.

4.

E LIBRO SECUNDO.

Lex. Rhet. ad calcem Photii p. 672, 3 v. Κυρία ἐκκλησία. Vide Aristot. fragm. 32, p. 116.

ARCHONTUM RECENSUS.

1.

Primus Thales vocatus est sapiens, quo tempore Damasius Athenis archon erat, sub quo septem quoque sapientes vocati sunt, ut ait Demetrius Phalereus in Archontum Recensione.

2.

Anaxagoras philosophari cœpit Athenis sub Calliada archonte (480 a. C.), vitæ anno vicesimo, ut Demetrius Phalereus in Archontum recensu dicit; Athenisque eum per annos viginti commoratum esse tradunt.

3.

Exulibus (post cladem Siculam, 412 a. C.) redeundi potestatem factam esse patet, testantibus etiam Philochoro et Demetrio Phalereo.

5.

E LIBRO TERTIO.

Harpocratio : Σκαφηφόροι... Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. Διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ι' Νόμων. Cf. Photius et Suidas s. v. Pollux III, 55 : Σκαφηφόρος· οὕτως δὲ τοὺς μετοίκους ὠνόμαζον· καὶ τὰς γυναῖκας αὐτῶν ὑδριαφόρους, ἀπὸ τοῦ ἔργου ἑκατέρους. Ælian. V. H. VI, 1 : Τὰς γοῦν παρθένους τῶν μετοίκων σκιαδηφορεῖν ἐν ταῖς πομπαῖς ἠνάγκαζον ταῖς ἑαυτῶν κόραις, τὰς δὲ γυναῖκας ταῖς γυναιξὶ, τοὺς δὲ ἄνδρας σκαφηφορεῖν. Suidas et Etym. v. Ἀσκοφορεῖν; Ammonius v. Ἰσοτέλης. Hermann. *Gottesd. Alterth.* [illegible]

E LIBRIS INCERTIS.

6.

Harpocratio : Ἑρκεῖος Ζεύς, ... ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. Ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας, οἷς εἴη Ζεὺς ἑρκεῖος, δεδήλωκε καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ δημοποιήτου, εἰ γνήσιος, καὶ Δημήτριος ἐν τοῖς Περὶ τῆς Ἀθήνησι νομοθεσίας. Cf. Phot. et Suidas.

7.

Harpocratio : Παράστασις... ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας (Sequitur Aristotelis fr. 31)... Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς Περὶ νομοθεσίας τοὺς διαιτητάς φησι λαμβάνειν τὰς δραχμάς, μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ κατὰ ὑπωμοσίαν ἑκάστην. V. Hudtwalcker. De diætetis p. 134, Schœmann. Hist. jur. publ. 284. 267.

Ex eodem opere fluxerunt sequentia.

8.

Plutarch. Solon. c. 23 : Ὅλως δὲ πλείστην ἔχειν ἀτοπίαν οἱ περὶ τῶν γυναικῶν νόμοι τῷ Σόλωνι δοκοῦσι. Μοιχὸν μὲν γὰρ ἀνελεῖν τῷ λαβόντι ἔδωκεν· ἐὰν δ' ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς ἔταξε· κἂν προαγωγεύῃ, δραχμὰς εἴκοσι, πλὴν ὅσαι πεφασμένως πωλοῦνται, λέγων δὴ τὰς ἑταίρας· αὗται γὰρ ἐμφανῶς φοιτῶσι πρὸς τοὺς διδόντας. Ἔτι δ' οὔτε θυγατέρας πωλεῖν οὔτ' ἀδελφὰς δίδωσι, πλὴν ἂν μὴ λάβῃ παρθένον ἀνδρὶ συγγεγενημένην. Τὸ δ' αὐτὸ πρᾶγμα ποτὲ μὲν πικρῶς καὶ ἀπαραιτήτως κολάζειν, ποτὲ δ' εὐκόλως καὶ παίζοντα πρόστιμον ζημίαν τὴν τυχοῦσαν ὁρίζοντα ἄλογόν ἐστι· πλὴν εἰ μὴ σπανίζοντος τότε τοῦ νομίσματος ἐν τῇ πόλει μεγάλας ἐποίει τὰς ἀργυρικὰς ζημίας τὸ δυσπόριστον. Εἰς μέν γε τὰ τιμήματα τῶν θυσιῶν λογίζεται πρόβατον καὶ δραχμὴν ἀντὶ μεδίμνου, τῷ δ' Ἴσθμια νικήσαντι δραχμὰς ἔταξεν ἑκατὸν δίδοσθαι, τῷ δ' Ὀλύμπια πεντακοσίας, λύκον δὲ τῷ κομίσαντι πέντε δραχμὰς ἔδωκε, λυκιδέα δὲ μίαν, ὧν φησιν ὁ Φαληρεὺς Δημήτριος τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτου τιμήν.

9.

Schol. Arist. Nub. 37 : Δημήτριος δὲ ὁ Φαληρεύς φησι· « Καὶ δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων. » Cf. Aristotelis fr. 18

10

Lexicon Rhetor. ad calcem Photii p. 667, v.

DE LEGISLATIONE ATHENIENSI.

5.

E LIBRO TERTIO.

Demetrius libro tertio De legislatione (Atheniensium) dicit legem jubere, ut inquilini ligones in pompis ferant, eorumque filiæ hydrias gestent et umbellas. De his disseruit etiam Theophrastus libro decimo De legibus.

6.

Juppiter Herceus, cui ara intra septum in aula structa erat. Nam septum appellabant ἕρκος. Habuisse autem jus civitatis, quibus esset Juppiter Herceus, Hyperides declaravit in oratione pro cive facta, si genuina est, et Demetrius in libris De legislatione Atheniensium.

7.

Parastasis drachma fuit deposita ab iis, qui privatis inter se de controversiis disceptarent... Demetrius autem Phalereus in libris De legislatione tradit arbitros cepisse drachmam unam post sortitionem causæ, aliam quoties dies diffissus esset.

8.

Sed leges Solonis de mulieribus omnium absurdissimæ videntur. Jus enim adulterum occidendi deprehendenti concessit; quodsi quis liberam mulierem raperet et vim ei inferret, mulctam ei centum drachmas constituit; sin prostituisset (exceptis iis, quæ palam venduntur, hoc est meretricibus, quæ pretium danti obsequuntur), viginti. Filias vendere sororesque prohibuit, nisi quæ in stupro deprehensæ essent. Enimvero rationi consentaneum non est, idem facinus modo acri et extremo supplicio plectere, modo leviter et quasi per jocum quacumque mulcta proposita. Nisi forte rara tum Athenis pecunia, mulctam difficultas numi parandi magnam effecerit. Nam et sacrificia ove æstimabantur, et pro medimno denarius : et qui Isthmia vicisset, ei centum denarios dari jussit Solon, qui Olympia, quingentos ; qui lupum attulisset, quinque, qui catulum lupi, unum, quorum hoc ovis, illud bovis pretium esse Demetrius Phalereus asserit.

9.

Demetrius Phalereus dicit : « Demarchos quoque Solon instituit, magnopere studens, ut pagani in singulis pagis a se invicem jus acciperent, sibique darent. »

10.

In judiciis de εἰσαγγελίαις secundum Philochorum judices

εἰσαγγελία: ["Εκρινον δὲ τὰς εἰσαγγελίας] ὡς μὲν Φιλόχορος (Φιλόχανος cod.), χιλίων καθεζομένων, ὡς δὲ Δημήτριος ὁ Φαληρεὺς, χιλίων πενταχοσίων. Inclusa supplevit Meierus.

Pollux VIII, 53: Χίλιοι δὲ κατὰ μὲν Σόλωνα τὰς εἰσαγγελίας ἔκρινον· κατὰ δὲ τὸν Φαληρέα, καὶ πρὸς πενταχόσιοι.

« Ab Polluce quum Demetrius Soloni opponatur, ut Solonis nomine leges Solonis, ita Demetrii nomine Demetrii leges significari credideris; contra ea hic grammaticus quum Demetrium opponat Philochoro, ut Philochori nomine Philochori libros, ita Demetrii nomine Demetrii libros significare videtur; hunc igitur sic interpretere, quasi vero Philochorus narraverit de εἰσαγγελίαις semper mille, Demetrius autem tradiderit de iis semper MD judices judicasse, quum, Pollucem si audis, olim Solonis legibus mille, postea Demetrii ex legibus MD de εἰσαγγελίαις judicarint. Atque cum hoc rhetorico lexico ut facere malim, illud mihi persuadet, quod Demetrii libris Περὶ τῆς Ἀθήνησι νομοθεσίας ab Harpocratione ter, ab hoc lexico rhetorico semel diserte (p. 672, 4), semel minus diserte (p. 673, 4), ejus autem legibus nunquam ab his grammaticis testimonium denunciatur; itaque apud Pollucem quoque tum eo, quo nunc agitur, loco VIII, 52, κατὰ δὲ τὸν Φαληρέα non significat *ex legibus* sive *tempore Phalerensis*, tum VIII, 102, νομοφύλακας δὲ κατὰ τὸν Φαληρέα, μετωνομάσθησαν non est cum Kuhnio explicandum *tempore Phalerensis*, sed uterque locus ad eos quos diximus libros De legibus Atticis referendus est. Jam via parata est, qua Pollucem cum hoc lexico, qua Philochorum cum Demetrio conciliemus. Etenim Philochorus quod mille judices de εἰσαγγελίαις judicasse scripsit, ad veterem Solonis legem, Demetrius, quod mille quingentos judices in illis accusationibus sedisse tradidit, ad morem postea, nescio quando, introductum respexisse putandus est. » MEIERUS.

11.

Lexic. Rhet. p. 673, 3 v. [Ἡ] μὴ οὖσα δίκη· Δημήτριος ὁ Φαληρεὺς ἐνίους λέγει τῶν κρινομένων κακοτεχνεῖν τοῖς διώκουσιν ἀντιλαγχάνοντας τὴν μὴ οὖσαν· δεῖ γὰρ τοὺς [μὴ] ὑπὲρ δέκα δραχμῶν ἀμφισβητοῦντας διαιτητὰς δέκα ἔτη λαμβάνειν· διὸ καὶ ἔκειτο νόμος μὴ εἰσάγεσθαι δίκην, εἰ μὴ πρότερον ἐξετασθείη παρ' αὐτοῖς τὸ πρᾶγμα· ἐνίους δὲ ἀσθενὲς τὸ δίκαιον ἔχοντας καὶ δεδοικότας τὴν καταδίαιταν, χρόνους ἐμβάλλειν καὶ σκήψεις, οἵας δοκεῖν εἶναι εὐλόγους· καὶ τὸ μὲν πρῶτον παραγράφεσθαι, τὸ [δὲ δεύτερον] ὑπόμνυσθαι νόσον ἢ ἀποδημίαν, καὶ τελευτῶντας ἐπὶ τὴν κυρίαν αὐτῆς [τῆς] διαίτης ἡμέραν οὐκ ἀπαντῶντας, [ἀπαντῶντας δὲ] ἡ[λίου] δύνοντος, ἀντιλαγχάνειν τὴν μὴ οὖσαν τῷ ἑλόντι, ὥστε ἐξ ὑπαρχῆς ἀκέραιον αὐτοῖς καθίστασθαι τὸν ἀγῶνα.

Hactenus Demetrii sententia. Subjiciuntur vero hæc: Κατ' ἐνίους δὲ ἡ ἀντίληξις [οὐδεμία ἦν], οὐδ' [ὅλ]ως ἀντιλαχεῖν ἐξῆν, καὶ μετέγραψαν ἢ ὅλως ἐκ τῶν δικῶν αὐτὴν ἀνεῖλον· τούτου δὲ αἴτιον ἡ τοῦ ἔθους ἔκλειψις· ἀνήρηται γὰρ μετὰ τῶν διαιτῶν ἡ ἀντίληξις. Ἐξῆν δὲ ἀντιλαγχάνειν ἐντὸς ἡμερῶν δέκα.

ἀντιλαγχάνοντας] ἀντιλαγχάνουσι cod.; κακοτεχνοῦντας.... ἀντιλαγχάνειν dedit Meier.; idem mox addidit μή; — διαιτητὰς] Meier., διαιτητεῖς codex. Ceterum Meierus: « In δέκα ἔτη quid lateat, nondum perspexi; nam quod C. F. Hermannus in Procem. ind. schol. Marburg. an 1833—34 conjecit διαιτὰς δ' sive τέσσαρας ἐπιλαμβάνειν, id sane non multum recedit ab literarum vestigiis, repugnat autem, ni fallor, tum usui sermonis (certe nunquam, quod sciam, ἐπιλαμβάνειν διαιτητὴν dicitur), tum etiam magis antiquitatis fidei; nam unum exemplum causæ ab quattuor arbitris judicatæ eo minus probat *debuisse* coram quaternis arbitris causas disceptari, quo plura novimus exempla litium ab singulis arbitris judicatarum. » [Equidem pro διαιτητεῖς δέκα ἔτη λ. proposuerim: διαιτητὰς εἰς δίκην ἑκάστην λαμβάνειν, vel διαιτητὰς ὡς δικαστὰς λαμβάνειν, quod non ita longe abest ab literis quas traditas accepimus. —] « Verum illud utut est, si modo priora verba recte emendavi, lites, quæ essent infra decem drachmas, *debebant* antea apud arbitros disceptari, quam in judicium deferrentur heliasticum; quæ igitur decem drachmis majores essent privatæ controversiæ, poterant illæ quidem, sed non debebant arbitris antea ad disceptandum dari. Id vero tum naturæ rerum convenientius est, quam quæ est vulgatæ scripturæ sententia, ut decem drachmis majores debuerint,

---

mille, secundum Demetrium Phalereum mille quingenti sedebant.

11.

Demetrius Phalereus dicit nonnullos reos malis artibus in accusatores uti eo, quod restitutionem litis peterent. Debent enim ii, quorum lis est infra decem drachmarum pretium, ad arbitros eam deferre. Atque lex erat ne ejusmodi causa in judicium publicum introduceretur antequam apud arbitros esset instructa. Jam vero nonnulli, qui justitiæ causæ suæ parum fiderent, vererenturque ne ab arbitris condemnarentur, moras nectere ac prætextus et exceptiones speciosas afferre studebant; ac primum quidem exceptione actionis non recte institutæ uti, deinde vero morbum aut peregrinationem sub jurisjurandi fide prætexentes dilationem petere, denique dicta die aut omnino non, aut occidente jam sole se sistentes restitutionem litis petere, adeo ut de integro prorsus causa denuo instituenda esset.

inferiores potuerint diætetis committi, tum eidem respondet, quod quadraginta viri sive pagani judices lites, quæ essent decem drachmis minores, ipsi judicabant, quæ majores essent, judicibus heliasticis judicandas deferebant; ita enim et Lex. Rhet. p. 306, 15 : τεσσαράκοντα... πρὸς οὓς αἱ ἴδιαι δίκαι ἐλαγχάνοντο καὶ τὰ [malim ἐλ. αἱ] μέχρι δέκα δραχμῶν, τὰ [malim τὰς] δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς δικασταῖς παρεδίδοσαν. Id enim verius videtur Pollucis narratione, qui VIII, 100 scribit : Οἱ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δ' ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν, nisi mavis utrique reddere : τοῖς δικασταῖς ἢ διαιτηταῖς παραδιδόασιν (παρεδίδοσαν). Sic etiam Lex. Rhet. 310, 21 : ἕως δέκα δραχμῶν ἐδίκαζον κατὰ δήμους. Nihil autem tribuendum est Zonaræ v. Διαιτηταί : οἱ ὑπεράνω τῶν πεντήκοντα νομισμάτων δίκας κρίνοντες ὡς εἶναι τοὺς διαιτητὰς μεγίστους κριτάς, neque tribuit ei quidquam Hudtwalckerus *De arbitris* p. 39, quamquam de pecuniæ summa, infra quam lites arbitris publicis disceptandæ sint datæ, Hudtwalckerus ab ea sententia vehementer discedit, quam ipse modo professus est. » — In sequentibus quæ uncis intercluduntur, suppleta, alia correcta sunt ab Meiero. Codex : ... ἡμέραν οὐκ ἀπάντων τὰς ὅπη δύνοντας, et mox : ὥστε ἐξ ὑπ' ἀρχῶν ἀκέραιον; dein : ἡ ἀντίληξις οὕτως ἀντιλαχεῖν... ὅλως ἐκ τῶν λόγων. De postrema loci parte ita Meierus exponit : « Quicumque ab *arbitris* condemnati essent, iis judicium τῆς μὴ οὔσης non secus dabatur, atque iis, qui ab *heliasticis judicibus* absentiæ nomine damnati essent, si injuriam sibi factam opinarentur, τὴν ἐρήμην ἀντιλαχεῖν concedebatur. Quod igitur, qui hic commemorantur, *nonnulli* τὴν μὴ οὖσαν plane negarunt atque de actionum numero funditus sustulerunt, id ex sententia hujus grammatici sic explicandum est, quod cum arbitris sublatis ea quoque actio per desuetudinem abrogata est. Itaque docet hic locus arbitrorum munus potestatemque aliquando, idque reliquis legibus et judiciis Atheniensium superstitibus, esse sublatam, quamquam non docet, quando id acciderit. Quod vero in fine enarrationis positum est, rectius autem esset ante κατ' ἐνίους collocatum, ἐξῆν δὲ ἀντιλαγχάνειν ἐντὸς ἡμερῶν δέκα, idem tradit et Photius p. 267, 17 v. Μὴ οὖσα δίκη : ἐντὸς δὲ ἡμερῶν δέκα ἐξῆν λαχεῖν τὴν μὴ οὖσαν δίκην, μετὰ δὲ ταύτας οὐκέτι, et, qui utroque melior auctor est, Pollux VIII, 60, ubi pro ἐξῆν ἐντὸς δέκα ἡμερῶν τὴν μὴ οὖσαν ἀντιγράφειν rescripserim ἀντιλαχεῖν. Iis igitur qui ab arbitris propter desertum vadimonium condemnati essent, decem tantum dies concedebantur, intra quos iis permitteretur τῇ μὴ οὔσῃ uti; idem dierum numerus iis, qui testularum judicio condemnati essent, præscribebatur, intra quem urbe excederent. Qui vero ab judicibus heliasticis absentes condemnati essent, his legitima erat duorum mensium præscriptio, intra quos iis licebat τὴν ἐρήμην ἀντιλαχεῖν. »

12.

Pollux VIII, 102 : Οἱ ἕνδεκα, εἷς ἀφ' ἑκάστης φυλῆς ἐγίγνετο, καὶ γραμματεὺς αὐτοῖς συνηριθμεῖτο· νομοφύλακες δὲ κατὰ τὸν Φαληρέα μετωνομάσθησαν. — Addit : Ἐπεμελοῦντο δὲ τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπῆγον κλέπτας, ἀνδραποδιστὰς, λωποδύτας, εἰ μὲν ὁμολογοῖεν θανατώσοντες· εἰ δὲ μὴ, εἰσάξοντες εἰς τὰ δικαστήρια, κἂν ἁλῶσιν, ἀποκτενοῦντες. Τοῦ δὲ νομοφυλακίου θύρα μία χαρώνειον ἐκαλεῖτο, δι' ἧς τὴν ἐπὶ θανάτῳ ἀπήγοντο.

Κατὰ τὸν Φαληρέα] V. Meier. in annot. ad fr. 10. — νομοφύλακας] Aliter schol. Aristoph. Vesp. 1108 : Οἱ ἕνδεκα· ἐτήρουν οἶδε τοὺς δεδεμένους· οὗτοι δὲ νῦν θεσμοφύλακες καλοῦνται. Ἡ τῶν ἕνδεκα ἀρχὴ τοὺς μὲν ὁμολογοῦντας καὶ ἀνδραποδιστὰς καὶ λωποδύτας θανάτῳ ἐκόλαζον, τοὺς δὲ ἀρνουμένους εἰς δικαστήριον εἰσῆγον. Proclivis conjectura esset pro θεσμοφύλακες scribendum esse δεσμοφύλακες, nisi obstaret geminum νομοφυλάκων vocabulum. Distinguendi igitur hi nomophylaces ab septem (vel *sex* see. Meierum) nomophylacibus, de quibus Pollux VIII, 94, et Suidas s. v. et Lex. Rhet. in Append. ad Photium p. 673, 23, ubi vide Meierum. Non distinguendos esse suspicatus est Ulrichius, improbante Schœmanno Hist. jur. publ. p. 299, n. 3. Ceterum de Undecimviris v. Schœmann. l. l. p. 246.

His subjicio alia quædam, quæ etsi non ex historicis libris desumpta, ad historiam tamen pertinent.

13.

Plutarch. Lyc. 23 : Ὁ δὲ Φαληρεὺς Δημήτριος (φησὶ) οὐδεμιᾶς ἁψάμενον (sc. Λυκοῦργον) πολεμικῆς πράξεως, ἐν εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν. Ἔοικε δὲ καὶ τῆς Ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια πρᾴου καὶ πρὸς εἰρήνην ἔχοντος οἰκείως ἀνδρὸς εἶναι. Hæc ad libri Περὶ πολιτικῆς vel Περὶ νόμων retulerim. Contrariam his sententiam probavit Hippias fr. 9, p. 62.

12.

Undecimviri sunt, quorum singuli e singulis eliguntur tribubus, ipsisque scriba adnumeratus. Secundum Demetrium Phalereum nomophylaces denominati sunt.

13.

Demetrius Phalereus Lycurgum ait nullam bellicam actionem attigisse, sed in pace rempublicam constituisse autumat. Sane Olympiacarum induciarum excogitatio mansueti et pacis perquam studiosi hominis videtur fuisse.

14.

ΣΩΚΡΑΤΗΣ.

Plutarchus Aristid. c. 1 : Ἀριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ δήμων Ἀλωπεκῆθεν. Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν, ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γεγενημένας· (2) πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει χωρίον τε Φαληροῖ φησὶ γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται, καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχὴν, ἣν ἦρξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς Πεντακοσιομεδίμνους προσηγόρευον, ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων μεγάλων καὶ δι' ὄγκον ἐπιφθόνων ὄστρακον ἐπιφέρεσθαι· (3) τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου κατέλιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο τοιαύτην ἐπιγραφὴν διασώζοντες, « Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε. » (4) Τουτὶ μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. Καὶ γὰρ Ἐπαμεινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος οὐκ ἀφιλοτίμους ἀνεδέξαντο χορηγίας, ὁ μὲν αὐληταῖς ἀνδράσιν, ὁ δὲ παισὶ κυκλίοις χορηγήσας, τούτῳ μὲν Δίωνος τοῦ Συρακοσίου τὴν δαπάνην παρέχοντος, Ἐπαμεινώνδᾳ δὲ τῶν περὶ Πελοπίδαν. (5) Οὐ γάρ ἐστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος, ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινὰς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρότητος, οὐκ ἀπωθοῦνται. (6) Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον· ἀπὸ γὰρ τῶν Περσικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας, ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτὸν, ἀλλὰ τὸν μὲν Ξενοφίλου πατρὸς, τὸν δὲ χρόνῳ πολλῷ νεώτερον, ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην ὄντα γραμματικῆς καὶ προσγεγραμμένος ὁ Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδεὶς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. Τὸ μὲν οὖν τοῦ Παναιτίου βέλτιον ἐπισκεπτέον ὅπως ἔχει. (7) Τῷ δ' ὀστράκῳ πᾶς ὁ διὰ δόξαν ἢ γένος ἢ λόγου δύναμιν ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος ὑπέπιπτεν· ὅπου καὶ Δάμων ὁ Περικλέους διδάσκαλος, ὅτι τὸ φρονεῖν ἐδόκει τις εἶναι περιττὸς, ἐξωστρακίσθη. (8) Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς οὐ κυαμευτὸν, ἀλλ' ἑλομένων Ἀθηναίων φησίν. Εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες. (9) Ἀλλὰ γὰρ ὁ μὲν Δημήτριος οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτην δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου κακοῦ· καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

14.

Aristides Lysimachi filius, de tribu Antiochide, curia Alopecensis fuit. De facultatibus ejus diversa traduntur. Quidam summa in paupertate vitam exegisse, duasque morientem filias reliquisse scribunt, quæ diu ob inopiam maritos non invenerint. (2) Huic multorum narrationi Demetrius Phalereus in Socrate repugnans, cognitum sibi in Phalero prædium ait Aristidis, in quo is sepultus sit. Non defuisse autem rem ei familiarem, primum ex eo colligit, quod is sorte fabarum lectus magistratum, qui Eponymus appellatur, gesserit, qui iis modo committeretur, quorum familiæ maximum censum explerent, videlicet quingentorum medimnorum, unde πενταχοσιομέδιμνοι dicebantur : deinde, quod ostracismo in exilium sit pulsus; id vero non pauperibus, sed illustri genere natis atque invidiæ ob potentiam obnoxiis, decerni solitum. (3) Postremo, quod victoriæ donaria tripodes spectaculis sacros reliquerit in fano Bacchi, qui nostro quoque ostendebantur tempore, hac inscriptione : « Vicit Antiochis, Aristides sumptum fecit, Archestratus docuit. » (4) Postremum hoc argumentum, quum maximum videatur, omnium minime valet. Nam et Epaminondas, quem extrema in paupertate et educatum fuisse et vixisse notum est omnibus, et Plato philosophus, haud illiberales uterque sumptus, in tibicines alter, alter in cyclicos pueros fecit : suppeditante huic quidem Dione Syracusano, illi autem Pelopida. (5) Neque enim viris bonis tale adversus omnia amicorum munera bellum suscipitur, quod componi nulla pace aut conditione possit; sed ea quæ ad reponendum et divitias parandas spectant, illiberalia et vilia judicantes non tamen ea repudiant, quæ liberalitati nullum lucrum admittenti et splendori serviunt. (6) Panætius quidem Demetrium in tripode illo nominis communitate deceptum asserit : nam a Persico ad finem usque Peloponnesiaci belli, duos tantum recenseri Aristidas, qui choro sumptibus suppeditatis vicerint, neutrum vero cum Lysimachi filio eundem fuisse, sed unum Xenophili filium, alterum multo post tempore natum; quod et literæ ipsæ ostendant, eo modo scriptæ, qui post Euclidem cœpit, et Archestratus ascriptus, quem fabulas Medico bello docuisse nemo, multi Peloponnesiaco scribunt. De hoc Panætii sermone qualis sit, amplius cogitare expedit. (7) Ostracismo quidem quicumque gloria, genere aut eloquentia multitudinem excellere existimarentur, erant obnoxii : quando Damon etiam Periclis magister, quod nimium sapere putaretur, testularum suffragiis in exilium missus est. (8) Sane Idomeneus non sorte fabarum ductum, sed electum ab Atheniensibus Aristidem ad gerendum eum magistratum scribit : quod si accidit, ut ipse tradidit Demetrius, post Platæensem pugnam, equidem probabile admodum est, virum tanta rerum gestarum gloria insignem iis dignum judicatum honoribus, quos alii divitiarum nomine adipiscerentur. (9) Verum Demetrius non Aristidem modo, sed et Socratem a paupertate tanquam

Idem ib. c. 5, 10 : Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. Καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. Ἐν δὲ ταῖς ἀναγραφαῖς μετὰ μὲν Ξανθιππίδην, ἐφ' οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἔστι, μετὰ δὲ Φάνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

Quod ad ἀρχὴν illam Aristidis pertinet, patet Plutarchum cogitasse de Aristide archonte ἐπωνύμῳ. Quod ab ipso Demetrio, ἀρχόντων ἀναγραφῆς auctore, alienum fuisse tum per se probabile est, tum pluribus ostendit Bœckhius in Commentatione De archontibus pseudeponymis. Et omnino sæpius factum est ut ii, qui aliam quamcumque ἀρχὴν exercuerant, eponymi numerati sint.

15.

Idem ib. c. 27, 4 : Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον) ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς Περὶ Σωκράτους ἀντείρηκεν. Ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε. Τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας δωρεὰν ἔπεισε τὸν δῆμον διδόναι τριώβολον ἑκάστης ἡμέρας. Αὐτὸς μέντοι ὁ Δημήτριος νομοθετῶν ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν. Cf. Athen. XIII, p. 555, A, ubi eadem. Vide not. ad Callisthenis fr. 16.

16.

Plutarch. Demosthen. c. 9 : Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίῳ τῷ Φαληρεῖ καὶ τοῖς κωμικοῖς. Ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθουσιῶντα·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

Hæc et seqq. fortasse e libris Περὶ ῥητορικῆς petita. Plura etiam de Demosthene dixerit in libris Περὶ δημαγωγίας.

17.

Idem ib. c. 11 : Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι, διαλεγόμενον, καὶ λόγους τινὰς, ἢ στίχους, ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. Λέγεται δ', ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας, καὶ διεξιόντος ὡς ὑπό του λάβοι πληγάς· « Ἀλλὰ σύ γε, » φάναι τὸν Δημοσθένην, « τούτων, ὧν λέγεις, οὐδὲν

---

magno malo vindicare studet : huic enim non domum tantum fuisse ait, sed etiam minas septuaginta apud Critonem in fœnore positas.

Statim deinde Aristides magistratum eponymum gessit : quanquam Demetrius Phalereus paullo ante mortem ac post Platæense prœlium hoc factum dicat. Atqui in commentariis a Xanthippida, sub quo ad Platæas victus est Mardonius, ne alium quidem ullum qui Aristidis nomen tulerit invenire inter tam multos licet; post Phanippum, sub quo Marathonia victoria parta est, statim Aristidem magistratum gessisse annotatur.

15.

Demetrius Phalereus, Hieronymus Rhodius, Aristoxenus musicus, et Aristoteles (si quidem liber de Ingenuitate inter ejus genuinos libros haberi debet) narrant, Myrtonem filia Aristidis natam, Socratis sapientis uxorem fuisse, qui quum aliam haberet in matrimonio, viduam eam et egenam susceperit. Contra hos satis est a Panætio dictum in iis quæ de Socrate scripsit. Demetrius idem in Socrate meminisse se ait Lysimachi, filia Aristidis nati admodum pauperis, qui tabella quadam insomniorum significationes continente fretus, ad Iaccheum sedens sese aluerit. Ipse Demetrius rogationem tulit, ut matri ejus et materteræ doni nomine populus in singulos dies tres obolos daret : idem tamen leges ferens decrevit, ut harum feminarum utrique drachma quotidie penderetur.

16.

Plus enim audaciæ atque confidentiæ dictæ ejus quam scriptæ orationes habuerunt, si quidem Eratostheni, Demetrio Phalereo, et Comicis credimus. Eratosthenes enim sæpe eum ait inter dicendum furore abreptum. Demetrius eum veluti divinitus percitum, juramentum illud numeris comprehensum jurasse ad populum :

Adjuro terram, fontes, latices, flumina.

17.

Corporis autem vitiis ut mederetur, hujusmodi usus est exercitatione, ut quidem Demetrius Phalereus ex ipso se jam sene audivisse perhibet. Assumptis in os calculis, verba simul aliquot recitans, hæsitantiam et balbutiem linguæ correxit. Vocem inter currendum exercuit, interque ascendendum per acclivia locutus est, simulque increbrescente spiritu versus aliquot aut sententias protulit. Domi habuit magnum speculum, ex adverso ejus stans declamare solitus. Ferunt etiam homini cuidam ad se venienti patrociniumque petenti, quod vapulasse a quodam se diceret, respon-

πέπονθας. » Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος, « Ἐγὼ, Δημόσθενες, οὐδὲν πέπονθα; » « Νὴ Δία, φάναι, νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. » Οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον, καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς· οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν.

18.

Idem ib. c. 28 : Oratoribus populiscito capitis damnatis, Demosthenes fuga evasit. Ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας, ὁ κληθεὶς Φυγαδοθήρας. Τοῦτον δὲ Θούριον ὄντα τῷ γένει λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν.

Fragmentum de Æschine rhetore vide in Idomenei fr. 15.

19.

E LIBRO ΠΕΡΙ ΤΗΣ ΤΥΧΗΣ.

Polybius (Exc. Vatican.) XXIX, 6, *c*, postquam de interitu regni Macedonici dixerat, subjicit :

Ὥστε πολλάκις καὶ λίαν μνημονεύειν τῆς Δημητρίου τοῦ Φαληρέως φωνῆς· ἐκεῖνος γὰρ ἐν τῷ Περὶ τῆς τύχης ὑπομνήματι βουλόμενος ἐναργῶς ὑποδεῖξαι τοῖς ἀνθρώποις τὸ ταύτης εὐμετάβολον, ἐπιστὰς ἐπὶ τοὺς κατ' Ἀλέξανδρον καιροὺς, ὅτε κατέλυσε τὴν Περσῶν ἀρχὴν, λέγει ταῦτα·

« Εἰ γὰρ λάβοις (πρὸ τῆς ἐννοίας add. Diodor.) μὴ χρόνον ἄπειρον, μηδὲ γενεὰς πολλὰς, ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν, γνοίης ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα· πεντηκοστῷ γὰρ ἔτει πρότερον οἴεσθ' ἂν ἢ Πέρσας ἢ βασιλέα τῶν Περσῶν ἢ Μακεδόνας ἢ βασιλέα τῶν Μακεδόνων, εἴ τις θεῶν αὐτοῖς προὔλεγε τὸ μέλλον, πιστεῦσαί ποτ' ἂν, ὡς εἰς τοῦτον τὸν καιρὸν Περσῶν μὲν οὐδ' ὄνομα λειφθήσεται τὸ παράπαν, οἳ πάσης σχεδὸν τῆς οἰκουμένης ἐδέσποζον· Μακεδόνες δὲ πάσης κρατήσουσιν, ὧν οὐδ' ὄνομα πρότερον ἦν (ὄνομα ἦν γνώριμον Diodor.); Ἀλλ' ὅμως ἡ πρὸς τὸν βίον ἡμῶν ἀσύνθετος τύχη (ἡμῶν ἀναλογία τῆς τύχης D.), καὶ πάντα παρὰ τὸν λογισμὸν τὸν ἡμέτερον καινοποιοῦσα, καὶ τὴν αὑτῆς δύναμιν ἐν τοῖς παραδόξοις (ἐνδόξοις D.) ἐνδεικνυμένη, καὶ νῦν, ὡς ἐμοὶ δοκεῖ, δείκνυσι πᾶσιν ἀνθρώποις (καὶ νῦν ὁμοίως ἐνδείκνυται, M. Diodor.), Μακεδόνας εἰς τὴν Περσῶν εὐδαιμονίαν (ἡγεμονίαν D.) εἰσοικίσασα, διότι καὶ τούτοις ταῦτα (τούτοις ἡ τύχη D.) τἀγαθὰ κέχρηκεν, ἕως ἂν ἄλλο τι βουλεύσηται περὶ αὐτῶν. »

Ταῦτα μὲν ὁ Δημήτριος ὡσανεὶ θείῳ τινὶ στόματι περὶ τοῦ μέλλοντος πεφοίβακεν... Δοκεῖ γάρ μοι θειοτέραν ἢ κατ' ἄνθρωπον τὴν ἀπόφασιν ποιήσασθαι· σχεδὸν γὰρ ἑκατὸν καὶ πεντήκοντα πρότερον ἔτεσι τἀληθὲς ἀπεφήνατο περὶ τῶν ἔπειτα συμβησομένων.

167+150=317. a. C.; itaque hunc libellum Demetrius scripserit quo tempore Athenarum erat administrator. — Eundem locum ex Polybio transcripsit Diodorus (Exc. Vat.) XXXI, 10.

---

disse : At tu quidem nihil eorum quæ narras passus es. Intendente eo deinde vocem et clamante : Ego vero, o Demosthenes, nihil passus sum? dixisse : Jam profecto hominis injuria affecti vocem audio. Adeo multum conducere ad fidem faciendam vocis contentionem gestusque putabat. Multitudini porro actio ipsius mirum in modum placuit; politiores humilem eam et indignam mollemque judicabant, inter quos Demetrius etiam Phalereus est.

18.

Aliis damnatorum alio dilapsis, Antipater circummisit qui eos caperent, principe inquisitorum Archia, eo qui Phygadotheras (i. e. *fugitivorum indagator*) cognominatus fuit. Hunc Thurium natione aliquando histrionem fuisse tragicum perhibent, et Polum Æginetam, qui eo artificio neminem habuit parem, hujus dicipulum fuisse. Hermippus Archiam inter Lacriti oratoris discipulos numerat, Demetrius Anaximenis auditorem fuisse tradit.

19.

Quæ quum ita habeant, sæpe equidem ac magnopere mente recolui Phalerei Demetrii effatum. Is enim in Commentario qui inscribitur De fortuna, dum hujus vult mortalibus evidenter demonstrare volubilitatem, animum advertens ad Alexandri tempora, quum is Persarum imperium delevit, hæc verba facit :

« Nam si quis haud quidem immensum tempus, neque multas hominum ætates, sed quinquaginta tantummodo ante hæc nostra tempora annos consideret, jam hinc, quam dura sit fortuna, agnoscet. Ante annos enim quinquaginta, putatisne vel Persas regemve Persarum, vel Macedones eorumve regem, si quis deus ipsis futura fata revelavisset, putatisne, inquam, sibi fore persuasuros, hac ipsa ætate ne nomen quidem Persarum superfuturum, qui tum universo fere orbi dominabantur; Macedones autem omnium rerum potituros, quorum eo tempore ne nomen quidem notum erat? Profecto infida ista vitæ nostræ fortuna, atque omnia præter opinionem nostram innovans, potentiamque suam inopinatis casibus patefaciens, etiam nunc, ut arbitror, cunctis hominibus demonstravit, dum Persarum felicitatem ad Macedones transtulit, hos quoque tamdiu his bonis ex concessu frui permittens, donec aliter de iis statuere ei videbitur. »

Hæc Demetrius divino quodam ore ac veluti de Apollinis tripode vaticinatus est; qui sane mihi videtur divinius quam humana conditio fert, effatum edidisse; nam centum prope et quinquaginta ante annos, id quod futurum erat, verissime enuntiavit.

Josephus C. Apion. I, 23 : Multi historici Græci Judæorum mentionem fecerunt. Qui quamvis in multis erraverint, κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν... Ὁ μέντοι Φαληρεὺς Δημήτριος καὶ Φίλων ὁ πρεσβύτερος καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. Verum nullus dubito, quin Demetrius ille sit non Phalereus, sed Demetrius is qui Judæorum historiam scripsit, Ptolemæi IV vel V coævus (V. Clem. Alex. Strom. I, p. 146).

Hæc e Demetrii reliquiis attulisse sufficiat. Reliqua ad literas et philosophiam etc. spectantia de industria omitto.

STRATO LAMPSACENUS.

Strato Arcesilai filius, Lampsacenus, Theophrasti, sicuti Demetrius Phalereus, discipulus, ejusque in schola successor (287 a. C.), præter philosophica, quorum titulos recenset Diogenes Laert. V, 28, opus scripsit Περὶ εὑρημάτων, sive, ut Diogenes ait, Εὑρημάτων ἐλέγχους δύο : quod quid sibi velit, liquet ex Plinio, qui inter auctores ad concinnandum Hist. Nat. librum VII adhibitos ponit *Stratonem qui contra Ephori* εὑρήματα *scripsit*. Ceterum Polybius (Exc. Vatican.) XII, 25 *c*. ed. Didot., postquam de Timæo aliorum scriptorum objurgatore dixerat, subjicit : Παραπλήσιον Στράτωνι τῷ φυσικῷ συμβέβηκε· καὶ γὰρ ἐκεῖνος ὅταν ἐγχειρήσῃ τὰς τῶν ἄλλων δόξας διαστέλλεσθαι καὶ ψευδοποιεῖν, θαυμάσιός ἐστιν· ὅταν δ' ἐξ αὑτοῦ τι προφέρηται καί τι τῶν ἰδίων ἐπινοημάτων ἐξηγῆται, παρὰ πολὺ φαίνεται τοῖς ἐπιστήμοσιν εὐηθέστερος αὑτοῦ καὶ νωθρότερος.

ΠΕΡΙ ΕΥΡΗΜΑΤΩΝ.

Clemens Alex. Strom. I, p. 129, 29 Sylb. : Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μηδὲν ἄγαν. Στράτων δὲ ἐν τῷ Περὶ εὑρημάτων Στρατοδήμῳ τῷ Τεγεάτῃ προσάπτει τὸ ἀπόφθεγμα, Δίδυμος δὲ Σόλωνι αὐτὸ ἀνατίθησιν. Pro Στρατοδήμῳ procul dubio scribendum Ἀριστοδήμῳ, quanquam hunc non Tegeatam, sed Argivum vel Lacedæmonium reliqui dicunt.

Idem ibid. p. 133, postquam varia variorum inventa recensuerat, inter fontes suos præter Scammonem aliosque etiam Stratonem Peripateticum ἐν τοῖς Περὶ εὑρημάτων nominat. (V. fragm. Scammonis.)

THEODECTES PHASELITA.

Suidas : Θεοδέκτης Φασελίτης, ῥήτωρ, υἱὸς τοῦ προτέρου (sc. Theodectis rhetoris et tragici), ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου Ἠπειρώτου, Ἱστορικὰ ὑπομνήματα, Νόμιμα βαρβαρικά, [Τέχνην ῥητορικὴν ἐν βιβλίοις ζ',] καὶ ἄλλα πολλὰ Ὑπομνήματα.

De Theodecte seniore, Isocratis et Platonis discipulo, qui natus circa Ol. 100, jam mortuus erat Ol. 111, 4. 333 (Plutarch. Alex. 17), vide Westermann. in *Gesch. d. gr. Bereds*. 50, 6; 68, 21, et Wagner. in Fragm. tragg. p. 113 sqq. De filio Theodecte, qui sub Ptolemæo I floruisse debet, aliunde non constat; neque operum fragmentum aliquod potui indagare.

DE INVENTIS.

Illud : *Ne quid nimis* Chiloni Lacedæmonio ascribunt. Straton vero in libro De inventis dictum hoc Stratodemo (*Aristodemo*) Tegeatæ tribuit; Didymus denique Soloni vindicat.

LYCUS RHEGINUS.

Suidas : Λύκος, ὁ καὶ Βουθήρας, Ῥηγῖνος, ἱστορικὸς, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου τοῦ Φαληρέως. Οὗτος ἔγραψεν Ἱστορίαν Λιβύης καὶ Περὶ Σικελίας. Cf. Eudoc. p. 284, ubi pro Βουθήρας est Βουθύρας.

Idem v. Λυκόφρων, Χαλκιδεὺς ἀπὸ Εὐβοίας, υἱὸς Σωκλέους, θέσει δὲ Λύκου τοῦ Ῥηγίνου. — Tzetzes De vit. Lycophr. p. 263 ed. Müller. : Ὁ Λυκόφρων τῷ μὲν γένει ἦν Χαλκιδεὺς, υἱὸς Σωκλέους, ἢ Λύκου τοῦ ἱστοριογράφου κατά τινας.

De inimicitiis, quæ Lyco cum Demetrio intercedebant, accuratiora non traduntur. Ceterum ex iis colligimus Lycum vixisse Alexandriæ (*). Opus historicum scripsisse videtur De Alexandro (fr. 1, coll. fr. 2), Olympiadis fratre, rege Epirotarum, qui bellum in Italia gessit. Reliqua fragmenta non tam historica sunt quam periegetica de rebus memorabilibus Italiæ, Siciliæ, Libyæ. Quarum regionum descriptione bene meruisse Lycum testatur Agatharchides De mar. Rubr. init. : Τὰ μὲν πρὸς ἑσπέραν ἐξείργασται Λύκος τε καὶ Τίμαιος, τὰ δὲ πρὸς ἀνατολὰς Ἑκαταῖος καὶ Βάσιλις. De alio quodam scripto ad Lycum nostrum fortasse referendo vide fr. 15 (**).

(ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ.)

1.

Stephan. Byz. : Σκίδρός, πόλις Ἰταλίας. Τὸ ἐθνικὸν Σκιδρανός, ὡς Λύκος ἐν τῷ Περὶ Ἀλεξάνδρου. Urbis præter Lycum unus meminit Herodot. VI, 21 : Συβαρῖται, οἳ Λάον τε καὶ Σκίδρον οἴκεον, τῆς πόλιος ἀπεστερημένοι. Recentiorum de situ urbis conjecturas vide ap. Schillerum De Thuriorum Rep. p. 8.

2

Schol. Aristoph. Pac. 925 : Περὶ δὲ τῶν λαρινῶν βοῶν Λύκος μὲν ὁ Ῥηγῖνος ἐπὶ ταῖς πρὸς Ἀλέξανδρόν φησιν ἀπὸ Λαρίνου τινὸς βουκόλου ταύτην αὐτοὺς τὴν προσηγορίαν ἐσχηκέναι. Εἰσὶ δέ τινες οἳ παρὰ τὸν λάρον ἀξιοῦσιν αὐτοὺς οὕτω καλεῖσθαι· οἱ δὲ τὴν ρι συλλαβὴν δασύνουσιν, ἵν' ᾖ λαρινοὺς τοὺς μεγαλορίνους· Ἐν δὲ τῇ Χαονίᾳ φασὶ τοιούτους εἶναι βοῦς, οὓς καὶ Κεστρινοὺς καλοῦσιν. Ἄλλως. Τοὺς δὲ Ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρίνου βουκόλου, παραλαβόντος παρὰ Ἡρακλέους τὰς Γηρυόνου βοῦς, καὶ θρέψαντος εἰς εὐεξίαν.

Cf. Suidas : Λαρινοὶ βόες, οἱ ἐν Ἠπείρῳ, ἀπὸ Λαρίνου βουκόλου, κλέψαντος τὰς Ἡρακλέους βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε· Πρόξενος δὲ, αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διί· Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινούς· λαρινεύειν γὰρ τὸ σιτεύειν. Photius s. v.; Eustath. ad Il. p. 1243, 11, ad Odyss. p. 1383, 1. Ælianus Hist. An. XII, 11 : Μέγιστος δὲ ἦν ἄρα βοῶν οὗτος (Ὄνουφις) καὶ ὑπὲρ τοὺς Χάονας, οὕσπερ καὶ λαρινοὺς καλοῦσι Θεσπρωτοί τε καὶ Ἠπειρῶται, τῆς σπορᾶς τῆς τῶν Γηρυόνου βοῶν γενεαλογοῦντες. Hecatæi Mil. fr. 349; Aristoteles H. An. III, 16, 7; Athenæus IX, p. 376, B; Plinius H. N. VIII, 45, 76; Oppian. Cyn. II, 109; Apostolius XI, 77; Steph. Thes. s. v. — Verbis ἐπὶ ταῖς πρὸς Ἀλ., idem Lyci Βουθήρου opus significari, quod fragm. 1 citatur, non dubito. Quæritur quodnam fuerit. De Historia Alexandri Magni cogitavit Creuzerus *Hist. Kunst* p. 364. Quod quam sit veri dissimile monui in Præfat. ad Scriptor. Rer. Alex. p. V. Equidem cogitaverim de Historia expeditionis Italicæ Alexandri Epirotæ, adeoque ap. schol. Arist. rescripserim ἐν ταῖς περὶ Ἀλέξανδρον sc. ἱστορίαις. Quanquam fragmenta ad argumentum hoc haud proxime pertinent. Sin veriorem titulum indicat scholiastæ locus, utrum-

(*) Demetrius Phalereus in Ægypto vixit an. 296—283 a. C.

(**) A Rhegino distinguendus *Lycus Neapolitanus*, medicus, cujus Ἐξηγητικὸν τοῦ Διοσκούριδος laudat Erotian. v. Ἀρτίων. Alia ex eodem afferunt Suidas et Phot. v. Πύθω, et Plin. XX, 20, 83. Cf. Indic. ad Galen. — *Lycon Iasensis*, qui de Pythagora scripsit. V. Athenæus X, p. 480, F; 418, F; II, p. 69, E, ubi perperam scribitur Λύκος ὁ Πυθαγόρειος; Porphyrius Vit. Pyth. p. 4, ubi item Λύκος ἐν δ' Ἱστοριῶν.—*Lycon Tarentinus Pythagoreus* laudatur ap. Iamblich. V. P. 36. — Alius Lycon item Pythagoreus, ap. Euseb. P. E. XV, 2. Reliquos Lycones nihil curo. — *Lycus* Περὶ Θηβαίων, qui laudatur ap. Tzetz ad Lyc. 526, 1206, esse debet procul dubio *Lysimachus*, cujus v. fragm.

(DE REBUS ALEXANDRI EPIROTÆ?)

1.

Scidrus, urbs Italiæ. Gentile Scidrianus, uti est apud Lycum in libro De Alexandro.

2.

Larinos boves Lycus Rheginus in Historiis de Alexandro dicit nomen habere a Larino quodam bubulco (qui Geryonis boves ab Hercule acceperit [vel furatus sit] et eximie aluerit). Sunt tamen qui eos a λάρος (marina avi?) sic dictos esse velint; alii autem syllabam ρι cum spiritu aspero scribunt, ut λαρίνους sit idem quod μεγαλορίνους (magno naso præditos) : cujusmodi boves in Chaonia esse dicunt, quos etiam Cestrinos vocant.

que fragmentum referre licet ad Italica, cum Siculis illa conjuncta, quæ Alexandro (Epirotæ?) Lycus dedicaverit.

[ΙΤΑΛΙΚΑ.]

3.

E LIBRO TERTIO.

Tzetz. ad Lyc. 615 : Ἁλούσης τῆς Τροίας Διομήδης ἀντὶ βάρους λίθους ἐκ τοῦ τείχους τῆς Τροίας εἰς τὴν ἑαυτοῦ ναῦν ἐνέβαλε. Παραγενόμενος δὲ εἰς τὸ Ἄργος, καὶ μόλις φυγὼν τὸν ἐκ τῆς γαμετῆς αὐτοῦ θάνατον, παρεγένετο εἰς τὴν Ἰταλίαν. Εὑρὼν δὲ τηνικαῦτα τὸν Κολχικὸν δράκοντα λυμαινόμενον τὴν Φαιακίδα ἔκτεινε, τὴν τοῦ Γλαύκου χρυσῆν ἀσπίδα κατέχων. Ἐνόμισε γὰρ ὁ δράκων τὸ χρυσοῦν εἶναι δέρας τοῦ κριοῦ. Τιμηθεὶς δὲ ὁ Διομήδης ἐπὶ τούτῳ σφόδρα, ἀνδριάντας κατεσκεύασεν ἑαυτοῦ ἐκ τῶν λίθων τῆς Ἰλίου, ὧν ἐνέβαλε τότε εἰς τὴν ναῦν, καὶ ἔστησε τούτους κατὰ πᾶν τὸ ἐκεῖσε πεδίον. Ὕστερον δὲ ἀνελὼν ὁ Δαυνὸς αὐτὸν ἔρριψε καὶ τοὺς ἀνδριάντας εἰς τὴν θάλασσαν. Οὗτοι δὲ ἀνεχόμενοι ὑπὸ τῶν κυμάτων πάλιν ἐξήρχοντο πρὸς τὰς βάσεις αὐτῶν. Ἱστορεῖ δὲ τοῦτο Τίμαιος ὁ Σικελὸς (fr. 13) καὶ Λύκος ἐν τρίτῳ.

Τὴν Φαιακίδα Tzetzes et Lycophron v. 618 et 632, non Corcyram intelligunt, sed Dauniorum ditionem nomine isto latius patente designant. Nostra autem narratio apud alios conflata esse videtur cum ea, ex qua in Corcyra Diomedes draconem interfecit; atque sic explicanda esse puto quæ leguntur in Heraclidæ Pont. fr. 27, p. 220. Draco iste e Colchis venerat πρὸς ζήτησιν τοῦ χρυσοῦ δέρους, uti Tzetzes ait ad v. 630. Secundum Antoninum Lib. c. 37 Diomedes senectute confectus apud Daunios diem obiit. Lyci narrationem ex parte dederit Tzetzes ad Lyc. 603 : (Diomedes Troja redux) μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Ἀργείας Ἥρας βωμὸν καταφυγὼν σώζεται· ὕστερον δὲ εἰς Ἰταλίαν ᾤχετο, καὶ εἰς Δαύνιον ἔθνος βάρβαρον ὄν, οὗ ἐβασίλευσε Δαῦνος, ὃς πολιορκούμενος ἐδεήθη Διομήδους βοηθῆσαι αὐτῷ, ὑποσχόμενος δώσειν αὐτῷ τῆς γῆς μέρος. Ὁ δὲ βοηθήσας καὶ νίκην παρασχὼν Δαυνίοις, ἔκτισε πόλιν Ἀργύριππαν, ἤτοι Ἵππιον Ἄργος. Ὕστερον δὲ ὁ Δαῦνος αἵρεσιν αὐτῷ ἐδίδου, εἰ βούλοιτο, ἢ ὅλην τὴν λείαν λαβεῖν τοῦ πολέμου ἢ τὴν γῆν ἅπασαν. Κριτὴς δ' αὐτῶν γέγονεν Ἄλαινος, ἀδελφὸς νόθος τοῦ Διομήδους, ἐρῶν Εὐίππης τῆς τοῦ Δαύνου θυγατρός, ὃς ἔκρινε τὸν Δαῦνον ἔχειν τὴν γῆν, Διομήδην δὲ τὴν λείαν λαβεῖν τοῦ πολέμου. Ἐφ' ᾧ ὀργισθεὶς Διομήδης κατηράσατο μὴ δύνασθαι σπείρειν τὴν γῆν, τὴν δὲ μὴ σπειρομένην ἀναδιδόναι καρπὸν, εἰ μή τις αὐτὴν σπείρῃ τῶν αὐτοῦ συγγενῶν ἢ συμπολιτῶν, καὶ μετακινῆσαι τὰς στήλας αὐτοῦ μηδένα δύνασθαι. Ὕστερον δὲ ὁ Διομήδης πρὸς τοῦ Δαύνου ἀνηρέθη· οἱ δὲ φίλοι αὐτοῦ θρηνοῦντες μετεβλήθησαν εἰς ὄρνεα ὅμοια κύκνοις κτλ.

4.

Antigonus Mir. 172 (188 W.) : Περὶ δὲ τῶν ζῴων Λύκον μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν (Καλλίμαχος) ἱστορεῖν, τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῶν Μήδων (l. Ἑλλήνων), ὅταν παραβάλλῃ τις εἰς τοὺς τόπους, οὐ μόνον ψαυομένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομένους εἰς τοὺς κόλπους ἐνδύνειν καὶ σαίνειν φιλοφρόνως· λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ τῶν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων εἰς τὴν τῶν ὀρνέων τούτων φύσιν μετασχηματισθέντων.

Ἑλλήνων pro Μήδων correx. Meursius, ex Pseudo-Aristot. Mir. ausc. c. 80, ubi pluribus res narratur, finiturque narratio hisce : Μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Δαύνου (sic Heyn.; Αἰνέου libri) τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου. Quibus probabile fit hæc ex eodem Lyco esse desumpta. Cum nostro fragmento ad verbum fere concinit Stephanus Byz. v. Διομήδεια. Post verba ὑπὸ μὲν τῶν Ἑλλήνων κτλ. aperte omissum est alterum colum, quo barbaris infestæ esse aves dicendæ erant, uti apud Aristot. l. l. et Ælianum Hist. An. I, 1, quem exscripsit Philes De propr. An. c. 5. Cf. Plinius H. N. X, 41, 61; Lycophron v. 595 ibique Tzetzes; Servius ad Æn. XII, 271; Ovid. Met. XIV, 502; Augustin. D. C. XVIII, 16, et diversa narratio apud Antonin. Lib. 37. Heyn. Exc. ad Virg. Æn. XI, 243.

[ITALICA.]

3.

E LIBRO TERTIO.

Capta Troja, Diomedes saburræ loco lapides muri Trojani in navem suam injecit. Qua quum Argos navigasset, ibique necem ab uxore ipsi intentatam vix effugisset, profectus est in Italiam. Offendit tum draconem Colchicum, quem Phæacidem terram vastantem interfecit manu tenens Glauci clypeum aureum. Scilicet putavit draco clypeum istum esse aureum velius arietis. Propterea Diomedes quum maximopere honoraretur, statuas sui ex lapidibus illis quos Troja solvens in navem injecerat, confecit et per omnem istic campum collocavit. Postea vero Daunus, ubi eum interfecerat, etiam statuas evertit et in mare conjecit. Illæ autem a fluctibus sustentatæ in terram ad fundamenta sua redierunt. Narrant hæc Timæus Siculus et Lycus libro tertio.

4.

De animalibus Callimachus ait Lycum narrare in Diomedea insula ardeas a Græcis quidem istuc locorum delatis non solum tangi se pati, verum etiam advolare ad eos et in sinus eorum capita abdere, ac benevole adblandiri; ferri autem ab indigenis Diomedis socios in avium harum naturam transmutatos esse.

5.

Ælianus N. An. XVII, 16 : Θεόπομπος λέγει τοὺς περὶ τὸν Ἀδρίαν οἰκοῦντας Ἐνετοὺς, ὅταν περὶ τὸν ἄροτον τρίτον καὶ σπόρον ἡ ὥρα ᾖ, τοῖς κολοιοῖς ἀποστέλλειν δῶρα· εἴη δ' ἂν τὰ δῶρα ψαιστὰ ἄττα καὶ μεμαγμέναι μᾶζαι καλῶς τε καὶ εὖ. Βεβούληται δὲ ἄρα ἡ τῶνδε τῶν δώρων πρόθεσις μειλίγματα τοῖς κολοιοῖς εἶναι καὶ σπονδῶν ὁμολογίαι, ὡς ἐκείνους τὸν καρπὸν τὸν Δημήτριον μὴ ἀνορύττειν καταβληθέντα εἰς τὴν γῆν μηδὲ παρεκλέγειν.

Λύκος δὲ ἄρα καὶ ταῦτα μὲν ὁμολογεῖ, καὶ ἐκεῖνα δὲ ἐπὶ τούτοις προστίθησι, * καὶ φοινικοῦς ἱμάντας τὴν χρόαν, καὶ τοὺς μὲν προθέντας ταῦτα εἶτα ἀναχωρεῖν· καὶ τὰ μὲν τῶν κολοιῶν νέφη τῶν ὅρων ἔξω καταμένειν, δύο δὲ ἄρα ἢ τρεῖς προῃρημένους κατὰ τοὺς πρέσβεις τοὺς ἐκ τῶν πόλεων πέμπεσθαι, κατασκεψομένους τῶν ξενίων τὸ πλῆθος· οἵπερ οὖν ἐπανίασι θεασάμενοι, καὶ καλοῦσιν αὐτοὺς, ᾗ πεφύκασιν οἱ μὲν καλεῖν, οἱ δὲ ὑπακούειν. Ἔρχονται μὲν κατὰ νέφη, ἐὰν δὲ γεύσωνται τῶν προειρημένων, ἴσασιν οἱ Ἐνετοὶ ὅτι ἄρα αὐτοῖς πρὸς τοὺς ὄρνιθας τοὺς προειρημένους ἔνσπονδά ἐστιν, ἐὰν δὲ ὑπερίδωσι καὶ ἀτιμάσαντες ὡς εὐτελῆ μὴ γεύσωνται, πεπιστεύκασιν οἱ ἐπιχώριοι, ὅτι τῆς ἐκείνων ὑπεροψίας ἐστὶν αὐτοῖς λιμὸς τὸ τίμημα. Ἄγευστοι γὰρ ὄντες οἱ προειρημένοι καὶ ἀδέκαστοί γε, ὡς εἰπεῖν, ἐπιπέτονταί τε ταῖς ἀρούραις καὶ τό γε πλεῖστον τῶν κατεσπαρμένων συλῶσι πικρότατά γε ἐκεῖνοι σὺν τῷ θυμῷ καὶ ἀνορύττοντες καὶ ἀνιχνεύοντες.

Cf. Theopomp. (fr. 143) ap. Antigon. Mir. 189 (173 Westerm.), ubi eadem brevius, ita tamen quasi totus locus e Theopompo fluxerit. Eadem etiam Aristot. Mir. ausc. 119, celans nomina auctorum. — προστίθησι κτλ.] « Orationem hiulcam omissione laborare monuit Schneiderus. Sententiam expleveris scribens : προστίθησι· προτιθέναι vel προθεῖναι (τοὺς Ἐνετοὺς sc.) καὶ φοινικοῦς ἱμάντας. Quale additamentum ea quæ sequuntur tantum non flagitant. φοινικούς *M. m;* πρὸς τὴν χρόαν *Vat.* [et cod. Paris. 1694], in qua lectione fortasse superest vestigium vocabuli omissi, quod quærimus. » Jacobs. Ceterum haud perspicio cur loros purpureos apposuerint.

Ξενίων τὸ πλῆθος] ξένων τὸ πλ. cod. Reg. 1694. ξενίων dedit Schneider; τῷ πλήθει τῶν ξένων alii libri, quod Jacobs. retineri vult scribendo τ. πλ. τὰ τῶν ξένων, *multitudinis, a qua missi sunt, in gratiam inspicientes res hospitum Venetorum.*

6.

Schol. Theocrit. VII, 78 : Ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ κτλ.] Λύκος (sic Toup.; libri Λύκιος) φησὶ τῆς Θουρίας ὄρος θαλαμὸν, ὑφ' ὃ ἄντρον τῶν Νυμφῶν. Καλοῦσι δὲ αὐτὸ Ἀλουσίας οἱ ἐπιχώριοι, ἀπὸ τοῦ παραρρέοντος Ἀλουσίου ποταμοῦ. Ἐν τούτῳ ποιμὴν ἐπιχώριος δεσπότου θρέμματα βόσκων, ἔθυε συχνῶς ταῖς Μούσαις. Οὗ χάριν δυσχεράνας ὁ δεσπότης εἰς λάρνακα κατακλείσας αὐτὸν ἀπέθετο. Τούτῳ δ' ἐδίσταξεν ὁ δεσπότης βουλευόμενος εἰ σώσειαν αὐτὸν αἱ Μοῦσαι. Παραδραμόντος δὲ διμηνιαίου χρόνου, παραγενόμενος καὶ τὰ ζύγαστρα τοῦ λάρνακος διανοίξας, ζῶντα κατείληφε, καὶ τὴν λάρνακα πεπληρωμένην κηρίων εὗρεν.

θαλαμὸν] θαλαμῶν conj. Reiskius; θαλάσσιον Toupius; ego : χθαμαλὸν, quod montis epitheton in humilem et aquosam Sybareos Thuriorumque regionem bene quadrare mihi videtur. Flumen in sequentibus memoratum apud Ælian. Nat. An. X, 38 dicitur Lusias, hodie *Lucino* sive *Lucido* (de quo Schiller. De Thuriorum Rep. p. 1 laudat Romanellium *Topografia del regno di Napoli* I, p. 229); quocum concinit Timæus apud Athen. XII, p. 519, B : τοῦ θέρους οἱ νεώτεροι αὐτῶν (sc. Sybaritarum) εἰς τὰ τῶν Νυμφῶν ἄντρα τῶν Λουσιάδων ἀποδημοῦντες διετέλουν μετὰ πάσης τρυφῆς. Vix puto Timæum, qui Lyco sæpius usus est, de nomine hoc ab eo dissensisse. Defendi tamen vulgata

---

5.

India figura quadrilatera est; ad orientem vergens latus et alterum, quod meridiem respicit, magnum illud mare circumdat; quod arctos versus tendit, Emodus mons a Scythia, quam Sacæ habitant, dividit; quartum ad occidentem Indus fluvius, post Nilum fere maximus omnium disterminat. (2) Totius Indiæ magnitudinem ab ortu versus occasum duodetriginta millibus stadiorum; a septemtrionibus versus meridiem, triginta duobus millibus definiunt. Hæc tanta Indiæ magnitudo præ ceteris mundi partibus maxime solstitii æstivi tropicum complecti videtur. Et in multis remotioris Indiæ regionibus nullam interdiu a gnomonibus umbram spargi, noctuque Arctos visum subterfugere, videre est, imo in extremo ejus nec ipse Arcturus apparet. Hac ratione umbras quoque ad austrum cadere perhibent.

3. Crebros India montes habet, omni genere arborum fœcundarum refertos; campis etiam frugiferis longe lateque abundat, qui et amœnitate soli præstant, et ab amnium multitudine intersecantur. Et quia passim irrigatur, fit ut bis in anno fructibus exuberet, et varia bestiarum genera, tam volatilium, quam terrestrium, magnitudine ac robore insigni producat. (4) Plurimos porro ac prægrandes elephantos, pascuis abunde suppeditatis, nutrit; quapropter id genus belluæ istic locorum Africanas viribus multo præstant. Ideo quum larga earum sit Indis venatio, ad certamina bellica institutæ multum ad obtinendum victorias momenti afferunt.

XXXVI. 5. Similiter frugum cop'a, ut proceritate corporum et crassitie excellant homines, efficit: ut vero nihilominus artium scientia præstent, sors tulit; utpote quibus purus aer trahitur, et aqua subtilissima bibitur. (6) Tellus, mitiorum fructuum copia redundans, subterraneas quoque omnis generis metallorum venas habet. Nam multum ibi argenti et auri, nec parum æris ferrique et stanni nascitur, ceteraque omnia, quæ ad ornatum et usum, nec non ad bellicos apparatus conducant, abunde suppetunt. (7) Præter fruges Cereales, etiam milium in India copiosum, a benigna fluviorum irrigatione, provenit. Porro magna leguminum ibi copia et varietas; adde oryzam, et quod vocant bosporum, aliaque complura ad vitæ sustentationem commoda; adde ceteros esculentos fructus, animantibus nutriendis aptos: de quibus scribere longum est. (8) Idcirco nunquam a fame, aut ulla victus mansue-

τὴν Ἰνδικὴν ἐπιτυγχάνουσι· πάντων δὲ (μὴ) τελεσφορουμένων, θατέρου τῶν καρπῶν οὐκ ἀποτυγχάνουσιν. (9) Οἵ τε αὐτοματίζοντες καρποὶ καὶ αἱ κατὰ τοὺς ἑλώδεις τόπους φυόμεναι ῥίζαι διάφοροι ταῖς γλυκύτησιν οὖσαι πολλὴν παρέχονται τοῖς ἀνθρώποις δαψίλειαν· πάντα γὰρ σχεδὸν τὰ κατὰ τὴν χώραν πεδία γλυκεῖαν ἔχει τὴν ἀπὸ τῶν ποταμῶν ἰκμάδα καὶ τὴν ἀπὸ τῶν ἐν τῷ θέρει [γινομένων] κατ' ἐνιαυτὸν κυκλικῇ τινι περιόδῳ παραδόξως εἰωθότων γίνεσθαι δαψίλειαν, χλιαρῶν πιπτόντων ὑδάτων ἐκ τοῦ περιέχοντος ἀέρος, καὶ τὰς ἐν τοῖς ἕλεσι ῥίζας ἕψοντος τοῦ καύματος, καὶ μάλιστα τῶν μεγάλων καλάμων. (10) Συμβάλλονται δὲ παρὰ τοῖς Ἰνδοῖς καὶ τὰ νόμιμα πρὸς τὸ μηδέποτε ἔνδειαν τροφῆς παρ' αὐτοῖς εἶναι· παρὰ μὲν γὰρ τοῖς ἄλλοις ἀνθρώποις οἱ πολέμιοι καταφθείροντες τὴν χώραν ἀγεώργητον κατασκευάζουσι· παρὰ δὲ τούτοις τῶν γεωργῶν ἱερῶν καὶ ἀσύλων ἐωμένων, οἱ πλησίον τῶν παρατάξεων γεωργοῦντες ἀνεπαίσθητοι τῶν κινδύνων εἰσίν. Ἀμφότεροι γὰρ οἱ πολεμοῦντες ἀλλήλους μὲν ἀποκτείνουσιν ἐν ταῖς μάχαις, τοὺς δὲ περὶ τὴν γεωργίαν ὄντας ἐῶσιν ἀβλαβεῖς, ὡς κοινοὺς ὄντας ἁπάντων εὐεργέτας, τάς τε χώρας τῶν ἀντιπολεμούντων οὔτ' ἐμπυρίζουσιν οὔτε δενδροτομοῦσιν.

XXXVII. 11. Ἔχει δὲ καὶ ποταμοὺς ἡ χώρα τῶν Ἰνδῶν πολλοὺς καὶ μεγάλους πλωτούς, οἳ τὰς πηγὰς ἔχοντες ἐν τοῖς ὄρεσι τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις φέρονται διὰ τῆς πεδιάδος, ὧν οὐκ ὀλίγοι συμμίσγοντες ἀλλήλοις ἐμβάλλουσιν εἰς ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην. (12) Οὗτος δὲ τὸ πλάτος γενόμενος σταδίων τριάκοντα φέρεται μὲν ἀπὸ τῆς ἄρκτου πρὸς μεσημβρίαν, ἐξερεύγεται δὲ εἰς τὸν Ὠκεανόν, ἀπολαμβάνων εἰς τὸ πρὸς ἕω μέρος τὸ ἔθνος τὸ τῶν Γανδαριδῶν (Γαγγαριδῶν?), πλείστους ἔχον καὶ μεγίστους ἐλέφαντας. (13) Διὸ καὶ τῆς χώρας ταύτης οὐδεὶς πώποτε βασιλεὺς ἔπηλυς ἐκράτησε, πάντων τῶν ἀλλοεθνῶν φοβουμένων τὸ πλῆθος καὶ τὴν ἀλκὴν τῶν θηρίων. Καὶ γὰρ Ἀλέξανδρος ὁ Μακεδὼν ἁπάσης τῆς Ἀσίας κρατήσας μόνους τοὺς Γανδαρίδας οὐκ ἐπολέμησε· καταντήσας γὰρ ἐπὶ τὸν Γάγγην ποταμὸν μετὰ πάσης τῆς δυνάμεως, καὶ τοὺς ἄλλους Ἰνδοὺς καταπολεμήσας, ὡς ἐπύθετο τοὺς Γανδαρίδας ἔχειν τετρακισχιλίους ἐλέφαντας πολεμικῶς κεκοσμημένους, ἀπέγνω τὴν ἐπ' αὐτοὺς στρατείαν. (14) Ὁ δὲ παραπλήσιος τῷ Γάγγῃ ποταμός, προσαγορευόμενος δὲ Ἰνδός, ἄρχεται μὲν ὁμοίως ἀπὸ τῶν ἄρκτων, ἐμβάλλων δὲ εἰς τὸν Ὠκεανὸν ἀφορίζει τὴν Ἰνδικήν· πολλὴν δὲ διεξιὼν πεδιάδα χώραν δέχεται ποταμοὺς οὐκ ὀλίγους πλωτούς, ἐπιφανεστάτους δὲ Ὕπανιν καὶ Ὑδάσπην καὶ Ἀκεσῖνον. (15) Χωρὶς δὲ τούτων ἄλλο πλῆθος ποταμῶν παντοδαπῶν διαρρεῖ, καὶ ποιεῖ κατάφυτον πολλοῖς κηπεύμασι καὶ καρποῖς παντοδαποῖς τὴν χώραν. (16) Τοῦ δὲ κατὰ τοὺς ποταμοὺς πλήθους καὶ τῆς τῶν ὑδάτων ὑπερβολῆς αἰτίαν φέρουσιν οἱ παρ' αὐτοῖς φιλόσοφοι καὶ φυσικοὶ τοιαύτην· τῆς Ἰνδικῆς φασι τὰς περικειμένας χώρας, τήν τε Σκυθῶν καὶ Βακτριανῶν, ἔτι δὲ καὶ τῶν Ἀριανῶν, ὑψηλοτέρας εἶναι τῆς Ἰνδικῆς· ὥστε εὐλόγως εἰς τὴν ὑποκειμένην χώραν πανταχόθεν συρρεούσας τὰς λιβάδας ἐκ τοῦ κατ' ὀλίγον ποιεῖν τοὺς τόπους καθύγρους καὶ γεννᾶν ποταμῶν πλῆθος. (17) Ἴδιον δέ τι συμβαίνει περί τινα τῶν κατὰ τὴν Ἰνδικὴν ποταμῶν τὸν

---

tioris inopia Indiam vexari perhibent. Quum enim bis quolibet anno in India pluat, semel sub hiemem, quando tritici, sicuti apud alios, fit sementis; iterum circa solstitium æstivum, in quod oryzæ, bospori, sesami et milii satio incidit : ex utraque messe utplurimum Indis larga frugum copia redit. Quodsi una messis non perfecte omnia præstat, alterius certe frugibus non destituuntur. (9) Quin etiam sponte procreati fructus et in palustribus enatæ radices dulcedine eximia largam sui copiam mortalibus præbent. Omnes enim prope regionis illius campi dulci amnium imbriumque, qui anniversario per æstatem circuitu exsistere repente solent, humore perfunduntur. Radices autem in paludibus, præsertim magnarum arundinum, æstus solis percoquit. (10) Ad id vero, ne fames apud Indos ingravescat, plurimum etiam leges conferunt. Apud alios enim mortales populatione hostili terra inculta redditur; sed apud hos agricolæ sacri et inviolabiles manent, ita ut nec proximi collatis aciebus et pugnis aliquid periculi sentiant. Nam belligerantium utrimque acies in se quidem mutua inter pugnandum cæde grassantur; sed terræ culturæ deditos haudquaquam lædunt, utpote qui communi omnes beneficio sibi devinciant. Ideo neque incendiis neque arborum excisionibus hostium terras multant.

XXXVII. 11. Amnes præterea multos habet India magnosque et navigiis aptos, qui in Borealibus orti montibus per campestria decurrunt, multique eorum inter se commixti in fluvium, Gangen Indis vocitatum, sese effundunt. (12) Is triginta stadiorum latitudine a borea defertur ad meridiem, et disterminata versus ortum Gangaridarum (V. *Lassen. Pentapol.* 16) natione, quæ prægrandibus abundat elephantis, in Oceanum sese eructat. (13) Necdum regum advenarum quisquam terram illam subegit, quum omnes alienigenæ numerum et robur belluarum reformident. Ipse etiam Alexander, redacta sub jugum Asia tota, solos Gandaridas bello intactos reliquit : postquam enim ad Gangen cum omni exercitu venerat, aliis retro Indis jam devictis, simulac Gandaridas quater mille elephantes ad bellum egregie instructos habere animadvertit, expeditionem in illos omittendam censuit. (14) Affinis autem Gangæ fluvius, quem Indum vocant, et ipse e septemtrionalibus in Oceanum decurrens, Indiam a cetera Asia separat, dumque per longe patentes campos delabitur, complures et quidem navigabiles fluvios, inter quos Hypanis et Hydaspes Acesinusque spectatissimi, alveo excipit. (15) Præter hæc multa quoque alia diversi generis flumina, Indiæ terras interlabentia, crebris hortis omnigenisque fructibus uberes reddunt. (16) Quod autem India tot amnibus et tanta aquarum copia redundet, philosophi ejus loci ac physici hanc afferunt causam. Adjacentes Scytharum Bactrianorumque et Arianûm terras editiorem habere situm autumant quam Indiam. Hinc bonis rationibus consequi ut in subjectam undique regionem humor confluens paulatim

ὀνομαζόμενον Σίλλαν, ῥέοντα δὲ ἔκ τινος ὁμωνύμου κρήνης· ἐπὶ γὰρ τούτου μόνου τῶν ἁπάντων ποταμῶν οὐδὲν τῶν ἐμβαλλομένων εἰς αὐτὸν ἐπιπλεῖ, πάντα δ' εἰς τὸν βυθὸν καταδύεται παραδόξως.

XXXVIII. 18. Τὴν δ' ὅλην Ἰνδικὴν οὖσαν ὑπερμεγέθη λέγεται κατοικεῖν ἔθνη πολλὰ καὶ παντοδαπὰ, καὶ τούτων μηδὲν ἔχειν τὴν ἐξ ἀρχῆς γένεσιν ἔπηλυν, ἀλλὰ πάντα δοκεῖν ὑπάρχειν αὐτόχθονα, πρὸς δὲ τούτοις μήτε ξενικὴν ἀποικίαν προσδέχεσθαι πώποτε μήτε εἰς ἄλλο ἔθνος ἀπεσταλκέναι. (19) Μυθολογοῦσι δὲ τοὺς ἀρχαιοτάτους ἀνθρώπους τροφαῖς μὲν κεχρῆσθαι τοῖς αὐτομάτως φυομένοις ἐκ τῆς γῆς καρποῖς, ἐσθῆσι δὲ ταῖς δοραῖς τῶν ἐγχωρίων ζῴων, καθάπερ καὶ παρ' Ἕλλησιν· ὁμοίως δὲ καὶ τῶν τεχνῶν τὰς εὑρέσεις καὶ τῶν ἄλλων τῶν πρὸς βίον χρησίμων ἐκ τοῦ κατ' ὀλίγον γενέσθαι, τῆς χρείας αὐτῆς ὑφηγουμένης εὐφυεῖ ζῴῳ καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

20. Μυθολογοῦσι δὲ παρὰ τοῖς Ἰνδοῖς οἱ λογιώτατοι περὶ ὧν καθῆκον ἂν εἴη συντόμως διελθεῖν. Φασὶ γὰρ ἐν τοῖς ἀρχαιοτάτοις χρόνοις, παρ' αὐτοῖς ἔτι τῶν ἀνθρώπων κωμηδὸν οἰκούντων, παραγενέσθαι τὸν Διόνυσον ἐκ τῶν πρὸς ἑσπέρας τόπων ἔχοντα δύναμιν ἀξιόλογον· ἐπελθεῖν δὲ τὴν Ἰνδικὴν ἅπασαν, μηδεμιᾶς οὔσης ἀξιολόγου πόλεως τῆς δυναμένης ἀντιτάξασθαι. (21) Ἐπιγενομένων δὲ καυμάτων μεγάλων, καὶ τῶν τοῦ Διονύσου στρατιωτῶν λοιμικῇ νόσῳ διαφθειρομένων, συνέσει διαφέροντα τὸν ἡγεμόνα τοῦτον ἀπαγαγεῖν τὸ στρατόπεδον ἐκ τῶν πεδινῶν τόπων εἰς τὴν ὀρεινήν· ἐνταῦθα δὲ πνεόντων ψυχρῶν ἀνέμων καὶ τῶν ναματιαίων ὑδάτων καθαρῶν ῥεόντων πρὸς αὐταῖς ταῖς πηγαῖς, ἀπαλλαγῆναι τῆς νόσου τὸ στρατόπεδον· ὀνομάζεσθαι δὲ τῆς ὀρεινῆς τὸν τόπον τοῦτον Μηρὸν, καθ' ὃν ὁ Διόνυσος ἐξέτρεψε τὰς δυνάμεις ἐκ τῆς νόσου· ἀφ' οὗ δὴ καὶ τοὺς Ἕλληνας περὶ τοῦ θεοῦ τούτου παραδεδωκέναι τοῖς μεταγενεστέροις τετράφθαι τὸν Διόνυσον ἐν μηρῷ. (22) Μετὰ δὲ ταῦτα τῆς παραθέσεως τῶν καρπῶν ἐπιμεληθέντα μεταδιδόναι τοῖς Ἰνδοῖς, καὶ τὴν εὕρεσιν τοῦ οἴνου καὶ τῶν ἄλλων τῶν εἰς τὸν βίον χρησίμων παραδοῦναι. Πρὸς δὲ τούτοις πόλεών τε ἀξιολόγων γενηθῆναι κτίστην, μεταγαγόντα τὰς κώμας εἰς τοὺς εὐθέτους τόπους, τιμᾶν τε καταδεῖξαι τὸ θεῖον καὶ νόμους εἰσηγήσασθαι καὶ δικαστήρια, καθόλου δὲ πολλῶν καὶ καλῶν ἔργων εἰσηγητὴν γενόμενον θεὸν νομισθῆναι καὶ τυχεῖν ἀθανάτων τιμῶν. (23) Ἱστοροῦσι δ' αὐτὸν καὶ γυναικῶν πλῆθος μετὰ τοῦ στρατοπέδου περιάγεσθαι, καὶ κατὰ τὰς ἐν τοῖς πολέμοις παρατάξεις τυμπάνοις καὶ κυμβάλοις κεχρῆσθαι, μήπω σάλπιγγος εὑρημένης. Βασιλεύσαντα δὲ πάσης τῆς Ἰνδικῆς ἔτη δύο πρὸς τοῖς πεντήκοντα γήρᾳ τελευτῆσαι· διαδεξαμένους δὲ τοὺς υἱοὺς αὐτοῦ τὴν ἡγεμονίαν ἀεὶ τοῖς ἀφ' ἑαυτῶν ἀπολιπεῖν τὴν ἀρχήν· τὸ δὲ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον καταλυθείσης τῆς ἡγεμονίας δημοκρατηθῆναι τὰς πόλεις.

XXXIX. 24. Περὶ μὲν οὖν τοῦ Διονύσου καὶ τῶν ἀπογόνων αὐτοῦ τοιαῦτα μυθολογοῦσιν οἱ τὴν ὀρεινὴν τῆς Ἰνδικῆς κατοικοῦντες. Τόν τε Ἡρακλέα φασὶ παρ' αὐτοῖς γεγενῆσθαι, καὶ παραπλησίως τοῖς Ἕλλησι τό τε ῥόπαλον καὶ τὴν λεοντῆν αὐτῷ προσάπτουσι· τῇ δὲ τοῦ σώματος ῥώμῃ καὶ ἀλκῇ πολλῷ τῶν ἄλλων ἀνθρώπων διενεγκεῖν, καὶ καθαρὰν ποιῆσαι τῶν θηρίων γῆν τε καὶ θάλατταν. (25) Γαμήσαντα δὲ πλείους γυ-

---

loca irriget, amnesque multos gignat. (17) At præ ceteris Indiæ fluviis peculiare quidpiam accidit illi, quem Sillam vocant, ex fonte ejusdem nominis profluenti : inter omnes enim fluvios hic solus nihil injectum supernatare sinit, sed cuncta in profundum demersa mirabili sane ratione absorbet.

XXXVIII. 18. India porro quum sit longe amplissima, multis variisque gentibus incoli, quarum nulla peregrinam habeat originem, sed omnes indigenæ putentur; nec unquam vel ab exteris accepisse, vel in aliam nationem emisisse colonias perhibetur. (19) Antiquissimos illic homines fructibus e terra sponte natis pro cibis, et pellibus animalium, ut etiam apud Græcos, pro vestibus usos esse ex fabulis antiquis referunt : similiter artes et cetera ad vitam necessaria paulatim inventa, quum ipsa necessitas animali, natura ingenioso, et cui manus, loquela, animi sagacitas ad omnia adjumento sint, ea subjecisset.

20. Fabulantur vero Indorum doctissimi complura, de quibus pauca hic recensere non alienum esse puto. Remotissimis, aiunt, temporibus, quum mortales ibi adhuc vicatim habitarent dispersi, Bacchus ex occiduis terræ partibus cum numeroso exercitu adventans, Indiam, nulladum urbe memorabili, quæ resistendo fuisset, instructam, totam peragravit. (21) Quum vero magnis vexati ardoribus milites peste interirent, dux ille prudentia excellens e campestribus in montana copias duxit : ubi frigidioris auræ afflatu et purioris aquæ, ad ipsas fontium scatebras promanantis, haustu recreati, morbo liberantur. Locus ille montanus, quo pestem a copiis suis depulit, Merus (*hoc est : Femur. Nomen Indicum montis : méru*) appellatur. Hinc igitur Græci Bacchum in femore nutritum posteris tradiderunt. (22) Is post hæc, aiunt, fructibus comportandis diligenter incumbens cum Indis eos communicavit : inventum etiam vini aliorumque vitæ conducentium usum illis tradidit. Urbes quoque magnificas exstruxit, pagis ad situs commodiores traductis. Tum numinis colendi rationem monstravit, legesque ac judicia instituit. Tandem quum multa Indos præclara edocuisset, inter deos recensitus, immortales obtinuit honores. (23) Feminarum quoque agmen in exercitu circumduxisse, et in acie tympanis cymbalisque, tuba nondum inventa, usum memorant. Et postquam Indiæ totius regnum per quinquaginta duo annos tenuisset, extrema senecta decessisse, filiis regni administratione relicta, qui suis deinceps posteris eam per successionem tradiderunt, donec multis post seculis abrogata potestate regia, populare civitates regimen instituêre.

XXXIX. 24. Hæc de Baccho ejusque progenie a montanis Indiæ habitatoribus referuntur. Adjiciunt, Herculem quoque apud se fuisse, et, quomodo Græci, clava leoninaque illum instruunt. Ac robore corporis fortitudineque

ναῖκας, υἱοὺς μὲν πολλοὺς, θυγατέρα δὲ μίαν γεννῆσαι· καὶ τούτων ἐνηλίκων γενομένων, πᾶσαν τὴν Ἰνδικὴν διελόμενον εἰς ἴσας τοῖς τέκνοις μερίδας ἅπαντας τοὺς υἱοὺς ἀποδεῖξαι βασιλέας, μίαν δὲ θυγατέρα θρέψαντα καὶ ταύτην βασίλισσαν ἀποδεῖξαι. (26) Κτίστην τε πόλεων οὐκ ὀλίγων γενέσθαι, καὶ τούτων τὴν ἐπιφανεστάτην καὶ μεγίστην προσαγορεῦσαι Παλίβοθρα· κατασκευάσαι δ' ἐν αὐτῇ καὶ βασίλεια πολυτελῆ καὶ πλῆθος οἰκητόρων καθιδρῦσαι· τήν τε πόλιν ὀχυρῶσαι τάφροις ἀξιολόγοις ποταμίοις ὕδασι πληρουμέναις. (27) Καὶ τὸν μὲν Ἡρακλέα τὴν ἐξ ἀνθρώπων μετάστασιν ποιησάμενον ἀθανάτου τυχεῖν τιμῆς· τοὺς δ' ἀπογόνους αὐτοῦ βασιλεύσαντας ἐπὶ πολλὰς γενεὰς καὶ πράξεις ἀξιολόγους μεταχειρισαμένους μήτε στρατείαν ὑπερόριον ποιήσασθαι, μήτε ἀποικίαν εἰς ἄλλο ἔθνος ἀποστεῖλαι. Ὕστερον δὲ πολλοῖς ἔτεσι τὰς πλείστας μὲν τῶν πόλεων δημοκρατηθῆναι, τινῶν δὲ ἐθνῶν τὰς βασιλείας διαμεῖναι μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως. (28) Νομίμων δ' ὄντων παρὰ τοῖς Ἰνδοῖς ἐνίων ἐξηλλαγμένων θαυμασιώτατον ἄν τις ἡγήσαιτο τὸ καταδειχθὲν ὑπὸ τῶν ἀρχαίων παρ' αὐτοῖς φιλοσόφων· νενομοθέτηται γὰρ παρ' αὐτοῖς δοῦλον μηδένα τὸ παράπαν εἶναι, ἐλευθέρους δ' ὑπάρχοντας τὴν ἰσότητα τιμᾶν ἐν πᾶσι. Τοὺς γὰρ μαθόντας μήθ' ὑπερέχειν μήθ' ὑποπίπτειν ἄλλοις κράτιστον ἕξειν βίον πρὸς ἁπάσας τὰς περιστάσεις· εὔηθες γὰρ εἶναι νόμους μὲν ἐπ' ἴσης τιθέναι πᾶσι, τὰς δ' ἐξουσίας ἀνωμάλους κατασκευάζειν.

XL. 29. Τὸ δὲ πᾶν πλῆθος τῶν Ἰνδῶν εἰς ἑπτὰ μέρη διῄρηται, ὧν ἐστι τὸ μὲν πρῶτον σύστημα φιλοσόφων, πλήθει μὲν τῶν ἄλλων μερῶν λειπόμενον, τῇ δ' ἐπιφανείᾳ πάντων πρωτεῦον· ἀλειτούργητοι γὰρ ὄντες οἱ φιλόσοφοι πάσης ὑπουργίας οὔθ' ἑτέρων κυριεύουσιν οὔθ' ὑφ' ἑτέρων δεσπόζονται. (30) Παραλαμβάνονται δὲ ὑπὸ μὲν τῶν ἰδιωτῶν εἴς τε τὰς ἐν τῷ βίῳ θυσίας καὶ εἰς τὰς τῶν τετελευτηκότων ἐπιμελείας, ὡς θεοῖς γεγονότες προσφιλέστατοι καὶ περὶ τῶν ἐν Ἅδου μάλιστα ἐμπείρως ἔχοντες, ταύτης τε τῆς ὑπουργίας δῶρά τε καὶ τιμὰς λαμβάνουσιν ἀξιολόγους· τῷ δὲ κοινῷ τῶν Ἰνδῶν μεγάλας παρέχονται χρείας παραλαμβανόμενοι μὲν κατὰ τὸ νέον ἔτος ἐπὶ τὴν μεγάλην σύνοδον, προλέγοντες δὲ τοῖς πλήθεσι περὶ αὐχμῶν καὶ ἐπομβρίας, ἔτι δὲ ἀνέμων εὐπνοίας καὶ νόσων καὶ τῶν ἄλλων τῶν δυναμένων τοὺς ἀκούοντας ὠφελῆσαι. (31) Τὰ μέλλοντα γὰρ προακούσαντες οἵ τε πολλοὶ καὶ ὁ βασιλεὺς ἐκπληροῦσιν ἀεὶ τὸ μέλλον ἐκλείπειν καὶ προκατασκευάζουσιν ἀεί τι τῶν χρησίμων· ὁ δὲ ἀποτυχὼν τῶν φιλοσόφων ἐν ταῖς προρρήσεσιν ἄλλην μὲν οὐδεμίαν ἀναδέχεται τιμωρίαν ἢ βλασφημίαν, ἄφωνος δὲ διατελεῖ τὸν λοιπὸν βίον.

32. Δεύτερον δ' ἐστὶ μέρος τὸ τῶν γεωργῶν, οἳ τῷ πλήθει τῶν ἄλλων πολὺ προέχειν δοκοῦσιν· οὗτοι δὲ πολέμων καὶ τῆς ἄλλης λειτουργίας ἀφειμένοι περὶ τὰς γεωργίας ἀσχολοῦνται· καὶ οὐδεὶς ἂν πολέμιος περιτυχὼν γεωργῷ κατὰ τὴν χώραν ἀδικήσειεν, ἀλλ' ὡς κοινοὺς εὐεργέτας ἡγούμενοι πάσης ἀδικίας ἀπέχονται. Διόπερ ἀδιάφθορος ἡ χώρα διαμένουσα καὶ καρποῖς βρίθουσα πολλὴν ἀπόλαυσιν παρέχεται τῶν ἐπιτηδείων

---

animi cunctos exsuperasse mortales; terramque et mare a monstris repurgasse. (25) Quumque ex multarum uxorum conjugio filios quidem multos, sed unam dumtaxat filiam procreasset; adultis his Indiam universam in partes æquales divisisse, ita ut suum cuique regioni ex filiis regem designaret, atque filiam quoque, quam unicam nutriverat, reginam constitueret. (26) Multas ab eo urbes conditas, et inter has, quæ maxima et clarissima, Palibothra nuncupatur, in qua, regia magnis sumptibus condita, magnum civium numerum collocasset, eamque fossis aqua fluviali repletis circummunivisset. (27) Ipsum denique mortalium consortio exemptum divinos honores promeruisse. Hujus etiam posteros, continuato per multas ætates imperio, res egregias gessisse, nulla tamen extra limites regni expeditione facta, nec coloniis ad alias gentes deductis. Et licet post longum temporis intervallum civitates pleræque statum popularem fuerint amplexæ, regna tamen nonnulla ad Alexandri usque adventum permansisse. (28) Quum autem peculiares et a ceteris alienas Indi leges habeant, istam ab antiquis eorum philosophis sancitam, præ ceteris admirandam quis censeat. Lege enim cautum est, ne quisquam omnino servus inter ipsos sit; sed ut liber unusquisque cum aliis æqualitatem colat. Qui enim nec superiores, nec inferiores aliis esse didicerint, hos vitam ad omnes fortunæ casus optime instructam habere: nam stultum esse, si quis leges cunctis æquas promulget, et inæqualitatem facultatum interim statuat.

XL. 29. Universus Indorum populus in septem tribus distributus est. Prima ex philosophis constat, qui numero quidem ceteris sunt inferiores, nobilitate autem primas tenent. Ab omni enim ministerio publico immunes, neque dominantur ipsi, neque aliorum dominio subjecti sunt. (30) A privatis ad rem divinam et defunctorum exsequias adhibentur, ut qui diis eximie sint cari, et eorum, quæ ad inferos pertinent, maxime periti. Pro quo officio dona honoresque magnificos recipiunt. In primis autem magnas reipublicæ Indorum utilitates afferunt, quando solemnibus novi anni comitiis adhibiti, siccitates et pluvias ventosque ac morbos et alia, quæ conducant audientibus, prædicunt. (31) Nam futura edocti et populus et rex, defectus ingruituros subinde explent, et perpetuo aliquid utilitatum præparant. Si quis autem philosophorum a veritate vaticinando aberrat, aliud pœnæ aut infamiæ genus non experitur, quam quod mutus deinceps vitam exigit.

32. Altera classis agricolarum est, qui multitudine ceteros longe præire videntur. Hi a militia publicisque operibus aliis exempti, omne studium et tempus agris colendis insumunt. Neque unquam hostis agricolam, cui in agris forte occurrit, damno afficit; sed ob communis beneficii reverentiam ab omni illorum injuria abstinent. Ideoque terra, dum nihil populationis experitur unquam, sua fructuum exuberantia largam victus copiam mortalibus subministrat. (33) In agris vitam agunt rustici cum uxoribus et liberis, et a commerciis urbicis omnino absistunt

τοῖς ἀνθρώποις. (33) Βιοῦσι δ' ἐπὶ τῆς χώρας μετὰ τέκνων καὶ γυναικῶν γεωργοὶ, καὶ τῆς εἰς τὴν πόλιν καταβάσεως παντελῶς ἀφεστήκασι. Τῆς δὲ χώρας μισθοὺς τελοῦσι τῷ βασιλεῖ διὰ τὸ πᾶσαν τὴν Ἰνδικὴν βασιλικὴν εἶναι, ἰδιώτῃ δὲ μηδενὶ γῆν ἐξεῖναι κεκτῆσθαι· χωρὶς δὲ τῆς μισθώσεως τετάρτην εἰς τὸ βασιλικὸν τελοῦσι.

34. Τρίτον δ' ἐστὶ φῦλον τὸ τῶν βουκόλων καὶ ποιμένων καὶ καθόλου πάντων τῶν νομέων, οἳ πόλιν μὲν ἢ κώμην οὐκ οἰκοῦσι, σκηνίτῃ δὲ βίῳ χρῶνται· οἱ δ' αὐτοὶ καὶ κυνηγοῦντες καθαρὰν ποιοῦσι τὴν χώραν ὀρνέων καὶ θηρίων· εἰς ταῦτα δὲ ἀσκοῦντες καὶ φιλοπονοῦντες ἐξημεροῦσι τὴν Ἰνδικὴν, πλήθουσαν πολλῶν καὶ παντοδαπῶν θηρίων τε καὶ ὀρνέων τῶν κατεσθιόντων τὰ σπέρματα τῶν γεωργῶν.

XLI. 35. Τέταρτον δ' ἐστὶ μέρος τὸ τῶν τεχνιτῶν· καὶ τούτων οἱ μέν εἰσιν ὁπλοποιοὶ, οἱ δὲ τοῖς γεωργοῖς ἤ τισιν ἄλλοις τὰ χρήσιμα πρὸς ὑπηρεσίαν κατασκευάζουσιν· οὗτοι δὲ οὐ μόνον ἀτελεῖς εἰσιν, ἀλλὰ καὶ σιτομετρίαν ἐκ τοῦ βασιλικοῦ λαμβάνουσι.

36. Πέμπτον δὲ στρατιωτικὸν, εἰς τοὺς πολέμους εὐθετοῦν, τῷ μὲν πλήθει δεύτερον, ἀνέσει δὲ καὶ παιδιᾷ πλείστῃ χρώμενον ἐν ταῖς εἰρήναις. Τρέφεται δ' ἐκ τοῦ βασιλικοῦ πᾶν τὸ πλῆθος τῶν στρατιωτῶν καὶ τῶν πολεμιστῶν ἵππων τε καὶ ἐλεφάντων.

37. Ἕκτον δ' ἐστὶ τὸ τῶν ἐφόρων· οὗτοι δὲ πολυπραγμονοῦντες πάντα καὶ ἐφορῶντες τὰ κατὰ τὴν Ἰνδικὴν ἀπαγγέλλουσι τοῖς βασιλεῦσιν, ἐὰν δὲ ἡ πόλις αὐτῶν ἀβασίλευτος ᾖ, τοῖς ἄρχουσιν.

38. Ἕβδομον δ' ἐστὶ μέρος τὸ βουλεῦον μὲν καὶ συνεδρεῦον τοῖς ὑπὲρ τῶν κοινῶν βουλευομένοις, πλήθει μὲν ἐλάχιστον, εὐγενείᾳ δὲ καὶ φρονήσει μάλιστα θαυμαζόμενον· ἐκ τούτων γὰρ οἵ τε σύμβουλοι τοῖς βασιλεῦσίν εἰσιν οἵ τε διοικηταὶ τῶν κοινῶν καὶ οἱ δικασταὶ τῶν ἀμφισβητουμένων, καὶ καθόλου τοὺς ἡγεμόνας καὶ τοὺς ἄρχοντας ἐκ τούτων ἔχουσι.

39. Τὰ μὲν οὖν μέρη τῆς διῃρημένης πολιτείας παρ' Ἰνδοῖς σχεδὸν ταῦτά ἐστιν. Οὐκ ἔξεστι δὲ γαμεῖν ἐξ ἄλλου γένους ἢ προαιρέσεις ἢ τέχνας μεταχειρίζεσθαι, οἷον στρατιώτην ὄντα γεωργεῖν ἢ τεχνίτην ὄντα φιλοσοφεῖν.

XLII. 40. Ἔχει δ' ἡ τῶν Ἰνδῶν χώρα πλείστους καὶ μεγίστους ἐλέφαντας, ἀλκῇ τε καὶ μεγέθει πολὺ διαφέροντας. Ὀχεύεται δὲ τοῦτο τὸ ζῷον οὐχ, ὥσπερ τινές φασιν, ἐξηλλαγμένως, ἀλλ' ὁμοίως ἵπποις καὶ τοῖς ἄλλοις τετραπόδοις ζῴοις· κύουσι δὲ τοὺς μὲν ἐλαχίστους μῆνας ἑκκαίδεκα, τοὺς δὲ πλείστους ὀκτωκαίδεκα. Τίκτουσι δὲ καθάπερ ἵπποι κατὰ τὸ πλεῖστον ἓν, καὶ τρέφουσι τὸ γεννηθὲν αἱ μητέρες ἐπ' ἔτη ἕξ. Ζῶσι δ' οἱ πλεῖστοι καθάπερ ὁ μακροβιώτατος ἄνθρωπος, οἱ δὲ μάλιστα γηράσαντες ἔτη διακόσια.

41. Εἰσὶ δὲ παρ' Ἰνδοῖς καὶ ἐπὶ τοὺς ξένους ἄρχοντες τεταγμένοι καὶ φροντίζοντες ὅπως μηδεὶς ξένος ἀδικῆται· τοῖς δ' ἀρρωστοῦσι τῶν ξένων ἰατροὺς εἰσάγουσι καὶ τὴν ἄλλην ἐπιμέλειαν ποιοῦνται, καὶ τελευτήσαντας θάπτουσιν, ἔτι δὲ τὰ καταλειφθέντα χρήματα τοῖς προσήκουσιν ἀποδιδόασιν. (42) Οἵ τε δικασταὶ τὰς κρίσεις παρ' αὐτοῖς ἀκριβῶς διαγινώσκουσι, καὶ πικρῶς τοῖς ἁμαρτάνουσι προσφέρονται. Περὶ μὲν οὖν τῆς Ἰνδικῆς καὶ τῶν κατ' αὐτὴν ἀρχαιολογουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

Ordo narrationis ejusmodi est, ut satis bene

Vectigalia de fundis regi pensitant. Omnis enim Indus sub clientela regis est, nec privato agros possidere licet. Ultra hoc tributum, quarta etiam pars fructuum regio ærario cedit.

34. Tertio ordine continentur armentarii et opiliones, adeoque omne genus pastorum, qui nec urbes nec pagos habitant, sed tabernaculis pro domibus utuntur. Hi venando simul terram a volucribus et feris tutam præstant, et hoc exercitio atque labore mansuetam et culturæ patientem faciunt Indiam, multis alioqui variisque bestiis et avibus, sementi infestis, refertam.

XLI. 35. Quartum locum artifices obtinent, quorum pars armis, pars instrumentis rusticis, aliisque utensilibus fabricandis vacat. Hi non solum immunitatem habent, sed certam quoque frumenti mensuram e regiis granariis accipiunt.

36. Quintum populi genus est castrense bellisque accommodatum, multitudine secundum : id pacis tempore otio et ludo prolixe indulget. Quidquid autem est militum equorumque bellicorum ac elephantum, ex regia nutritur.

37. Sexto loco sunt ephori, qui magno studio omnia per Indiam rimantur et inspiciunt, explorataque regibus, aut, ubi res publica rege caret, principibus renuntiant.

38. Septimus ordo senatorius est, eorum scilicet, quibus in consilio publico consessus est. Hi numero quidem paucissimi, at nobilitate generis et prudentia maxime sunt conspicui. Ex his enim, qui consilio regibus adsint, et publica negotia administrent, et controversias dijudicent, quique imperia in bellis et magistratus passim obeant, deliguntur.

39. Has fere in partes Indorum respublica tributa est. Nec ex diversa tribu uxorem ducere, aut alienum vitæ genus artificiumve exercere, utpote militem simul bellare et agrum colere, aut opificem philosophari, fas est.

XLII. 40. Habet India plurimos maximosque elephantes, qui tam fortitudine quam robore excellunt. Coit hoc animal, non, ut quidam putant, modo peculiari et insolenti, sed ut equi ceteraque quadrupedia. Uterum gestant ut minimum per sedecim menses, ut plurimum per duodeviginti. Pariunt, ut equi, unicum plerumque, quod matres ad sex annos enutriunt. Major pars hominis maxime longævi vitam assequitur : quorum senectus longissima, hi ad annos ducentos perveniunt.

41. Constituti sunt etiam apud Indos advenarum præfecti, qui, ne quid illi injuria patiantur, accurate provident. Si quis illorum ægrotat, medicos adhibent ceteramque curam impendunt, et mortuum sepulturæ tradunt. Quidquid ab eo relictum est peculii, cognatis restituunt. (42) Judices illorum summa diligentia lites disceptant, et severe in noxios animadvertunt. Atque de India rebusque ejus priscis hæc sufficiant.

omnia præcedant, ipsiusque fuisse videatur Megasthenis; quare ad Diodori epitomen fragmentorum seriem accommodabimus. Hoc tantum mireris, qui fiat ut post recensitas tribus, abrupte Diodorus interponat elephantorum descriptionem. Rem docet Strabo, qui de tertia tribu loquens multa de elephantis eorumque venatione exponit. Diodorus, ne interrumperet brevem suam tribuum enumerationem, ea quæ de elephantis notare placuit, ad calcem hujus capitis relegavit.

E LIBRO PRIMO.

2.

Arrianus Exp. Al. V, 6, 2 : Τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης μεγίστην μὲν μοῖραν τῶν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα· ἐλαχίστην δὲ ὅσην ὁ Εὐφράτης ποταμὸς ἀπείργει ὡς πρὸς τὴν ἡμετέραν θάλασσαν· δύο δὲ αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι, αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν· ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀπηλιώτην ἄνεμον ἔστε ἐπὶ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυγα ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ὁ Ἰνδὸς ποταμὸς ἀποτέμνεται. Καί ἐστι πεδίον ἡ πολλὴ αὐτῆς· καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προσκεχωσμένον· εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις ποιήματα, ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς Δινδυμήνης παρὰ πόλιν Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν· καὶ ἄλλο Καΰστρου πεδίον Λυδίου ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ, καὶ Μαιάνδρου τὸ Καρικὸν ἔστε ἐπὶ Μίλητον πόλιν Ἰωνικήν.... Εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι οὗτοι ποταμοὶ, ἱκανοὶ γῆν πολλὴν ποιῆσαι, ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων, ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς Ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. Ἕρμον μὲν γὰρ καὶ Κάϋστρον καὶ Κάϊκόν τε καὶ Μαίανδρον ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν, οὐδὲ ξύμπαντας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ποταμῶν ἄξιον ξυμβαλεῖν πλήθους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε Νείλου ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν· ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται· ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβὼν, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. Ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

Arrianus in Indicis fines Indiæ describit cap. 2, 1—7, quæ item ex Megasthene petita sunt, sicuti reliqua quæ usque ad cap. 17 leguntur tantum non omnia. — Σανδράκοττον] Varie nomen apud Græcos scriptores exaratur : Σανδράκοττος, Σανδρακόττας, Σανδρόκοττος, Ἀνδρόκοττος, Σανδρά-

---

E LIBRO PRIMO.

2.

Asiæ quæ ad Austrum vergit, quæ et ipsa in quattuor partes scinditur, maximam partem esse statuit Indorum regionem Eratosthenes et Megasthenes : qui quidem quum apud Sibyrtium Arachosiorum satrapam degeret, frequenter se ad Sandracottum Indorum regem commeasse scribit : minimam vero, quam Euphrates intersecat, ad nostrum mare conversam : reliquas duas inter Euphratem et Indum positas, si conjungantur, vix dignas esse quæ Indorum regioni comparentur. Terminari autem Indiam, orientem et subsolanum versus, adusque meridiem, Oceano : a septemtrione vero, Caucaso monte, ad Tauri usque confinia : ab occidente et Iapyge vento, ad Oceanum usque, Indo amne distingui. Magnamque ejus partem planam et campestrem esse. Quæ quidem planities (ut suspicantur) ab ipsis fluminibus terram sua alluvione accumulantibus fit, quemadmodum reliqua campestria loca non procul a mari sita planitiem suam fluminum alluvionibus debent. Adeo ut regionum ipsarum appellationes fluminibus jam olim inditæ sint : quemadmodum Hermi campus dicitur qui amnis in Asia oriens ex monte matris Dindymenes, ad Smyrnam urbem Æolicam mare influit; item Caystri campus Lydius, a Lydio flumine, et Caici alius in Mysia, et Mæandri in Caria Miletum Ionicam urbem usque.... Si igitur singuli amnes, neque ii quidem magni, id præstant ut in mare prolabentes, quum multum luti atque limi secum ex superioribus locis ubi fontes eorum oriuntur trahant, multum terræ sua alluvione regioni addant : certe non video cur non idem de Indorum regione credi possit, quandoquidem magna ex parte campestris est, et fluvii in ejus campos alluvionem faciunt. Hermum enim et Caystrum et Caicum ac Mæandrum reliquosque Asiæ fluvios qui in mare interius feruntur, ne si omnes quidem conjunxeris, digni sint qui uni Indorum flumini aquarum copia conferantur : nedum Gangi maximo, cui neque Nili Ægyptii fluenta, neque Ister per Europam fluens comparari possunt. Sed ne ii quidem omnes si simul misceantur, Indum æquant, qui magnus statim ab ipsis fontibus erumpens, et quindecim ex majoribus Asiæ fluminibus in se receptis, nomen suum perpetuo retinens in mare contendit. Atque hoc quidem in præsentia de Indorum regione dixisse sufficiat. Reliqua in historiam Indicam rejiciantur.

χοπτος, Σανδράκυπτος. Postrema forma accuratissime respondet nomini Indico : *Chandraguptas* (*quem luna tuetur*). Vide Ellendt. ad Arr. l. l.; Schlegel. *Ind. Bibl.* tom. I, p. 245; Bohlen. *Alt. Indien* I, p. 91; Lassenius *De pentapot. Ind.* p. 42. 61. — De fluviis plura leges infra. Ad verba πεντεκαίδεκα ποταμοὺς cf. Strabo XV, p. 708 : Πεντεκαίδεκα δὲ τοὺς σύμπαντάς φασι συρρεῖν (εἰς τὸν Ἰνδὸν) τούς γε ἀξιολόγους.

3.

Strabo XV, p. 689 : Τὴν Ἰνδικὴν περιώριχεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ Ταύρου τὰ ἔσχατα· ἀπὸ δὲ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θαλάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος Παροπάμισόν τε καὶ Ἠμωδὸν καὶ Ἴμαον καὶ ἄλλα ὀνομάζουσι, Μακεδόνες δὲ Καύκασον· ἀπὸ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον καὶ τὸ προσεῷον πλευρὸν πολὺ μείζω τῶν ἑτέρων ὄντα προπέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος, καὶ γίνεται ῥομβοειδὲς τὸ τῆς χώρας σχῆμα, τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεονεκτοῦντος παρὰ τὸ ἀπεναντίον πλευρὸν τρισχιλίοις σταδίοις, ὅσον ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς παραλίας καὶ τῆς μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξ ἴσης ἐφ' ἑκάτερον παρὰ τὴν ἄλλην ἠϊόνα. Τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν στάδιοι μάλιστα λέγονται μύριοι τρισχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τῶν ἐκβολῶν αὐτοῦ· ὥστ' ἀπεναντίον ἡ ἑωθινὴ προσλαβοῦσα τοὺς τῆς ἄκρας τρισχιλίους ἔσται μυρίων καὶ ἑξακισχιλίων σταδίων. Τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ' ἐλάχιστον, καὶ τὸ μέγιστον. Μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις (σχοίνοισι Arrian.), καὶ ἔστιν ὁδὸς βασιλικὴ σταδίων μυρίων (codd. δισμυρίων)· τὰ δ' ἐπέκεινα στοχασμῷ λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ' ἂν σταδίων ἑξακισχιλίων. Ἔσται δὲ τὸ πᾶν, ᾗ βραχύτατον, μυρίων ἑξακισχιλίων, ὥς ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μάλιστα λαβεῖν Ἐρατοσθένης φησί· καὶ ὁ Μεγασθένης οὕτω συναποφαίνεται· Πατροκλῆς δὲ χιλίοις ἔλαττόν φησι... Ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν, ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν δι' αὐτοῦ τοῦ πεδίου, Μεγασθένους δὲ καὶ Δηϊμάχου μετριασάντων μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους, τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον. Eundem hunc Eratosthenis locum exscripsit Arrianus Ind. 6, 1—5, quibus ex Megasthene subjicit quæ leguntur fragm. 6. — σχοινίοις] « In omnibus Strabonis codd. legitur σχοινίοις, et apud Arrianum in omnibus σχοίνοις. Quamvis nihil in utraque lectione possit reprehendi, tamen vocem σχοίνοις mutare facilius erat, quam immutare σχοινίοις; Straboni enim mirum videri poterat, schœni mensuram qua Græci uti assueverant, in India adhiberi. Convenit autem schœnus, qui Eratostheni est mensura quadraginta stadiorum (Plinius H. N. XII, 30), accurate cum Indica *jog'anæ* mensura, quæ quattuor *croças* continet. Duplicem vulgo longitudinem jòganæ attribui non ignoro, sed etiam minorem quum ipsi Indi agnoscunt (cf. *As. Res.* V, 105), tum Sinenses peregrinatores (cf. *Foe-koue-ki* 87-88) et ipse Megasthenes hoc loco Strabonis (p. 708) : οἱ ἀγορανόμοι ὁδοποιοῦσι καὶ κατὰ δέκα στάδια στήλην τιθέασι τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Quo ex loco hoc certe apparet, decem stadia aliquam Indicam mensuram æquare, quæ alia atque minor illâ *croça* esse non potest. » *Schwanbeck*. p. 27.

4.

Strabo II, p. 79 fin. : Φησὶν ὁ Ἵππαρχος ἐν τῷ

3.

Indiam a septemtrione Tauri extrema terminant; ab Ariana usque in orientale mare montes, quos indigenæ singulatim Paropamisi, Emodi, Imai et aliis nominibus appellant, Macedones vero Caucasum vocant; ab occidente Indus fluvius; australe et orientale latus, quæ sunt reliquis longe majora, in Atlanticum pelagus procurrunt : unde regio rhombi similem figuram præbet; nam utrumvis majorum laterum contrarium sibi latus tribus millibus stadiorum exsuperat, quanta est communis orientalis et meridionalis partis extremitas quæ in utrumque æqualiter excurrit. Occidentalis lateris a Caucasiis montibus ad australe mare tredecim millia stadiorum perhibentur secundum Indum flumen usque ad ejus ostia. Quapropter oppositum orientale latus, assumptis extremitatis tribus millibus erit stadiorum sedecim millium. Atque hæc est maxima et minima regionis latitudo. Longitudo vero est ab occidente in orientem, quæ quanta sit de ea parte quæ usque ad Palibothra pertendit, certius dici potest : schœnis enim dimensa est et viam regiam habet stadiorum decem millium. Ulteriora vero conjectura deprehenduntur per navigationes, quæ ex mari fiunt adverso Gange Palibothra usque, et sunt stadiorum circiter sex millia. Universa igitur longitudo, ubi minima, est stadiorum sedecim millium, ut ex mansionum recensione fide dignissima recepisse se Eratosthenes dicit. Eodem modo etiam Megasthenes mensuras tradit; Patrocles vero mille stadia detrahit... Hic perspici potest quantum reliquorum sententiæ discrepent; nam Ctesias dicit Indiam non esse minorem reliqua Asia, Onesicritus eam esse trientem orbis habitati, Nearchus quattuor mensium iter esse per ipsum campum, Megasthenes vero et Deimachus moderatius agunt. Nam supra viginti millia stadia eam partem ponunt quæ ab australi mari patet in Caucasum.

4.

Addit Hipparchus libro secundo, ipsum Eratosthenem fidem Patrocli derogare, quod is a Megasthene dissenserit

δευτέρῳ Ὑπομνήματι αὐτὸν τὸν Ἐρατοσθένη διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρὸν, τοῦ μὲν Μεγασθένους λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου.

5.

Strabo II, p. 69 init. : Patrocli fidem non habendam esse Hipparchus dicit, δυοῖν ἀντιμαρτυρούντων αὐτῷ Δηιμάχου τε καὶ Μεγασθένους, οἳ καθ' οὓς μὲν τόπους δισμυρίων τὸ διάστημά φασι τὸ ἀπὸ τῆς κατὰ μεσημβρίαν θαλάττης, καθ' οὓς δὲ καὶ τρισμυρίων. Τούτους γε δὴ τοιαῦτα λέγειν καὶ τοὺς ἀρχαίους πίνακας τούτοις ὁμολογεῖν.

Δισμυρίων] 12000 stadia exputaverat Patrocles, cujus sententiam Eratosthenes adoptavit.

Eadem iterum tangit Strabo p. 72 :... τοῖς τρισμυρίοις, οἷς φησὶν ὁ Δηίμαχος μέχρι τῆς εἰς Βακτρίους καὶ Σογδιανοὺς ὑπερθέσεως, κτλ. Idem p. 74 : Οἱ δέ γε περὶ Δηίμαχον τοῖς τρισμυρίοις ἐὰν προσλάβωσι τὸ ἐπὶ τὴν Ταπροβάνην καὶ τοὺς ὅρους τῆς διακεκαυμένης, οὓς οὐκ ἐλάττους τῶν τετρακισχιλίων θετέον, ἐκτοπιοῦσι τά τε Βάκτρα καὶ τὴν Ἀρίαν εἰς τοὺς ἀπέχοντας τόπους τῆς διακεκαυμένης σταδίους τρισμυρίους καὶ τετρακισχιλίους, ὅσους ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ Βορυσθένη φησὶν εἶναι ὁ Ἵππαρχος. Cf. etiam p. 75 extr.

6.

Arrian. Ind. 3, 7 : Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολέων ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς, ὅ τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵναπερ τὸ βραχύτατον αὐτοῦ. Τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους, ἵναπερ τὸ στεινότατον αὐτοῦ. Cf. Onesicrit fr. 11.

Diodorus in fr. 1 § 2 Indiæ magnitudinem ita definit, ut latitudinem non 16000, sed 28000; longitudinem non 20000, sed 32000 stadiorum esse dicat. Sed bene tenendum est Arrianum suis numeris addere : ἵναπερ τὸ βραχύτατον, ἵναπερ τὸ στεινότατον. Diodorus igitur enotaverit numeros maximos, nisi forte ex Daimacho quædam narrationi suæ admiscuit : is enim 30000 longitudinis stadia attulit. Schwanbeck. majores numeros ita ortos putat, ut in latitudine comprehensa sint Cabuliæ et Arianæ partes, quam Seleuco Sandracottus ademit; in 32000 stadiis longitudinis complexus auctor sit finitimas ad septemtrionem gentes, v. c. Uttaracuras.

Ceterum latitudinem Megasthenes pro sui computi ratione satis bene constituit; nam quod spatium stadiorum 16000 esse dicit, revera est circiter 13700 stadiorum. Quæ vero dicit 22300 stadia, linea recta nonnisi 16300, vel si Taprobanen ins. addis, 17500 stadia efficiunt. Aliorum auctorum mensuras ex variis auctoribus affert Plinius H. N. VI, § 21, 2, ubi etiam hæc : *Complures autem totam ipsius longitudinem XL dierum noctiumque velifico navium cursu determinavere : et a septemtrione ad meridiem vicies etocties centena quinquaginta M. passuum* (*esse tradunt*). 2850,000 passus æquant 22800 stadia; qui numerus proxime ad eum, quem Arrianus tradit, accedit. Idem Plinius l. l. 21,8 dicit a Palibothris oppido ad ostium Gangis esse DCXXXVIII millia passuum. Quo loco Schwanbeckius p. 17 scribendum esse probabiliter admodum statuit : DCCXXXVIII, i. e. 6000 stadia, quot eidem spatio tribuit Megasthenes. Alia plurima in eodem capite ex Megasthene fluxerint.

7.

Strabo II., p. 76 : Eratosthenes perstringit Daimachum, qui oblocutus erat Μεγασθένει φήσαντι ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτεσθαι καὶ τὰς σκιὰς ἀντιπίπτειν. Vide fragm. 2 Daimachi; Nearchi fr. 2. Cf. Megasthenis Epit. fr. 1 § 2.

Strabo II, p. 77 :. Δηιμάχου φήσαντος μηδαμοῦ τῆς Ἰνδικῆς μήτ' ἀποκρύπτεσθαι τὰς ἄρκτους μήτ' ἀντιπίπτειν τὰς σκιὰς ὅπερ ὑπείληφεν ὁ Μεγασθένης.

8.

Plinius H. N. VII, 22, 6, p. 360 Tchn. : *Ab iis*

---

in longitudine lateris Indiæ septemtrionalis annotanda, quod, quam Megasthenes sedecim millibus stadiorum definit, Patrocles mille stadia ei summæ detrahit.

5.

Patroclem Hipparchus dicit fidem non mereri, contra quem duo sint testimonium ferentes Deimachus et Megasthenes, qui intervallum a mari meridionali vicies, aliquibus locis etiam tricies mille stadiorum affirment esse; et cum his consentire etiam veteres tabulas.

6.

Megasthenes ab oriente in occidentem latitudinem Indiæ esse vult, quam alii longitudinem faciunt, eamque Megasthenes auctor est, ubi brevissimum ejus spatium sit, sedecim millia stadiorum continere. A septemtrione autem versus meridiem, ea illi quidem est longitudo, et extenditur ad viginti tuo millia et trecenta stadia, ubi angustissima est.

7.

Daimachus reprehendit Megasthenem, quod in austrinis Indiæ partibus ursas occidere et umbras diversam in partem cadere dixisset.

(sc. a Prasiis sive Palibothris) *in interiore situ Monedes et Suari, quorum mons Maleus, in quo umbræ ad septemtrionem cadunt hieme, æstate in austrum, per senos menses. Septemtriones eo tractu semel in anno apparere, nec nisi quindecim diebus, Bæton* (fr. 4) *auctor est : hoc idem pluribus locis Indiæ fieri, Megasthenes.* Eadem e Plinio Solinus c. 52, non nominato tamen Megasthene. Conferri Schwanbeckius p. 29 jubet Lassen. Institut. linguæ pracritiæ, Append. p. 2.

Ceterum longe plurima quæ Plinius VI, 21, 8 — 23, 11 de gentibus, terris fluminibusque interioris Indiæ recenset, e Megasthene fluxisse probabilis Schwanbeckii conjectura est, quamquam pluribus auctoribus usum esse patet e verbis : *plerique adjiciunt* (21, 8); *alii... alii* 22, 1 ; *Artemidorus* (22, 6). Fortasse Plinius ne inspexit quidem ipsum Megasthenem, sed plurima sua dedit e Senecæ libro De India, qui quum sexaginta Indiæ fluvios, gentes centum et duodeviginti enumerasse a Plinio VI, 21, 5 dicatur, procul dubio exscripserat Megasthenem, quem totidem fluvios totidemque gentes recensuisse compertum habemus.

9.

Strabo XV, p. 693 : Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ διφόρον, καθάπερ καὶ Ἐρατοσθένης ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινὸν, τὸν δὲ θερινὸν, καὶ ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον· ὥστε εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης· τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς, καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις, τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς, καὶ τοῦ ποταμίου. Τρόπον δή τινα λέγειν βούλεται, διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι· καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν, ὅσον καὶ ἡ διὰ πυρός· διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί· ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον.

Cf. fr. 1, 3. Strabo p. 690. Nearch. fr. 8.

10.

Strabo XV, p. 703 : Καὶ τίγρεις δ' ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης γίνεσθαι μεγίστους, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων· δυνατοὺς δὲ ὥστε τῶν ἡμέρων τινὰ, ἀγόμενον ὑπὸ τεττάρων, τῷ ὀπισθίῳ σκέλει δραξάμενον ἡμιόνου, βιάσασθαι καὶ ἑλκύσαι πρὸς ἑαυτόν. Κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου· τοῦτο δ' εἶναι μέλαν· παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυοῖν πήχεων· ἡμερωτάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ κλοπάς. Λίθους δ' ὀρύττεσθαι λιβανόχρους, γλυκυτέρους σύκων ἢ μέλιτος. Ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους ὥσπερ αἱ νυκτερίδες, καὶ τούτους δὲ νύκτωρ πέτεσθαι, σταλαγμοὺς ἀφιέντας οὔρων, τοὺς δὲ ἱδρώτων, διασήποντας τὸν χρῶτα τοῦ μὴ φυλαξαμένου· καὶ σκορπίους εἶναι πτηνοὺς, ὑπερβάλλοντας μεγέθεσι (cf. fr. 11) · φύεσθαι δὲ καὶ ἔβενον· εἶναι δὲ καὶ κύνας ἀλκίμους, οὐ πρότερον μεθιέντας τὸ δηχθὲν πρὶν εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίοις δ' ὑπὸ προθυμίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμοὺς, τοῖς δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον· τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν κρατούμενον τοῦ ῥύγχους πρότερον ἢ ἀφεθῆναι.

11.

Ælian. N A. XVII, 39 : Ἐν τῇ Πραξιακῇ χώρᾳ, Ἰνδῶν δὲ αὕτη ἐστίν, Μεγασθένης φησὶ πιθήκους εἶναι τῶν μεγίστων κυνῶν οὐ μείους, ἔχειν δὲ καὶ οὐρὰς πη-

9.

Megasthenes Indiæ fœcunditatem ex eo maxime declarat, quod ea bis fructum ferat quoque anno, sicuti etiam Eratosthenes dicit, alteram hibernam sementem, alteram æstivam nominans, sicuti imbrem quoque. Nullum enim annum inveniri dicit utroque tempore sine pluvia, quapropter magnam esse ubertatem, quum semper terra sit fœcunda. Fructus autem arboreos multos gigni, radices stirpium, præsertim magnarum arundinum, et natura et decoctione dulces esse, aqua sole tepefacta tam cœlesti quam pluviali. Quodammodo igitur id videtur dicere, eam, quæ apud alios fructuum et succorum maturitas dicitur, apud illos concoctionem esse, quæ tantum ad suavitatem saporis conducat, quantum ea quæ per ignem fit. Idcirca etiam ramos arborum flexiles esse dicit, e quibus rotæ fiant; ob eandemque causam in quibusdam lanam innasci.

10.

Megasthenes auctor est tigres apud Prasios gigni magnitudine duplos fere ad leonem, adeo robustos, ut unus e mansuetis, a quattuor hominibus ductus, mulum posteriore pede apprehenderit atque ad se pertraxerit. Cercopithecos vero maximis canibus majores, et totos albos præter faciem, quæ nigra est, etsi apud nonnullos contrarium sit; caudæ longitudinem duos cubitos superare; ceterum mansuetissimos esse, neque maligne insidiari aut furari. Lapides quoque effodi tureo colore, ficu et melle dulciores. Quibusdam in locis serpentes esse binorum cubitorum, membraneis alis, ut vespertiliones : eos per noctem volare; et lotii aut sudoris stillas dimittere, quæ non caventium eas corpora computrescere cogant. Item scorpios volucres ingentes. Nasci quoque ebenum. Canes etiam esse validissimos, qui quod mordicus corripuerint, non ante dimittant quam aqua naribus infundatur : nonnullis præ vehementia in morsu oculos distorqueri, quibusdam etiam excidere : leonem et taurum a cane detineri : taurum rostro prehensum ab iis necari potius quam dimitti.

11.

In Prasiana Indorum regione Megasthenes simias scribit

χῶν πέντε: προσπεφυκέναι δὲ ἄρα αὐτοῖς καὶ προκόμια, καὶ πώγωνας καθειμένους καὶ βαθεῖς· καὶ τὸ μὲν πρόσωπον εἶναι πᾶν λευκούς, τὸ σῶμα δὲ μέλανας ἰδεῖν, ἡμέρους δὲ καὶ φιλανθρωποτάτους, καὶ τὸ τοῖς ἀλλαχόθι πιθήκοις συμφυὲς οὐκ ἔχειν τὸ κακόηθες.

τὸ σῶμα δὲ] « Quum in Strabone (fr. 10) sit corpus totum album præter faciem, in Æliano contra nigrum, bene animadvertendum est, id, quod Ælianus male omisit, additum a Megasthene, παρ' ἄλλοις δ' ἀνάπαλιν, in aliis ejusdem generis coloris distinctionem corporis et faciei contrariam esse. » SCHNEIDER. Ceterum cf. Ctesiæ fr. 61.

Ex eodem Megasthene fluxisse putanda sunt quæ narrat Ælianus XVI, 10, de simiis Indicis in *Prasiorum regione:* Ἐν Πρασίοις δὲ τοῖς Ἰνδικοῖς εἶναι γένος πιθήκων φασὶν ἀνθρωπόνουν, καὶ ἰδεῖν δέ εἰσι κατὰ τοὺς Ὑρκανοὺς κύνας τὸ μέγεθος· προκομία τε αὐτῶν ὁρᾶται συμφυής, εἴποι δ' ἂν ὁ μὴ τὸ ἀληθὲς εἰδὼς ἀσκητὰς εἶναι αὐτάς· γένειον δὲ αὐτοῖς ὑποπέφυκε σατυρῶδες, ἡ δὲ οὐρὰ κατὰ τὴν τῶν λεόντων ἀλκαίαν ἐστί· καὶ τὸ μὲν ἄλλο πᾶν σῶμα πεφύκασι λευκοί, τὴν δὲ κεφαλὴν καὶ τὴν οὐρὰν ἄκραν εἰσὶ πυρσοί· σώφρονες δὲ καὶ φύσει τιθασοί· εἰσὶ δὲ ὑλαῖοι τὴν δίαιταν καὶ τὸ γένος, καὶ σιτοῦνται τῶν ὀρέων τὰ ἄγρια. Φοιτῶσι δὲ ἀθρόοι εἰς τὸ τῆς Λατάγης προάστειον, πόλις δέ ἐστιν Ἰνδῶν ἡ Λατάγη, καὶ τὴν προτεθειμένην αὐτοῖς ἐκ βασιλέως ἑφθὴν ὄρυζαν σιτοῦνται· ἀνὰ πᾶσαν δὲ ἡμέραν ἡ δαὶς αὐτοῖς εὐτρεπὴς πρόκειται· ἐμφορηθέντας δὲ ἄρα αὐτοὺς ἀναχωρεῖν αὖθις ἐς ἤθη τὰ ὑλαῖά φασι σὺν κόσμῳ, καὶ σίνεσθαι τῶν ἐν ποσὶν οὐδὲ ἕν.

12.

Ælian. N. A. XVI, 41: Μεγασθένης φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γίνεσθαι πτερωτοὺς μεγέθει μεγίστους, τὸ κέντρον δὲ ἐγχρίπτειν τοῖς Εὐρωπαίοις παραπλησίως· γίνεσθαι δὲ καὶ ὄφεις αὐτόθι, καὶ τούτους πτηνούς· ἐπιφοιτᾶν δὲ οὐ καθ' ἡμέραν, ἀλλὰ νύκτωρ, καὶ ἀφιέναι ἐξ αὐτῶν οὖρον, ὅπερ οὖν ἐὰν κατά τινος ἀποστάξῃ σώματος, σῆψιν ἐργάζεται παραχρῆμα. Καὶ τὰ μὲν τοῦ Μεγασθένους ταῦτα.

Cf. fr. 10; Pausan. IX, 21. Bochart. Hierozoic. II, p. 423, 634 sqq.

13.

Strabo XV, p. 710: Φησὶ γὰρ (sc. Μεγασθένης) τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα· πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας, τά τε παρ' ἡμῖν ἥμερα ζῶα τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι· ἵππους τε λέγει μονοκέρωτας ἐλαφοκράνους· καλάμους δὲ μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα· πάχος δέ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τριπήχη, τοῖς δὲ διπλασίαν.

Equos unicornos fusius describit Ælianus XVI, 20 (cujus narrationen e Megasthene haustam esse ex mentione Præsiorum regis colligitur): Ἐν τοῖς χωρίοις τοῖς ἐν Ἰνδίᾳ, λέγω δὴ τοῖς ἐνδοτάτω, ὄρη φασὶν εἶναι δύσβατά τε καὶ ἔνθηρα· καὶ ἔχειν ζῶα ὅσα καὶ ἡ καθ' ἡμᾶς τρέφει γῆ, ἄγρια δέ· καὶ γάρ τοι καὶ τὰς ὄϊς τὰς ἐκεῖ φασιν εἶναι καὶ ταύτας θηρία, καὶ κύνας καὶ αἶγας καὶ βοῦς, αὐτόνομά τε ἀλᾶσθαι καὶ ἐλεύθερα, ἀφειμένα νομευτικῆς ἀρχῆς. Πλήθη δὲ αὐτῶν καὶ ἀριθμοῦ πλείω φασὶν οἱ τούτων συγγραφεῖς, καὶ οἱ τῶν Ἰνδῶν λόγιοι· ἐν δὴ τοῖς καὶ τοὺς Βραχμᾶνας ἀριθμεῖν ἄξιον, καὶ γάρ τοι καὶ ἐκεῖνοι ὑπὲρ τῶνδε ὁμολογοῦσι τὰ αὐτά. Λέγεται δὲ καὶ ζῷον ἐν τούτοις εἶναι μονόκερων, καὶ ὑπ' αὐτῶν ὀνομάζεσθαι καρτάζωνον· καὶ μέγεθος μὲν ἔχειν ἵππου τοῦ τελείου, καὶ λόφον, καὶ λάχνην ἔχειν ξανθήν, ποδῶν δὲ ἄριστα εἰληχέναι, καὶ εἶναι ὠκιστον, καὶ τοὺς μὲν πόδας ἀδιαρθρώτους τε καὶ ἐμφερεῖς ἐλέφαντι συμπεφυκέναι, τὴν δὲ οὐρὰν συός· μέσον δὲ τῶν ὀφρύων ἔχειν ἐκπεφυκὸς κέρας, οὐ λεῖον, ἀλλὰ ἑλιγμούς ἔχον τινὰς καὶ μάλα αὐτοφυεῖς, καὶ εἶναι μέλαν τὴν χρόαν· λέγεται δὲ καὶ ὀξύτατον εἶναι τὸ κέρας ἐκεῖνο· φωνὴν δὲ ἔχειν τὸ θηρίον ἀκούω τοῦτο πάντων ἀπηχεστάτην τε καὶ γεγωνοτάτην· καὶ τῶν μὲν ἄλλων αὐτῷ ζῴων προσιόντων φέρειν, καὶ πρᾶον εἶναι, λέγουσι δὲ ἄρα πρὸς τὸ ὁμόφυλον δύσεριν εἶναί πως. Καὶ οὐ μόνον φασὶ τοῖς ἄρρεσιν εἶναί τινα συμφυῆ κύριξίν τε πρὸς ἀλλήλους καὶ μάχην, ἀλλὰ καὶ πρὸς τὰς θηλείας ἔχουσι θυμὸν τὸν αὐτόν, καὶ προάγειν τε τὴν φιλονεικίαν καὶ μέχρι θανάτου ἡττηθέντα ἐξάγουσαν· ἔστι μὲν οὖν καὶ διὰ παντὸς τοῦ σώματος ῥωμαλέον, ἀλκὴ δέ οἱ τοῦ κέρατος ἄμαχός ἐστι. Νομὰς δὲ ἐρήμους ἀσπάζεται καὶ πλανᾶται μόνον· ὥρᾳ δὲ

---

9. Δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν· οὗτοι πλήθεϊ πλεῖστοι Ἰνδῶν ἐόντες· καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήια οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται· καὶ τοὺς φόρους τοῖσί τε βασιλεῦσι καὶ τῇσι πόλισιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι· (10) καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσι τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφὶν ἅπτεσθαι, οὐδὲ αὐτὴν τὴν γῆν τάμνειν· ἀλλὰ οἱ μὲν πολεμέουσι καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν, οἱ δὲ πλησίον αὐτῶν κατ' ἡσυχίην ἀροῦσιν ἢ τρυγῶσιν ἢ κλαδοῦσιν ἢ θερίζουσιν.

11. Τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι, καὶ οὗτοι οὔτε κατὰ πόλιας οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι. Νομάδες τέ εἰσι καὶ ἀνὰ τὰ οὔρεα βιοτεύουσι· φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι· καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

Cap. XII. Τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. Καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ ἀρήια ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. Ἐν δὲ τούτῳ τῷ γένεϊ οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι.

2. Πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί, πλήθεϊ μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον· καὶ οὗτοι ἀσκηταὶ μούνων τῶν πολεμικῶν ἔργων εἰσί. (3) Τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖσι ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι· καὶ διακονέουσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἵ τούς τε ἵππους αὐτοῖσι θεραπεύουσι καὶ τὰ ὅπλα ἐκκαθαίρουσι καὶ τοὺς ἐλέφαντας ἄγουσι καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. (4) Αὐτοὶ δέ, ἔστ' ἂν μὲν πολεμέειν δέῃ, πολεμέουσιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως.

5. Ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. Οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ τὰς πόλιας· καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλέϊ, ἵναπερ βασιλεύονται Ἰνδοί, ἢ τοῖσι τέλεσιν, ἵναπερ αὐτόνομοι εἰσί· καὶ τούτοισιν οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν· οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι.

6. Ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλέϊ, ἢ κατὰ τὰς πόλιας ὅσαι αὐτόνομοι σὺν τῇσιν ἀρχῇσι. (7) Πλήθεϊ μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον· ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται.

8. Γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἔμπαλιν· οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτόν, οὐδὲ τοῦτο θέμις· οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ νομέος γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. (9) Μοῦνον

dena hominum millia sub unius arboris umbra delitescere; tantæ magnitudinis esse eas arbores. (8) Fructibus vero maturis vescuntur corticibusque arborum, quæ et dulces sunt et multi nutrimenti, perinde atque palmarum fructus.

9. Secundum genus hominum post sophistas sunt agricolæ, qui quidem numero reliquas Indorum tribus longe superant. Hi neque arma habent, quibus in bello utantur, neque bellicas res curant : sed agros colunt, et regibus liberisque urbibus tributa pendunt; (10) et si intestina inter Indos bella incidant, nec licet militibus manus injicere agricolis, neque ipsum agrum vastare. Sed alii inter se bellum gerunt seseque mutuo interficiunt prout res dat; alii juxta illos tranquille aut arant, aut fruges colligunt, aut poma ab arboribus decutiunt, aut messi vacant.

11. Tertium genus Indorum sunt pastores sive opiliones sive bubulci, et hi neque urbes neque pagos inhabitant, sed vagabundi in montibus degunt, tributum vero et hi ex armentis et pecore pendunt, avesque et agrestes feras venantur.

XII. Quartum genus est opificum et negotiatorum. Et hi munera publica præstant, atque ex operibus suis tributa persolvunt, iis exceptis qui arma bellica fabricantur. Ii enim etiam ex publico mercedem accipiunt : in hoc genere sunt fabri navales et nautæ quotquot flumina navigant.

2. Quintum genus est militantium : multitudine quidem secundum post agricolas, sed maxime liberum atque alacre. Hi solum bellicas res exercent. (3) Arma alii ipsis conficiunt, et equos alii suppeditant, serviuntque his apud castra alii, qui et equos curant atque arma extergent, et elephantos ducunt, et currus instruunt ac gubernant. (4) Ipsi vero, quum bellandum est, bellant : constituta autem pace jucundam atque alacrem vitam degunt, tantumque stipendii eis ex publico datur, ut ex eo etiam alios commode alere possint.

5. Sextum genus est episcoporum sive inquisitorum, ut vocantur. Hi quid in agris agatur inquirunt, eaque regibus, si per reges gubernantur, aut magistratibus, si liberæ civitates sunt, denuntiant. His fas non est falsa pro veris denuntiare : neque Indorum quisquam mendacii unquam accusatus est.

6. Septimum genus est eorum qui de rebus ad commune pertinentibus consultant : idque vel cum rege, vel per urbes quæ liberæ imperium tenent cum magistratibus. (7) Atque hi quidem numero pauci sunt : sed sapientia ac justitia reliquis præstant. Ex hoc genere magistratus et regionum præsides et præfecti et quæstores ac copiarum et classium duces, ac dispensatores et rerum rusticarum exactores deliguntur.

8. Conjugia inter hos ordines promiscua fieri nefas est. Neque enim licet exempli causa agricolæ ex opificum ordine

σφίσιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι. ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσιν εἰσὶ τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα.

36.

Strabo XV, p. 703 extr : (1) Φησὶ δὴ τὸ τῶν Ἰνδῶν πλῆθος εἰς ἑπτὰ μέρη διῃρῆσθαι, καὶ πρώτους μὲν τοὺς φιλοσόφους εἶναι κατὰ τιμὴν, ἐλαχίστους δὲ κατ' ἀριθμόν· χρῆσθαι δ' αὐτοῖς ἰδίᾳ μὲν ἑκάστῳ τοὺς θύοντας ἢ τοὺς ἐναγίζοντας, κοινῇ δὲ τοὺς βασιλέας κατὰ τὴν μεγάλην λεγομένην σύνοδον, καθ' ἣν τοῦ νέου ἔτους ἅπαντες οἱ φιλόσοφοι τῷ βασιλεῖ συνελθόντες ἐπὶ θύρας, ὅ τι ἂν ἕκαστος αὐτῶν συντάξῃ τῶν χρησίμων, ἢ τηρήσῃ πρὸς εὐετηρίαν καρπῶν τε καὶ ζώων καὶ περὶ πολιτείας, προφέρει τοῦτο εἰς τὸ μέσον· ὃς δ' ἂν τρὶς ἐψευσμένος ἁλῷ, νόμος ἐστὶ σιγᾶν διὰ βίου· τὸν δὲ κατορθώσαντα ἄφορον καὶ ἀτελῆ κρίνουσι.

2. Δεύτερον δὲ μέρος εἶναι τὸ τῶν γεωργῶν, οἳ πλεῖστοί τέ εἰσι καὶ ἐπιεικέστατοι, οἱ ἐν ἀστρατείᾳ καὶ ἀδείᾳ τοῦ ἐργάζεσθαι πόλει μὴ προσιόντες, μηδ' ἄλλῃ χρείᾳ, μηδ' ὀχλήσει κοινῇ· πολλάκις γοῦν ἐν τῷ αὐτῷ χρόνῳ καὶ τόπῳ, τοῖς μὲν παρατετάχθαι συμβαίνει καὶ διακινδυνεύειν πρὸς τοὺς πολεμίους· οἱ δ' ἀροῦσιν, ἢ σκάπτουσιν ἀκινδύνως, προμάχους ἔχοντες ἐκείνους. Ἔστι δ' ἡ χώρα βασιλικὴ πᾶσα· μισθοῦ δ' αὐτὴν ἐπὶ τετάρταις ἐργάζονται τῶν καρπῶν.

3. Τρίτον τὸ τῶν ποιμένων καὶ θηρευτῶν, οἷς μόνοις ἔξεστι θηρεύειν καὶ θρεμματοτροφεῖν, ὠνιά τε παρέχειν καὶ μισθοῦ ζεύγη· ἀντὶ δὲ τοῦ τὴν γῆν ἐλευθεροῦν θηρίων καὶ τῶν σπερμολόγων ὀρνέων μετροῦνται παρὰ τοῦ βασιλέως σῖτον, πλάνητα καὶ σκηνίτην νεμόμενοι βίον.

Sequitur narratio de elephantis eorumque venatione (fr. 37*.). Deinde pergit auctor p. 707 :

Περὶ μὲν οὖν τῶν θηρίων τοσαῦτα λέγεται· ἐπανιόντες δ' ἐπὶ τὸν Μεγασθένη λέγωμεν τὰ ἑξῆς, ὧν ἀπελίπομεν.

4. Μετὰ γὰρ τοὺς θηρευτὰς καὶ τοὺς ποιμένας τέταρτόν φησιν εἶναι μέρος τοὺς ἐργαζομένους τὰς τέχνας καὶ τοὺς καπηλικοὺς καὶ οἷς ἀπὸ τοῦ σώματος ἡ ἐργασία· ὧν οἱ μὲν φόρον τελοῦσι καὶ λειτουργίας παρέχονται τακτάς· τοῖς δ' ὁπλοποιοῖς καὶ ναυπηγοῖς μισθοὶ καὶ τροφαὶ παρὰ βασιλέως ἔκκεινται· μόνῳ γὰρ ἐργάζονται. Παρέχει δὲ τὰ μὲν ὅπλα τοῖς στρατιώταις ὁ στρατοφύλαξ, τὰς δὲ ναῦς μισθοῦ τοῖς πλέουσιν ὁ ναύαρχος καὶ τοῖς ἐμπόροις.

5. Πέμπτον ἐστὶ τὸ τῶν πολεμιστῶν, οἷς τὸν ἄλλον χρόνον ἐν σχολῇ καὶ πότοις ὁ βίος ἐστὶν, ἐκ τοῦ βασιλικοῦ διαιτωμένοις, ὥστε τὰς ἐξόδους, ὅταν εἴη χρεία, ταχέως ποιεῖσθαι, πλὴν τῶν σωμάτων μηδὲν ἄλλο κομίζοντας παρ' ἑαυτῶν.

6. Ἕκτοι δ' εἰσὶν οἱ ἔφοροι· τούτοις δ' ἐποπτεύειν δέδοται τὰ πραττόμενα, καὶ ἀναγγέλλειν λάθρα τῷ βασιλεῖ, συνεργοὺς ποιουμένοις τὰς ἑταίρας, τοῖς μὲν ἐν τῇ πόλει τὰς ἐν τῇ πόλει, τοῖς δὲ ἐν στρατοπέδῳ τὰς αὐτόθι· καθίστανται δ' οἱ ἄριστοι καὶ πιστότατοι.

7. Ἕβδομοι δ' οἱ σύμβουλοι καὶ σύνεδροι τοῦ βασιλέως, ἐξ ὧν τὰ ἀρχεῖα καὶ δικαστήρια καὶ ἡ διοίκησις

uxorem ducere; nec contra. Neque uni duas artes exercere fas est, neque ex uno genere in aliud transire : veluti agricolam ex pastore, aut pastorem ex opifice fieri. (9) Hoc tantum permittitur, sophistam ex quocunque genere fieri. Neque enim mollis est sophistarum vita, sed omnium laboriosissima.

36.

Dicit Megasthenes totam Indorum multitudinem in septem genera dividi; eorum primos honore sed numero infimos esse philosophos. Utuntur eorum unoquoque privatim qui mactant et sacrificant; publice vero reges in eo conventu qui maximus apud eos fit, quum novo anno incipiente philosophi omnes ad regis fores conveniunt et quidquid quisque utile composuit vel observavit de futuro anni proventu fructuum animaliumque vel de civitatis administratione, in medium profert. Ubi quis falsus fuisse ter deprehenditur, ei per totam vitam lege silentium indicitur; qui vera prædixerit, immunis et omni tributo exemptus habetur.

2. Secundum genus agricolarum est, qui plurimi sunt et probissimi. Hi ob immunitatem a militia et securam opus faciendi licentiam, neque urbem adeunt, neque publicum negotium neque ullum aliud munus attingunt. Quamobrem eodem tempore et eodem loco alii pugnant, et cum hoste pedem conferunt, alii arant vel fodiunt sine ullo periculo, quum illos propugnatores habeant. Et quum regio tota sit regis, ipsi eam conductam excolunt, pacti mercedis loco quartam fructuum partem.

3. Tertium genus est pastorum et venatorum, quibus solis et venari et pascere pecora et vendere, et jumenta locare licet. Pro eo autem, quod terram bestiis liberant et avibus semina legentibus, demensum frumenti a regi accipiunt, vagi et errabundi vitam in tabernaculis agentes.

... Ac de bestiis quidem hactenus; nunc ad Megasthenem regressi reliqua explicemus.

4. Post pastores et venatores quartum genus ponit eorum, qui artes exercent, item institores et quicunque corpore victum quærunt. Horum alii tributa pendunt, ac statuta munia obeunt : alii vero, uti ii, qui arma et naves fabricantur, alimenta et stipendia a rege habent, cui et soli operis suis serviunt. Arma militibus præbet exercitui præfectus, et classis præfectus naves navigantibus, et mercatoribus pretio locat.

5. Quintum genus est bellatorum, qui reliquum tempus otiosi agunt, et regio sumptu victum accipiunt, ut, quum opus sit, cito exeant, nihil de suo afferentes præter corpora.

6 Sexti sunt inspectores, quorum partes sunt, ut quæ aguntur inspiciant et regi omnia clam renuntient. Hi in urbe urbanas meretrices sibi adjutrices adhibent, in castris vero castrenses : deliguntur autem viri optimi ac fidelissimi.

7. Septimi sunt consiliarii et assessores regis, a quibus

τῶν ὅλων. Οὐκ ἔστι δ' οὔτε γαμεῖν ἐξ ἄλλου γένους, οὔτ' ἐπιτήδευμα οὔτ' ἐργασίαν μεταλαμβάνειν ἄλλην ἐξ ἄλλης, οὐδὲ πλείους μεταχειρίζεσθαι τὸν αὐτὸν, πλὴν εἰ τῶν φιλοσόφων τις εἴη· ἐᾶσθαι γὰρ τοῦτον δι' ἀρετήν.

« Apud Strabonem et Diodorum tribus appellantur μέρη, apud Arrianum γενεαί, ita ut illa voce Megasthenes usus esse videatur. Megasthenes autem quum tribus Indicas enarraret, in eo erravit, quod et Græca ratione et ab aula Pât'aliputrica hanc rem perlustravit. Sine hac altera causa vix fieri poterat, ut sextam et septimam tribum in istum modum componeret. Sed Megasthenis tribus ad Indicas quattuor revocare facillimum est. Ita enim cum alteris alteræ congruunt :

Prima tribus Brahmanas continet, neque tamen omnes, sed eos tantum, qui sacris præsunt. Cui tribui Megasthenem ascetas falso addidisse, apparet ex hoc Arriani loco : Μοῦνον σφίσιν ἀνεῖται, σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι. Ind. 12, 9. Cf. Strab. p. 713. *Altera* tribus Vâiçjarum partem agrum colentem, *tertia* impuros quosdam continet. Man. X. 48—49. *Quarta* homines duarum tribuum comprehendit, et Vâiçjas (φόρον τελοῦντας) et Çudras (ἀτελεῖς καὶ μισθὸν προσλαμβάνοντας). *Quinta* tribus cum Indica altera convenit. In *sextu* iterum duarum tribuum partes commixtæ sunt, et vulgares spectatores, quos regem Indica lex ex omni tribu colligere jubet (cf. Man. VII, 154, et Cullucab'at't'æ commentarium), et eos, qui ad officiales inspiciendos emittebantur. Ad hanc alteram partem solam pertinere possunt hæc Strabonis verba : καθίστανται δ' οἱ ἄριστοι καὶ πιστότατοι. *Septimam* tribum Brahmanæ ii efficiunt, quos in prima tribu collocare Megasthenes omisit. « *Schwanbeckius.*

36 a.

Strabo XV, p. 707 pergit : Τῶν δ' ἀρχόντων οἱ μέν εἰσιν ἀγορανόμοι, οἱ δ' ἀστυνόμοι, οἱ δ' ἐπὶ τῶν στρατιωτῶν· ὧν οἱ μὲν ποταμοὺς ἐξεργάζονται, καὶ ἀναμετροῦσι τὴν γῆν, ὡς ἐν Αἰγύπτῳ, καὶ τὰς κλειστὰς διώρυχας ἀφ' ὧν εἰς τὰς ὀχετείας ταμιεύεται τὸ ὕδωρ, ἐπισκοποῦσιν ὅπως ἐξ ἴσης πᾶσιν ἡ τῶν ὑδάτων παρείη χρῆσις. Οἱ δ' αὐτοὶ καὶ τῶν θηρευτῶν ἐπιμελοῦνται, καὶ τιμῆς καὶ κολάσεως εἰσὶ κύριοι τοῖς ἐπαξίοις· καὶ φορολογοῦσι δὲ, καὶ τὰς τέχνας τὰς περὶ τὴν γῆν ἐπιβλέπουσιν, ὑλοτόμων, τεκτόνων, χαλκέων, μεταλλευτῶν· ὁδοποιοῦσι δὲ, καὶ κατὰ δέκα στάδια στήλην τιθέασι, τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Οἱ δ' ἀστυνόμοι εἰς ἓξ πεντάδας διῄρηνται· καὶ οἱ μὲν τὰ δημιουργικὰ σκοποῦσιν, οἱ δὲ ξενοδοχοῦσιν· καὶ γὰρ καταγωγὰς νέμουσι, καὶ τοῖς βίοις παρακολουθοῦσι, παρέδρους δόντες· καὶ προπέμπουσιν ἢ αὐτοὺς, ἢ τὰ χρήματα τῶν ἀποθανόντων· νοσούντων τε ἐπιμελοῦνται, καὶ ἀποθανόντας θάπτουσι. Τρίτοι δ' εἰσὶν, οἳ τὰς γενέσεις καὶ θανάτους ἐξετάζουσι, πότε καὶ πῶς, τῶν τε φόρων χάριν, καὶ ὅπως μὴ ἀφανεῖς εἶεν αἱ κρείττους καὶ χείρους γοναὶ, καὶ θάνατοι. Τέταρτοι οἱ περὶ τὰς καπηλείας καὶ μεταβολάς· οἷς μέτρων μέλει καὶ τῶν ὡραίων, ὅπως ἀπὸ συσσήμου πωλοῖτο. Οὐκ ἔστι δὲ πλείω τὸν αὐτὸν μεταβάλλεσθαι, πλὴν εἰ διττοὺς ὑποτελοίη φόρους. Πέμπτοι δ' οἱ προεστῶτες τῶν δημιουργουμένων, καὶ πωλοῦντες ταῦτα ἀπὸ συσσήμου, χωρὶς μὲν τὰ καινὰ, χωρὶς δὲ τὰ παλαιά· τῷ μιγνύντι δὲ ζημία. Ἕκτοι δὲ καὶ ὕστατοι οἱ τὰς δεκάτας ἐκλέγοντες τῶν πωλουμένων· θάνατος δὲ τῷ κλέψαντι τὸ τέλος. Ἰδίᾳ μὲν ἕκαστοι ταῦτα, κοινῇ δ' ἐπιμελοῦνται τῶν τε ἰδίων καὶ τῶν πολιτικῶν καὶ τῆς τῶν δημοσίων ἐπισκευῆς τιμῶν τε καὶ ἀγορᾶς καὶ λιμένων, καὶ ἱερῶν.

Μετὰ δὲ τοὺς ἀστυνόμους τρίτη ἐστὶ συναρχία ἡ περὶ τὰ στρατιωτικὰ, καὶ αὕτη ταῖς πεντάσιν ἑξαχῇ διωρισμένη· ὧν τὴν μὲν μετὰ τοῦ ναυάρχου τάττουσι, τὴν δὲ μετὰ τοῦ ἐπὶ τῶν βοϊκῶν ζευγῶν, δι' ὧν ὄργανα κομίζεται καὶ τροφὴ αὐτοῖς τε καὶ τοῖς κτήνεσι καὶ τὰ χρήσιμα τῆς στρατείας. Οὗτοι δὲ καὶ τοὺς διακόνους παρέχουσι τυμπανιστὰς καὶ (τοὺς) κωδωνοφόρους, ἔτι δὲ καὶ ἱπποκόμους καὶ μηχανοποιοὺς καὶ τοὺς τούτων ὑπηρέτας· ἐκπέμπουσί τε πρὸς κώδωνας τοὺς χορτολόγους, τιμῇ καὶ κολάσει τὸ τάχος κατασκευαζόμενοι καὶ τὴν ἀσφάλειαν. Τρίτοι δέ εἰσιν οἱ τῶν πεζῶν ἐπιμελούμενοι· τέταρτοι δ' οἱ τῶν

---

et magistratus et judicia et rerum omnium administratio geritur. Non licet ex alio genere in aliud matrimonio contrahendo transire, aut ab unius generis institutis ad alius descendere; neque simul pluribus se dare tractandis, nisi philosophus quis sit; huic enim ob virtutem conceditur.

36. a.

De magistratibus alii annonæ, alii urbi, alii militibus præsunt. Horum primi curant flumina, alii agrum metiuntur, ut in Ægypto, et clausis aquæ ductibus præsunt, ut ex æquo omnibus aquarum usus suppeditet. Iidem venatorum curam gerunt, et præmii et supplicii pro meritis potestatem habent, et tributa legunt et artes inspiciunt quæ circa terram exercentur, ut eorum qui ligna vel domos vel æs vel metalla operantur. Conficiunt etiam vias et per dena stadia lapidem locant deverticula et distantias indicantem.

Urbani ædiles in sex quinterniones sunt divisi. Nam alii opificia inspiciunt, alii hospitum procurationem gerunt, hospitia iis distribuunt, et vitam eorum observant, et asseclas iis dant, et deducunt vel ipsos vel, si moriantur, opes eorum. Ægrotantium quoque curam habent et mortuos sepeliunt. Tertii sunt qui ortus et obitum civium scrutantur, quando et quomodo evenerint; idque tributorum gratia, et ne boni malive nativitas et mors lateant. Quarti circa cauponas et commercia versantur. Hi mensurarum frugumque curam habent, ut consignata vendantur, neque sinant eundem plura commutare, nisi duplex vectigal persolvat. Quinti operibus locandis præsunt, ea obsignata

ἵππων· πέμπτοι δ' ἁρμάτων· ἕκτοι δὲ ἐλεφάντων. Βασιλικοί τε σταθμοὶ καὶ ἵπποις καὶ θηρίοις· βασιλικὸν δὲ καὶ ὁπλοφυλάκιον· παραδίδωσι γὰρ ὁ στρατιώτης τήν τε σκευὴν εἰς τὸ ὁπλοφυλάκιον καὶ τὸν ἵππον εἰς τὸν ἱππῶνα καὶ τὸ θηρίον ὁμοίως. Χρῶνται δ' ἀχαλινώτοις· τὰ δ' ἅρματα ἐν ταῖς ὁδοῖς βόες ἕλκουσιν· οἱ δὲ ἵπποι ἀπὸ φορβιᾶς ἄγονται τοῦ μὴ παρεμπίπρασθαι τὰ σκέλη μηδὲ τὸ πρόθυμον αὐτῶν ὑπὸ τοῖς ἅρμασιν ἀμβλύνεσθαι. Δύο δ' εἰσὶν ἐπὶ τῷ ἅρματι παραβάται πρὸς ἡνιόχῳ· ὁ δὲ τοῦ ἐλέφαντος ἡνίοχος τέταρτος, τρεῖς δ' οἱ ἀπ' αὐτοῦ τοξεύοντες. Sequitur fragm. 22. De ratione qua equos et elephantos Indi regant, pluribus agit Ælianus XIII, 9, qui Megasthenem procul dubio exscripsit : Ἵππον δὲ ἄρα Ἰνδὸν κατασχεῖν καὶ ἀνακροῦσαι προπηδῶντα καὶ ἐκθέοντα οὐ παντὸς ἦν, ἀλλὰ τῶν ἐκ παιδὸς ἱππείαν πεπαιδευμένων. Τοῦτο γὰρ αὐτοῖς ἔστιν ἐν ἔθει, χαλινῷ ἄρχειν αὐτῶν καὶ ῥυθμίζειν αὐτοὺς καὶ ἰθύνειν· κημοῖς δὲ ἄρα κεντρωτοῖς ἀκόλαστόν τε ἔχουσι τὴν γλῶτταν, καὶ τὴν ὑπερῴαν ἀβασάνιστον· ἀναγκάζουσι δὲ αὐτοὺς ὅμως οἵδε οἱ τὴν ἱππείαν σοφισταὶ περικυκλεῖν καὶ περιδινεῖσθαι ἐς ταὐτὸν στρεφομένους, καὶ ᾗπερ εἶδον ἀστόμους. Δεῖ δὲ ἄρα τῷ τοῦτο δράσοντι καὶ ῥώμης χειρῶν, καὶ ἐπιστήμης εὖ μάλα ἱππικῆς. Πειρῶνται δὲ οἱ προήκοντες εἰς ἄκρον τῆσδε τῆς σοφίας καὶ ἅρμα οὕτως περικυκλεῖν καὶ περιάγειν· εἴη δ' ἂν ἆθλος οὐκ εὐκαταφρόνητος, ἀδηφάγων ἵππων τέτρωρον περιστρέφειν ῥᾳδίως. Φέρει δὲ τὸ ἅρμα παραβάτας καὶ δύο. Ὁ δὲ στρατιώτης ἐλέφας ἐπὶ τοῦ καλουμένου θωρακίου, ἢ καὶ νὴ Δία τοῦ νώτου γυμνοῦ καὶ ἐλευθέρου, πολεμιστὰς μὲν τρεῖς, παρ' ἑκάτερα βάλλοντας, καὶ τὸν τρίτον κατόπιν· τέταρτον δὲ τὸν τὴν ἅρπην κατέχοντα διὰ χειρῶν, καὶ ἐκείνῃ τὸν θῆρα ἰθύνοντα, ὡς οἴακι ναῦν κυβερνητικὸν ἄνδρα καὶ ἐπιστάτην τῆς νεώς.

37.

Strabo XV, 704 (præcedit fragmenti 36 initium) : Ἵππον δὲ καὶ ἐλέφαντα τρέφειν οὐκ ἔξεστιν ἰδιώτῃ· βασιλικὸν δ' ἑκάτερον νενόμισται τὸ κτῆμα, καὶ εἰσὶν αὐτῶν ἐπιμεληταί.

Θήρα δὲ τῶν θηρίων τούτων τοιάδε. Χωρίον ψιλὸν ὅσον τεττάρων ἢ πέντε σταδίων τάφρῳ περιχαράξαντες βαθείᾳ, γεφυροῦσι τὴν εἴσοδον στενωτάτῃ γεφύρᾳ· εἶτ' εἰσαφιᾶσι θηλείας τὰς ἡμερωτάτας τρεῖς ἢ τέτταρας· αὐτοὶ δ' ἐν καλυβίοις κρυπτοῖς ὑποκάθηνται λοχῶντες· ἡμέρας μὲν οὖν οὐ προσίασιν οἱ ἄγριοι· νύκτωρ δ' ἐφ' ἕνα ποιοῦνται τὴν εἴσοδον· εἰσιόντων δὲ, κλείουσι τὴν εἴσοδον λάθρα· εἶτα τῶν ἡμέρων ἀθλητῶν τοὺς ἀλκιμωτάτους εἰσάγοντες, διαμάχονται πρὸς αὐτοὺς, ἅμα καὶ λιμῷ καταπονοῦντες· ἤδη δὲ καμνόντων οἱ εὐθαρσέστατοι τῶν ἡνιόχων λάθρα καταβαίνοντες, ὑποδύνουσιν ἕκαστος τῇ γαστρὶ τοῦ οἰκείου ὀχήματος· ὁρμώμενος δ' ἐνθένδε, ὑποδύνει τῷ ἀγρίῳ, καὶ σύμποδα δεσμεῖ· γενομένου δὲ τούτου, κελεύουσι τοῖς τιθασοῖς, τύπτειν τοὺς συμποδισθέντας, ἕως ἂν πέσωσιν εἰς τὴν γῆν· πεσόντων δ' ὠμοβοΐνοις ἱμᾶσι προσλαμβάνονται τοὺς αὐχένας αὐτῶν πρὸς τοὺς τῶν τιθασῶν· ἵνα δὲ μὴ σειόμενοι τοὺς ἀναβαίνειν ἐπ' αὐτοὺς ἐπιχειροῦντας ἀποσείοιντο, τοῖς τραχήλοις αὐτῶν ἐμβάλλονται κύκλῳ τομὰς, καὶ κατ' αὐτὰς τοὺς ἱμάντας περιτιθέασιν, ὥσθ' ὑπ' ἀλγηδόνων εἴκειν τοῖς δεσμοῖς, καὶ ἡσυχάζειν· τῶν δ' ἁλόντων ἀπολέξαντες τοὺς πρεσβυτέρους ἢ νεωτέρους τῆς χρείας, τοὺς λοιποὺς ἀπάγουσιν εἰς τοὺς σταθμούς· δήσαντες δὲ τοὺς μὲν πόδας πρὸς ἀλλήλους, τοὺς δὲ αὐχένας

---

locantes, seorsum nova a veteribus : quæ qui miscuerit, multam persolvit. Sexti et ultimi venditarum rerum decimas exigunt : et qui vectigali rempublicam defraudarit, capite plectitur. Ac privatim quidem singuli hæc curant, publice vero et privata et civilia et publicam supellectilem et pretia et forum et portus et sacra.

Post urbis præfectos est tertium collegium, quod circa rem militarem versatur, ad eundem modum in quinterniones sex divisum, quorum unum adjungunt classis præfecto; secundum ei, qui bobus præest, quibus instrumenta et cibaria et alia militiæ necessaria portantur. Iidem ministros præbent, qui tympanis et tintinnabulis utuntur, item equisones et machinarum fabros, et horum famulos. Porro pabulatores pabulatum ad tintinnabulum mittunt, præmio et supplicio celeritatem et securitatem eos condocefacientes. Tertii peditum curam habent; quarti equorum, quinti curruum, sexti elephantorum. Equis ac ceteris bestiis regia stabula sunt : est etiam regium armamentarium, in quo arma adservantur. Nam miles armaturam in armamentarium reddit, equum in equile, elephantum in suum item stabulum. His utuntur infrenibus. Currus a bobus in itinere trahuntur; equi capistro ducuntur, ne femora curribus junctorum intertrigine lædantur, neve eorum alacritatem currus hebetent. Currus præter aurigam vectores duos habet, elephas aurigam et tres sagittarios.

37.

Equum et elephantum privato homini alere non licet : utrumque enim regis possessio censetur, suntque harum rerum curatores.

Elephantum autem sic venantur. Locum aliquem ab omni purgatum materia, quattuor aut quinque stadiorum, profunda fossa circumdant. Tum ingressum ponte angustissimo jungunt. Deinde tres quattuorve elephantes feminas de mansuetis immittunt : ipsi in tuguriis occulti insidiantur. Per diem silvestres non accedunt, nocte autem singulatim introeunt : quibus ingressis venatores clam aditum occludunt. Postea nonnullos e cicuribus certatoribus fortissimos introducentes cum iis pugnant, simul etiam fame defatigant. Quum vero jam defessi fuerint, aurigarum audacissimi, clam descendentes et sui quisque elephantis uterum subeuntes, compedes illis injiciunt. Quo facto cicures instigant ut vinctos verberent, quousque in terram cadant. Postquam ceciderunt, bubulis loris eorum colla ad domitorum adstringunt : et ne adscensores excutere possint, colla circumcidentes, in cæsuris vincula imponunt, ut præ dolore vinculis cedant et quietem agant. De captis seliguntur quicunque vel senio vel juventa inutiles sunt : reliqui in stabula ducuntur, et pedibus invicem vinctis ac collo ad columnam valide infixam fame domantur : deinde

πρὸς χίονα εὖ πεπηγότα, δαμάζουσι λιμῷ· ἔπειτα χλόῃ καλάμου καὶ πόας ἀναλαμβάνουσι· μετὰ δὲ ταῦτα πειθαρχεῖν διδάσκουσι, τοὺς μὲν διὰ λόγου, τοὺς δὲ μελισμῷ τινι καὶ τυμπανισμῷ κηλοῦντες· σπάνιοι δ' οἱ δυστιθάσευτοι· φύσει γὰρ διάκεινται πρᾴως καὶ ἡμέρως, ὥστ' ἐγγὺς εἶναι λογικῷ ζώῳ· τινὲς γὰρ καὶ ἐξαίμους τοὺς ἡνιόχους ἐν τοῖς ἀγῶσι πεσόντας ἀνελόμενοι σώζουσιν ἐκ τῆς μάχης· οἱ δὲ καὶ ὑποδύντας μεταξὺ τῶν ἐμπροσθίων ποδῶν ὑπερμαχόμενοι διέσωσαν· τῶν δὲ χορτοφόρων καὶ διδασκάλων εἴ τινα παρὰ θυμὸν ἀπέκτειναν, οὕτως ἐπιποθοῦσιν, ὥσθ' ὑπ' ἀνίας ἀπέχεσθαι τροφῆς· ἔστι δ' ὅτε καὶ ἀποκαρτερεῖν.

Βιβάζονται δὲ καὶ τίκτουσιν ὡς ἵπποι τοῦ ἔαρος μάλιστα· καιρὸς δ' ἐστὶ τῷ μὲν ἄρρενι, ἐπειδὰν οἴστρῳ κατέχηται καὶ ἀγριαίνῃ· τότε δὴ καὶ λίπους τι διὰ τῆς ἀναπνοῆς ἀνίησιν, ἣν ἔχει παρὰ τοὺς κροτάφους· ταῖς δὲ θηλείαις, ὅταν ὁ αὐτὸς οὗτος πόρος ἀνεωγὼς τυγχάνῃ. Κύουσι δὲ τοὺς μὲν πλείστους ὀκτωκαίδεκα μῆνας, ἐλαχίστους δ' ἑκκαίδεκα· τρέφει δ' ἡ μήτηρ ἓξ ἔτη. Ζῶσι δ' ὅσον μακροβιώτατοι ἄνθρωποι οἱ πολλοί, τινὲς δὲ καὶ ἐπὶ διακόσια διατείνουσιν ἔτη, πολύνοσοι δὲ καὶ δυσίατοι. Ἄκος δὲ πρὸς ὀφθαλμίαν μὲν βόειον γάλα προσκλυζόμενον, τοῖς πλείστοις δὲ τῶν νοσημάτων ὁ μέλας οἶνος πινόμενος, τραύμασι δὲ ποτὸν μὲν βούτυρον, ἐξάγει γὰρ τὰ σιδήρια· τὰ δ' ἕλκη σαρξὶν ὑείαις πυριῶσιν.

38.

Arrianus Ind. c. 13 (antecedit fr. 35) : Θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, κατάπερ καὶ Ἕλληνες· ἡ δὲ τῶν ἐλεφάντων σφὶν θήρη οὐδέν τι ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοισιν ἐπέοικεν. (2) Ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. Τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας. (3) Τὸν δὲ χόον ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχρέονται· (4) αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπιχειλέος τοῦ ἔξω τῆς τάφρου σκηνὰς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται· δι' ὧν φῶς τε αὐτοῖσι συνεισέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. (5) Ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χόον τε καὶ ποίην πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον ὀϊσθῶσιν. (6) Αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες. Οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκεομένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. (7) Ἐπεὰν ὦν τῷ ἕρκεϊ πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῇ ὀδμῇ αἰσθανόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ ταύτην ἐς τὸ ἕρκος ὠθέονται. (8) Οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ

---

herba vel arundine viridi reficiuntur, post cicurantur alii oratione, alii cantu aliquo vel tympani sonitu deliniti. Rari sunt qui non facile mansuescant : sunt enim a natura mites et mansueti, et ad animantia ratione prædita proxime accedunt. Quidam aurigas suas, qui in certamine ceciderunt e prælio efferunt; alii eos qui per anteriores pedes uterum subierunt, propugnando servarunt. Quodsi quem e curatoribus vel magistris per iram interfecerint, adeo illum desiderant, ut præ mœrore a cibo abstineant, interdum etiam media sibi mortem consciscant.

Elephanti coeunt et pariunt, ut equi, plurimum vere. Mari coitus tempestivus est, ubi œstro correptus sævire occipit; tunc etiam pingue quiddam emittit per spiramentum, quod ei secundum tempora est : feminæ, quum hic idem meatus apertus fuerit. Edunt partum, quum tardissime, mense a conceptu decimo octavo, quum celerrime, sub sextum et decimum. Sex annos a matre nutriuntur. Vivunt plerique quantum longævissimi homines, quidam etiam ad ducentesimum perveniunt annum. Alioqui morbis obnoxii sunt et quidem curatu difficilibus. Vitiis oculorum remedio est, vaccæ lacte si perluantur; plurimos morbos vinum nigrum epotum curat. Vulneribus butyrum potum auxiliatur (ferrum enim ejicit); ulcera suillis carnibus foventur.

38.

Venantur Indi reliquas feras quo Græci modo : at elephantorum apud eos venatio nihil prorsus alii venandi modo similis est, siquidem et hæ feræ nullis similes sunt. (2) Deligunt venatores locum planum et apricum, magni exercitus capacem, in cujus circuitu fossam ducunt. Fossæ latitudo ad quinque orgyias habet, altitudo circiter quattuor. (3) Terram, quam fodiendo eruunt, utrimque ad labra fossæ congerunt, eaque pro muro utuntur. (4) Ipsi autem in exterioris labri aggere tentoria sibi fossilia faciunt, et foramina in iis, per quæ lucem admittant, relinquunt : ipsique ex iis feras appropinquantes atque in septum ingredientes prospectant. (5) Tunc tres aut quattuor elephantos feminei sexus ex mansuetissimis septo includentes, unum per fossam aditum relinquunt, fossa ponte juncta, quem multa terra et multo cespite sternunt, ne conspici a feris pons, et dolus sentiri possit. (6) Venatores autem remoti sese in cavernis pone fossam continent. Nam feri elephanti loca habitata interdiu non adeunt : noctu vero passim errantes gregatim pascuntur, eumque ducem sequuntur qui et maximus est et generosissimus : non aliter ac tauros vaccæ sequi cernuntur. (7) Postquam septis propiores facti feminarum vocem audierunt, easque per odoratum cognovere, cursu feruntur ad septa, et fossæ labra circumeuntes quum ad pontem pervenerint, per eum in septa ruunt. (8) Venatores ubi ingressos feros elephantos sentiunt, alii continuo pontem subtrahunt, alii proximos pagos petentes elephantos septo inclusos esse nuntiant. (9) Quo cognito populares confestim elephantos animosissimos ac mansuetissimos

μεν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκεϊ ἔχονται· (9) οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ' ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ δίψεϊ δουλωθῆναι. (10) Εὖτ' ἂν δὲ σφίσι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρεόμενοι. (11) Οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν· ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγῇσι σφᾶς κολάζειν πολλῇσι, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι· παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. (12) Τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξέϊ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. (13) Εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ· οὕτω μὲν ὧν ἀτρέμα ἴσχουσι, καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων.

Cap. XIV. Ὅσοι δὲ νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. (2) Ἄγοντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν· (3) οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιϊστάμενοι οἱ Ἰνδοὶ ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσι. (4) Θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας· καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους, οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν· ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. (5) [Εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον· (6) ὁ δὲ ἐν μέρεϊ τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν· οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρεϊ ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, κατότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο]. (7) Βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσι· κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα· τίκτει δὲ ἕν, κατάπερ ἵππος· καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος ὄγδοον. (8) Ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς διηκόσια· πολλοὶ δὲ νούσῳ προτελευτῶσιν· γήραϊ δὲ ἐς τόσον ἔρχονται. (9) Καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴημα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νούσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπασσόμενα. Ταῦτα παρ' Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰήματα.

De ratione qua musica elephantos Indi demul-

conscendunt, atque ad septum accedunt. Nec tamen primo statim adventu cum agrestibus elephantis pugnam aggrediuntur, sed illos aliquamdiu fame macerari ac siti domari sinunt: (10) quumque jam languidiores factos vident, rursus immisso ponte septa ingrediuntur. Et primo quidem acre certamen fit inter domitos elephantos et feros captos: tandem superantur, ut par est, feri, languore et fame pressi. (11) Tum sessores ex elephantis in terram demissi languidis jam feris elephantis summos pedes colligant; dehinc domitis elephantis imperant, ut feros multis plagis castigent, donec verberibus defatigati in terram procidant. Tunc adstantes cervicibus eorum laqueos aptant, et ipsi prostratos inscendunt. (12) Ne vero sessores excutiant, neve aliud damni inferant, colla acuto gladiolo in circultum præscindunt, vulnusque laqueo circumligant, ut præ ulcere et collum et caput immotum teneant. Si enim pervicaciter reluctentur, ab fune ulcus teritur. Atque ita tandem quiete se habent, et victos sese agnoscentes ex vinculo ab domitis ducuntur.

XIV. Qui vero eorum immaturæ ætatis aut propter malam corporis constitutionem digni non sunt, qui possideantur, eos abire in loca ipsis consueta permittunt. (2) Ceteros captos in pagos ducunt, ac primum eos gramine et viridibus culmis pascunt. (3) Illi vero præ mœrore prorsus vesci nolunt. Indi autem circumstantes tympanorum ac cymbalorum pulsu cantuque eos exhilarant ac demulcent. (4) Intelligens enim, si quæ alia fera, est elephas. Et quidem nonnulli rectores suos in bello cæsos sublatos ad sepulturam detulerunt: alii jacentes propugnarunt: alii pro sessoribus lapsis neci sese objecerunt; quidam quum per iram rectorem suum occidissent, pœnitentia et mœrore se confecerunt. (5) Vidi ego aliquando elephantum cymbalum pulsantem aliis saltantibus, duobus cymbalis ad anteriora crura appensis, alioque ad proboscidem alligato. (6) Ipse alternatim proboscide cymbalum in numerum ad utrumque crus pulsabat: reliqui in gyrum choreas ducebant, sublatis flexisque prioribus cruribus vicissim in numerum etiam procedebant, prout is, qui cymbalum pulsabat, sono præibat. (7) Elephas venerem appetit verno tempore, quemadmodum bos aut equa, quum feminis spiracula quædam circa tempora adaperta exspirant; fertque in utero fœtum minimum XVI menses, summum XVIII. Parit autem elephas unicum, sicut equa: atque hunc lacte suo in octavum usque annum nutrit. (8) Vivunt elephanti, qui plurimum, annos CC; multi vero ante hoc tempus morbo intereunt. Senectute vero ad hanc ætatem pertingunt. (9) Oculorum ægritudini remedium iis est lac bubulum infusum: reliquis morbis vinum nigrum epotum prodest, ulceribus autem carnes suillæ tostæ atque intritæ vulneribus. Hæc apud Indos morbis eorum remedia sunt.

ceant, et de morbis eorum Ælianus quoque loquitur XII, 44 et XIII, 7. Posteriorem locum e Megasthene petitum esse non est dubium, præsertim quum in iis quæ proxime antecedunt ipse Ælianus auctorem suum nominaverit. Alterum locum minus certo, probabiliter tamen ad Megasthenem referas. Utrumque exscribam.

Ælianus N. A. XII, 44 : Ἐν Ἰνδοῖς ἂν ἁλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστι, καὶ τὴν ἐλευθερίαν ποθῶν φονᾷ· ἐὰν δὲ αὐτὸν καὶ δεσμοῖς διαλάβῃς, ἔτι καὶ μᾶλλον ἐς τὸν θυμὸν ἐξάπτεται, καὶ δεσπότην οὐχ ὑπονέμει. Ἀλλ' οἱ Ἰνδοὶ καὶ ταῖς τροφαῖς κολακεύουσιν αὐτὸν, καὶ ποικίλοις καὶ ἐφολκοῖς δελέασι πραΰνειν πειρῶνται, παρατιθέντες, ὡς πληροῦν τὴν γαστέρα καὶ θέλγειν τὸν θυμόν· ὁ δὲ ἄχθεται αὐτοῖς, καὶ ὑπερορᾷ· Τί οὖν ἐκεῖνοι κατασοφίζονται καὶ δρῶσι; Μοῦσαν αὐτοῖς προσάγουσιν ἐπιχώριον, καὶ κατᾴδουσιν αὐτοὺς ὀργάνῳ τινὶ καὶ τούτῳ συνήθει· καλεῖται δὲ σκινδαψὸς τὸ ὄργανον· ὁ δὲ ὑπέχει τὰ ὦτα καὶ θέλγεται, καὶ ἡ μὲν ὀργὴ πραΰνεται, ὁ δὲ θυμὸς ὑποστέλλεταί τε καὶ θόρνυται, κατὰ μικρὰ δὲ καὶ ἐς τὴν τροφὴν ὁρᾷ· εἶτα ἀφεῖται μὲν τῶν δεσμῶν, μένει δὲ τῇ μούσῃ δεδεμένος, καὶ δειπνεῖ προθύμως ἁβρὸς δαιτυμὼν καταδεδεμένος· πόθῳ γὰρ τοῦ μέλους οὐκ ἂν ἔτι ἀποσταίη.

Idem XIII, 6 : Τῶν τεθηραμένων ἐλεφάντων ἰῶνται τὰ τραύματα οἱ Ἰνδοὶ τὸν τρόπον τοῦτον. Καταιονοῦσι μὲν αὐτὰ ὕδατι χλιαρῷ, ὥσπερ οὖν τὸ τοῦ Εὐρυπύλου παρὰ τῷ καλῷ Ὁμήρῳ ὁ Πάτροκλος· εἶτα μέντοι διαχρίουσι τῷ βουτύρῳ αὐτά· ἐὰν δὲ ᾖ βαθέα, τὴν φλεγμονὴν πραΰνουσιν, ὕεια κρέα, θερμὰ μὲν, ἔναιμα δὲ ἔτι, προσφέροντες καὶ ἐντιθέντες. Τὰς δὲ ὀφθαλμίας θεραπεύουσιν αὐτῶν, βόειον γάλα ἀλεαίνοντες, εἶτα αὐτοῖς ἐγχέοντες· οἱ δὲ ἀνοίγουσι τὰ βλέφαρα καὶ ὠφελούμενοι ἥδονταί τε καὶ αἰσθάνονται ὥσπερ ἄνθρωποι· καὶ εἰς τοσοῦτον ἐπικλύζουσιν, εἰς ὅσον ἂν ὑποπαύσωνται λημῶντες· μαρτύριον δὲ τοῦ παύσασθαι τὴν ὀφθαλμίαν τοῦτό ἐστι. Τὰ δὲ νοσήματα ὅσα αὐτοῖς προσπίπτει ἄλλως, ὁ μέλας οἶνός ἐστιν αὐτοῖς ἄκος· εἰ δὲ μὴ γένοιτο ἐξάντης τοῦ κακοῦ τῷ φαρμάκῳ τῷδε, ἄσωστά οἱ ἐστιν. Etiam ea quæ Ælianus XIII, 8 de elephantum indole et vivendi ratione, et III, 46 de elephanto albo narrat e Megasthene petita fuerint.

39.

Strabo XV, p. 706, de formicis aurum effodientibus : Μεγασθένης δὲ περὶ τῶν μυρμήκων οὕτω φησὶν, ὅτι ἐν Δέρδαις, ἔθνει μεγάλῳ τῶν προσεῴων καὶ ὀρεινῶν Ἰνδῶν, ὀροπέδιον εἴη τρισχιλίων πως τὸν κύκλον σταδίων· ὑποκειμένων δὲ τούτῳ χρυσωρυχείων, οἱ μεταλλεύοντες εἶεν μύρμηκες, θηρίων ἀλωπέκων οὐκ ἐλάττους, τάχος ὑπερφυὲς ἔχοντες, καὶ ζῶντες ἀπὸ θήρας. Ὀρύττουσι δὲ χειμῶνι τὴν γῆν· σωρεύουσί τε πρὸς τοῖς στομίοις, καθάπερ οἱ ἀσπάλακες· ψῆγμα δ' ἐστὶ χρυσοῦ μικρᾶς ἑψήσεως δεόμενον· τοῦθ' ἱπποζυγίοις μετίασιν οἱ πλησιόχωροι λάθρα· φανερῶς γὰρ διαμάχονται, καὶ διώκουσι φεύγοντας· καταλαβόντες δὲ διαχρῶνται καὶ αὐτοὺς καὶ τὰ ὑποζύγια. Πρὸς δὲ τὸ λαθεῖν κρέα θήρεια προστιθέασι κατὰ μέρη· περισπασθέντων δ' ἀναιροῦνται τὸ ψῆγμα, καὶ τῷ τυχόντι τῶν ἐμπόρων ἀργὸν διατίθενται, χωνεύειν οὐκ εἰδότες. Cf. Nearch. fr. 12.

Arrianus Ind. c. 5, 4 : Μεγασθένης δὲ καὶ ἀτρεκέας εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει, τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν, ἵνα φωλεύοιεν· κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν· (6) ἐκείνους δὲ, εἶναι γὰρ ἀλωπέκων μέζονας, πρὸς λόγον τοῦ μεγέθεος σφῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. (7) Ἀλλὰ Μεγασθένης ἀκοὴν ἀπηγέεται. Antecedit Nearchi fr. 12.

Cf. Dio Chrysostom. Or. 35 p. 436 ed. Morell : Τὸ δὲ χρυσίον λαμβάνουσι παρὰ μυρμήκων. Οὗτοι δέ εἰσιν ἀλωπέκων μείζονες, τἄλλα δὲ ὅμοιοι τοῖς παρ' ὑμῖν· ὀρύττουσι δὲ κατὰ γῆς ὥσπερ οἱ λοιποὶ μύρμηκες. Ὁ δὲ χοῦς αὐτοῖς ἐστι χρυσίον καθαρώτατον πάντων χρυσίων καὶ στιλπνότατον. Εἰσὶν οὖν πλησίον ἐφεξῆς, ὥσπερ κολωνοὶ τοῦ ψήγματος, καὶ τὸ πεδίον ἅπαν ἀστράπτει· χαλεπὸν οὖν ἰδεῖν ἐστι πρὸς τὸν ἥλιον, καὶ πολλοὶ τῶν ἐπιχειρούντων ἰδεῖν τὰς ὄψεις διεφθάρησαν. Οἱ δὲ προσοικοῦντες ἄνθρωποι τὴν μεταξὺ χώραν διελθόντες ἔρημον οὖσαν οὐ πολλὴν ἐφ' ἁρμάτων, ὑποζεύξαντες ἵππους ταχίστους, ἀφικνοῦνται τῆς μεσημβρίας, ἡνίκα δεδύκασι κατὰ γῆς· ἔπειτα φεύγουσι τὸν χοῦν ἁρπάσαντες. Οἱ δὲ αἰσθανόμενοι διώκουσι καὶ μάχονται καταλαβόντες, ἕως ἀποθάνωσιν ἢ ἀποκτείνωσιν· ἀλκιμώτατοι γάρ εἰσι θηρίων ἁπάντων· ὥστε οὗτοί γε ἐπίστανται τὸ χρυσίον, ὁπόσου ἐστὶν ἄξιον, καὶ οὐδὲ προΐενται πρότερον ἢ ἀποθανεῖν.

Cf. Ælianus H. An. III, 4; XVI, 15; Plinius XI, 36; Propert. III, 13, 5; Pompon. Mela VII, 2; Isidor. XII, 3; Clem. Alex. Pædag. II, p. 207;

39.

Megasthenes de his formicis loquens ait, apud Derdas, quæ magna gens est Indorum montanorum et orientalium planitiem quandam montanam esse ter mille stadiorum, ambitu, et sub ea aurifodinas, quas effodiant formicæ vulpibus magnitudine non minores, mira celeritate, victum e venatione comparantes. Fodere autem terram per hiemem et ad ostium accumulare, quemadmodum solent talpæ. Hujus auri ramenta, id enim sunt, parva decoctione egent. Vicini jumentis ea clam rapiunt; aperte enim non possunt, prohibentibus formicis, quæ et pugnant et fugientes insectantur, quos quum deprehenderint, una cum jumentis interimunt. Ut ergo illas lateant, ferinas carnes per loca plurima disponunt, itaque ad prædam dissipatis formicis, auri ramenta ipsi asportant, et fusionis ignari cuicunque mercatori rudia divendunt.

Megasthenes certa veraque esse quæ de formicis scribuntur dicit: eas nimirum esse quæ aurum e terra effodiant,

Tzetzes Chil. XII, 330; Albert. Magnus De animal. tom. VI, p. 678, ex Alexandri epistolis, quæ feruntur; Anonymus De monstris et belluis p. 259 ed. Berger de Xivrey. Quos locos citat Schwanbeck. p. 72 addens hæc : « Philostratus V. Apoll. VI, 1. Heliodorus Æth. X, 26 p. 495, quum formicas illas Æthiopiæ attribuerint, auctoribus usi videntur Megasthene antiquioribus (?). Nuncupatur populus a Megasthene Δέρδαι, apud Plinium *Dardæ*, ab ipsis Indis *Daradæ*. Et admirabiliter *Daradas* Ptolemæus in Æthiopia habitare dicit, et ejusdem nominis populum in extrema Libyæ parte ad occidentem sita Agathem. II, 5, Polyb. ap. Plin. H. N. V, 1, 20, Ptolem. IV, 6, quem veteres scriptores cum solita Indiæ et Æthiopiæ permutatione nescio an huc transposuerint. Indicum certe sabuletum et Africum permutationi ansam dare facile potuit. »

Idem Schwanbeckius docet narrationem de formicis istis etiam apud *Qazvinium* Arabem scriptorem occurrere in *Gildemeister* Scriptt. Arab. de reb. Ind. p. 220—222 : *Dixit auctor libri miraculorum, in ultima India terram esse, cujus arena auro commista sit; ibi formicarum magnarum species est, quæ canem celeritate cursus superant; terra quam maxime fervida est, et æstu aucto formicæ sub terram in latibula se recipiunt ibique latent, usque dum æstus vehementia diminuta est. Tum Indi cum jumentis ad earum latibula veniunt et aliquantum avehunt arenam; deinde cursu celeri se recipiunt metu formicarum, ne insecutæ se devorent.* Porro *Busbequium* (Legationis Turcicæ Epist. IV, p. 144) tradere Solimano præter alia dona a Thamaspo Persarum rege missam esse formicam Indicam, mediocris canis magnitudine, mordacem admodum et sævam. Post hæc Schwanbeckius pergit ita : « Bestiam primus *Moorcroftius* (*As. Res.* XII, 439) invenit, qui circa Indi fontes solum invenit auriferum et bestiam in cavernis terræ viventem, cui veterum descriptio conveniebat, ita scilicet, ut formicis minime similis esse possit. Quam eandem esse atque istam formicam ab Herodoto, Nearcho, Megasthene aliisque memoratam primus perspexit Ritterus (*Asien* II, 659; cf. p. 508. 593). Convenit etiam locus : in illa enim regione Daradæ habitabant. Neque tamen apud ipsum Ritterum, dum in nomine male intellecto aut converso, aut altero cum altero mutato narrationem originem habere putat, auctorum varietas satis valuit. Ex quo tempore etiam ultima dubitationis causa sublata est : Vilso enim invenit (Arian. ant. p. 235) mentionem fieri etiam in Indicis literis bestiarum aurum effodientium, quas, quum terram effodiant, eodem nomine (*pipîlica*) atque formicas Indi nuncupant. Cf. Mahâb. II, 2860 : *pipîlicam gdtarupam uddritam pipîlicâis*, i. e. *formicinum aurum erutum a formicis*. Itaque etiam de hac re rectius quam qui eum vituperant, Megasthenes censuit. »

40.

Strabo XV, p. 711 sqq. : Περὶ δὲ τῶν φιλοσόφων λέγων (sc. Μεγασθένης) τοὺς μὲν ὀρεινοὺς αὐτῶν φησιν ὑμνητὰς εἶναι τοῦ Διονύσου, δεικνύντας τεκμήρια τὴν ἀγρίαν ἄμπελον παρὰ μόνοις αὐτοῖς φυομένην καὶ κιττὸν καὶ δάφνην καὶ μυρρίνην καὶ πύξον καὶ ἄλλα τῶν ἀειθαλῶν, ὧν μηδὲν εἶναι πέραν τοῦ Εὐφράτου, πλὴν ἐν παραδείσοις σπάνια καὶ μετὰ πολλῆς ἐπιμελείας σωζόμενα. Διονυσιακὸν δὲ καὶ τὸ σινδονοφορεῖν καὶ τὸ μιτροῦσθαι καὶ μυροῦσθαι καὶ βάπτεσθαι ἄνθινα καὶ τοὺς βασιλέας κωδωνοφορεῖσθαι καὶ τυμπανίζεσθαι κατὰ τὰς ἐξόδους. Τοὺς δὲ πεδιασίους τὸν Ἡρακλέα τιμᾷν. [Ταῦτα μὲν οὖν μυθώδη καὶ ὑπὸ πολλῶν ἐλεγχόμενα, καὶ μάλιστα [τὰ] περὶ τῆς ἀμπέλου καὶ τοῦ οἴνου, πέραν γὰρ τοῦ Εὐφράτου καὶ τῆς Ἀρμενίας ἐστὶ πολλή· καὶ ἡ Μεσοποταμία ὅλη καὶ ἡ Μηδία ἑξῆς μέχρι καὶ Περσίδος καὶ Καρμανίας· τούτων δὲ τῶν ἐθνῶν ἑκάστου πολὺ μέρος εὐάμπελον καὶ εὔοινον λέγεται.]

Ἄλλην δὲ διαίρεσιν ποιεῖται περὶ τῶν φιλοσόφων, δύο γένη φάσκων, ὧν τοὺς μὲν Βραχμᾶνας καλεῖ, τοὺς δὲ Σαρμάνας (codd. Γαρμᾶνας). Τοὺς μὲν οὖν Βραχμᾶνας εὐδοκιμεῖν μᾶλλον, μᾶλλον γὰρ καὶ ὁμολογεῖν ἐν τοῖς δόγμασιν· ἤδη δ' εὐθὺς καὶ κυομένους ἔχειν ἐπιμελητάς, λογίους ἄνδρας· οὓς προσιόντας λόγον μὲν ἐπᾴδειν δοκεῖν καὶ τὴν μητέρα καὶ τὸν κυόμενον εἰς εὐτεκνίαν· τὸ δ' ἀληθές, σωφρονικάς τινας παραινέσεις καὶ ὑποθήκας

---

non quidem ipsius auri causa, sed ut sibi antra, in quibus delitescant, parent : quemadmodum nostræ formicæ exiguæ nonnihil eruant. Illas vero, quippe quæ vulpibus sint majores, pro ratione earum magnitudinis quoque terram fodere, quæ sit aurifera, atque aurum Indis suppeditet. Ceterum Megasthenes auditum narrat.

40.

« De philosophis Megasthenes narrat, eos qui sunt montani, Bacchum celebrare, signa quædam ostendentes : quod solum apud eos agrestis vitis nascatur, et hedera et laurus et myrtus et buxus et alia semper virentia, quorum nullum sit trans Euphratem præter pauca quædam in hortis amœnis, quæ multo cultu conserventur. Bacchicum est etiam sindonas et mitras gestare et unguentis uti et floribus tingi et tympana et tintinnabula exuentem regem præcedere. Campestres vero Herculem colere. Quæ profecto fabulosa sunt a multis refutata, præsertim de vino ac vitibus : nam regio trans Euphratem et Armeniam vineas habet. Mesopotamia quidem tota et Media ac ceteræ regiones usque in Persiam et Carmaniam magna ex parte vitibus et vino abundant.

De philosophis quoque divisionem aliam instituit, duo genera eorum faciens, quorum unum Brachmanes, alterum Sarmanes dicatur. Præstare autem Brachmanes alteris, quod eorum decreta magis sint consentanea. Hi quum primum concepti sunt, viros doctos curatores habent, qui

διδόναι· τὰς δ' ἥδιστα ἀκροωμένας, μᾶλλον εὐτέκνους εἶναι νομίζεσθαι. Μετὰ δὲ τὴν γένεσιν ἄλλους καὶ ἄλλους διαδέχεσθαι τὴν ἐπιμέλειαν, ἀεὶ τῆς μείζονος ἡλικίας χαριεστέρων τυγχανούσης διδασκάλων. Διατρίβειν δὲ τοὺς φιλοσόφους ἐν ἄλσει πρὸ τῆς πόλεως, ὑπὸ περιβόλῳ συμμέτρῳ, λιτῶς ζῶντας ἐν στιβάσι καὶ δοραῖς, ἀπεχομένους ἐμψύχων καὶ ἀφροδισίων, ἀκροωμένους λόγων σπουδαίων, μεταδιδόντας καὶ τοῖς ἐθέλουσι· τὸν δ' ἀκροώμενον οὔτε λαλῆσαι θέμις, οὔτε χρέμψασθαι, ἀλλ' οὐδὲ πτύσαι· ἢ ἐκβάλλεσθαι τῆς συνουσίας τὴν ἡμέραν ἐκείνην, ὡς ἀκολασταίνοντα. Ἔτη δ' ἑπτὰ καὶ τριάκοντα οὕτως ζήσαντα ἀναχωρεῖν εἰς τὴν ἑαυτοῦ κτῆσιν ἕκαστον, καὶ ζῆν ἀδεῶς καὶ ἀνειμένως μᾶλλον, σινδονοφοροῦντα καὶ χρυσοφοροῦντα μετρίως ἐν ταῖς χερσὶ καὶ τοῖς ὠσὶ, προσφερόμενον σάρκας τῶν μὴ πρὸς τὴν χρείαν συνεργῶν ζῴων, δριμέων καὶ ἀρτυτῶν ἀπεχόμενον· γαμεῖν δ' ὅτι πλείστας εἰς πολυτεκνίαν· ἐκ πολλῶν γὰρ καὶ τὰ σπουδαῖα πλείω γίνεσθαι ἄν· ἀδούλοις οὖσί τε τὴν ἐκ τέκνων ὑπηρεσίαν ἐγγυτάτω οὖσαν πλείω δεῖν παρασκευάζεσθαι. Ταῖς δὲ γυναιξὶ ταῖς γαμεταῖς μὴ συμφιλοσοφεῖν τοὺς Βραχμᾶνας· εἰ μὲν μοχθηραὶ γένοιντο, ἵνα μή τι τῶν οὐ θεμιτῶν ἐκφέροιεν εἰς τοὺς βεβήλους, εἰ δὲ σπουδαῖαι, μὴ καταλείποιεν αὐτούς· οὐδένα γὰρ ἡδονῆς καὶ πόνου καταφρονοῦντα, ὡς δ' αὕτως ζωῆς καὶ θανάτου, ἐθέλειν ὑφ' ἑτέρῳ εἶναι· τοιοῦτον δ' εἶναι τὸν σπουδαῖον καὶ τὴν σπουδαίαν.

Πλείστους δ' αὐτοῖς εἶναι λόγους περὶ θανάτου· νομίζειν γὰρ δὴ τὸν μὲν ἐνθάδε βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι· τὸν δὲ θάνατον γένεσιν εἰς τὸν ὄντως βίον καὶ τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι· διὸ τῇ ἀσκήσει πλείστῃ χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον· ἀγαθὸν δὲ ἢ κακὸν μηδὲν εἶναι τῶν συμβαινόντων ἀνθρώποις· οὐ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς μὲν ἄχθεσθαι, τοὺς δὲ χαίρειν, ἐνυπνιώδεις ὑπολήψεις ἔχοντας, καὶ τοὺς αὐτοὺς τοῖς αὐτοῖς τοτὲ μὲν ἄχθεσθαι, τοτὲ δ' αὖ χαίρειν μεταβαλλομένους. Τὰ δὲ περὶ φύσιν, τὰ μὲν εὐήθειαν ἐμφαίνειν φησίν· ἐν ἔργοις γὰρ αὐτοὺς κρείττους ἢ λόγοις εἶναι, διὰ μύθων τὰ πολλὰ πιστουμένους· περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν (cf. fr. 41)· ὅτι γὰρ γενητὸς ὁ κόσμος καὶ φθαρτὸς, λέγειν κἀκείνους, καὶ ὅτι σφαιροειδής· ὅ τε διοικῶν αὐτὸν καὶ ποιῶν θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ· ἀρχαὶ δὲ τῶν μὲν συμπάντων ἕτεραι, τῆς δὲ κοσμοποιίας τὸ ὕδωρ· πρὸς δὲ τοῖς τέτταρσι στοιχείοις πέμπτη τίς ἐστι φύσις, ἐξ ἧς ὁ οὐρανὸς καὶ τὰ ἄστρα· γῆ δ' ἐν μέσῳ ἵδρυται τοῦ παντός· καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται, καὶ ἄλλα πλείω· παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων περί τε ἀφθαρσίας ψυχῆς, καὶ τῶν καθ' ᾅδου κρίσεων, καὶ ἄλλα τοιαῦτα. Περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει.

Τοὺς δὲ Σαρμάνας, τοὺς μὲν ἐντιμοτάτους Ὑλοβίους φησὶν ὀνομάζεσθαι, ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων καὶ καρπῶν ἀγρίων, ἐσθῆτας δ' ἔχειν ἀπὸ φλοιῶν δενδρείων, ἀφροδισίων χωρὶς καὶ οἴνου· τοῖς δὲ βασιλεῦσι συνεῖναι, δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν αἰτίων, καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. Μετὰ δὲ τοὺς Ὑλοβίους δευτερεύειν κατὰ τιμὴν τοὺς ἰατρικοὺς, καὶ ὡς περὶ τὸν ἄνθρωπον φιλοσόφους, λιτοὺς μὲν, μὴ ἀγραύλους δὲ, ὀρύζῃ καὶ ἀλφίτοις τρεφομένους, ἃ παρέχειν αὐτοῖς πάντα τὸν αἰτηθέντα καὶ ὑποδεξάμενον ξενίᾳ· δύνασθαι δὲ καὶ πολυγόνους ποιεῖν, καὶ ἀρρενογόνους, καὶ θηλυγόνους διὰ φαρμακευτικῆς· τὴν δὲ ἰατρείαν διὰ σιτίων τὸ πλέον, οὐ διὰ φαρμάκων ἐπιτελεῖσθαι· τῶν φαρμάκων δὲ μάλιστα εὐδοκιμεῖν τὰ ἐπίχριστα καὶ τὰ καταπλάσματα· τἄλλα δὲ κακουργίας πολὺ μετέχειν. Ἀσκεῖν δὲ καὶ τούτους κἀκείνους καρτερίαν, τήν τε ἐν πόνοις καὶ τὴν ἐν ταῖς ὑπομοναῖς, ὥστ' ἐφ' ἑνὸς σχήματος ἀκίνητον διατελέσαι τὴν ἡμέραν ὅλην. Ἄλλους δ' εἶναι τοὺς μὲν μαντικοὺς

---

Idem X, 23 : (Μητρόδωρος) τὴν ἀδελφὴν Βατίδα ἐξέδοτο Ἰδομενεῖ.

Idem X, 3 : Dicebant nonnulli de Epicuro eum Ἰδομενέα καὶ Ἡρόδοτον καὶ Τιμοκράτην, τοὺς ἔκπυστα αὐτοῦ τὰ κρύφια ποιήσαντας, ἐγκωμιάζειν καὶ κολακεύειν.

Athenæus VII, p. 279 F : Ταύτης (τῆς γαστρὸς) γὰρ ἕνεκεν ὁ ἀνὴρ καὶ τῆς ἄλλης τῆς κατὰ σάρκα ἡδονῆς ἐκολάκευε καὶ Ἰδομενέα καὶ Μητρόδωρον... Ἐπίκουρος γὰρ ἦν ὁ τούτων διδάσκαλος.

(**) Diog. X, 22 : Ἤδη δὲ τελευτῶν (Ἐπίκουρος) γράφει πρὸς Ἰδομενέα τήνδ' ἐπιστολήν· « Τὴν μακαρίαν ἄγοντες καὶ ἅμα τελευταίαν ἡμέραν τοῦ βίου, ἐγράφομεν ὑμῖν ταυτί· στραγγουρία τε παρηκολουθήκει καὶ δυσεντερικὰ πάθη, ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους. Ἀντιπαρετάττετο δὲ πᾶσι τούτοις τὸ κατὰ ψυχὴν χαῖρον ἐπὶ τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ. Σὺ δ' ἀξίως τῆς ἐκ μειρακίου παραστάσεως πρὸς ἐμὲ καὶ φιλοσοφίαν ἐπιμελοῦ τῶν παίδων Μητροδώρου. »

Seneca Ep. I, 21 : *Quum Idomeneo scriberet* (Epicurus) *et illum a vita speciosa ad fidelem stabilemque gloriam revocaret rigidæ tunc potentiæ ministrum et magna tractantem : « Si gloria, inquit, tangeris, notiorem te epistolæ meæ facerent, quam omnia ista, quæ colis et propter quæ coleris. » Num quid ergo mentitus est? Quis Idomenea nosset, nisi Epicurus illum suis literis incidisset? Omnes illos megistanas et satrapas et regem ipsum, ex quo Idomenei titulus petebatur, oblivio alta suppressit.* — Idem paullo post : *Quoscunque in medium fortuna protulit, quicunque membra et partes alienæ potentiæ fuerant, horum gratia viguit, domus frequentata est, dum ipsi steterunt : post ipsos cito memoria defecit, ingeniorum crescit dignatio : nec ipsis tantum honor habetur, sed quidquid illorum memoriæ adhæsit, excipitur. Ne gratis Idomeneus in epistolam meam venerit, ipse eam de suo redimet. Ad hunc Epicurus illam nobilem sententiam scripsit, qua hortatur, ut Pythoclea* (de quo v. Diog. L. X, 5, 84) *locupletem non publica nec ancipiti via faciat. « Si vis, inquit, Pythoclea divitem facere, non pecuniæ adjiciendum, sed cupiditatibus detrahendum est. »*

Seneca Ep. 22 : *Nulli necesse est felicitatem cursu sequi : est aliquid, etiam si non repugnare, subsistere, nec instare fortunæ ferenti... Epicuri epistolam ad hanc rem pertinentem legi, Idomeneo quæ scribitur. Quem rogat ut quantum potest fugiat et properet antequam aliqua vis major interveniat, et auferat libertatem recedendi. Idem tamen subjicit, nihil esse tentandum, nisi quum apte poterit tempestiveque tentari : sed quum illud tempus diu captatum venerit, exsiliendum ait. Dormitare de fuga cogitantem vetat, et sperat etiam ex difficillimis salutarem exitum, si nec properemus ante tempus, nec cessemus in tempore.*

Plutarch. adv. Coloten p. 1127, F : Πάλιν δὲ, οἶμαι, γράφων πρὸς Ἰδομενέα διακελεύεται, μὴ νόμοις καὶ δόξαις δουλεύοντα ζῆν, ἐφ' ὅσον ἂν μὴ τὴν διὰ τοῦ πέλας ἐκ πληγῆς ὄχλησιν παρασκευάζωσιν.

Photius Lex. : Πύθια καὶ Δήλια. Φασὶ Πολυκράτην τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ, πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸν ὡρισμένον χρόνον· τὴν δὲ Πυθίαν ἀνελεῖν, ταῦτα σοὶ Πύθια καὶ Δήλια, βουλομένην δηλοῦν ὅτι ἔσχατα· μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος δὲ ἐν τινὶ τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα. Eadem Suidas.

nias Lesbius, qui et ipse librum scripsit Περὶ Σωκρατικῶν (Diog. L. VI, 8), sed ut et Solonis et Themistoclis mentionem fecerit (v. ad Plut. Themist. p. 5 sq.). Item Demetrius Phalereus in libro quem Σωκράτης inscripserat (Plut. Arist. 1. 18) Aristidis meminit, neque ita ut commemorarit tantum, sed ut satis accurate quæ ad vitam privatam attinebant videatur persecutus esse. Denique idem constat de Panætii libro Περὶ Σωκράτους (v. Plut. Aristid. 26). » Contra ita Car. Fr. Hermannus (Index lectt. univ. Marburg. æst. 1836, p. VII): « Nobis multo verisimilius est, quod non modo Jonsio (Scr. Hist. ph. p. 118), verum etiam Luzaco (Lectt. Att. p. 113 sq.) placuisse videmus, Idomeneum Epicuri sectatorem, ut voluptatem suam magnorum virorum exemplis defenderet ac commendaret, pariter ut Aristippum Περὶ παλαιᾶς τρυφῆς scripsisse constat, alium præterea librum de illustrium hominum luxurie reliquisse, quem facilis conjectura est mendaciis obtrectatorumque calumniis refertissimum fuisse (*). »

Quæ etsi speciem verisimilitudinis præ se ferre videntur, nullo tamen veteris auctoritatis indicio confirmantur. Neque vero deest in fragmentis veteris tituli vestigium. Etenim fr. 17 legitur Ἰδομένης φησὶ δημαγωγόν; quod quum sensum non fundat, sagaciter Sauppius restituit Ἰδομενεύς φησι Περὶ δημαγωγῶν, ad eumque librum referenda censet omnia, quæ alteri De Socraticis operi assignari nequeant. Idque rectissime, ut equidem judico. Sunt sane, quæ non proxime ad demagogos pertineant; sed Idomeneus eodem modo rem instituere potuit, quo Theopompus fecit in suo Περὶ δημαγωγῶν libro (histor. Phil. X), ubi tantum non omnes viros qui inde a Persicis temporibus Atheniensium rempublicam administraverant, percensuisse videtur. — Ceterum quod de mala fide auctoris nostri modo dictum est, id quisque verissimum habebit, qui vel fugitivo oculo fragmenta perlustraverit.

Præterea Idomeneus scripsit *Samothracica*. Suidas: Ἰδομενεὺς, ἱστορικός· ἔγραψε ἱστορίαν τὴν κατὰ Σαμοθρᾴκην. Nihil ex eo libro superstes, nisi forte huc pertinet fragm. 18; ubi citatur Ἰ. ἐν πρώτῳ Τρωικῶν de genealogia, quæ in Samothracicis pariter ac in Troicis locum habere potuit.

(*) Conf. A. G. Beckeri *Analecten zu d. griechischen Rednern* fasc. I, p. 24 sqq. (Quedlinburg 1835). Westermann ad Voss. Hist. Gr. p. 105, ubi fusius de hac re ab ipso dictum esse ait in Quæst. Demosth. P. IV, p. 29 sqq.

ΠΕΡΙ ΤΩΝ ΣΩΚΡΑΤΙΚΩΝ.

1.

Diog. L. II, 19: Ἦν γὰρ (Σωκράτης) καὶ ἐν τοῖς ῥητορικοῖς δεινὸς, ὥς φησι καὶ Ἰδομενεύς· ἀλλὰ καὶ οἱ τριάκοντα αὐτὸν ἐκώλυσαν τέχνας διδάσκειν λόγων, ὥς φησι Ξενοφῶν. Καὶ Ἀριστοφάνης αὐτὸν κωμῳδεῖ ὡς τὸν ἥττω λόγον κρείττω ποιοῦντα. Καὶ γὰρ πρῶτος (ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ) μετὰ τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε. Λέγει δὲ τοῦτο καὶ Ἰδομενεὺς ἐν τοῖς Περὶ τῶν Σωκρατικῶν.

2.

Diog. L. III, 36: Τοὺς δὲ λόγους, οὓς Κρίτωνι περιτέθεικεν (Πλάτων), ἐν τῷ δεσμωτηρίῳ περὶ τῆς φυγῆς συμβουλεύοντι, φησὶν Ἰδομενεὺς εἶναι Αἰσχίνου· τὸν δ' ἐκείνῳ περιθεῖναι διὰ τὴν πρὸς τοῦτον δυσμένειαν.

Diog. L. II, 60: Τοῦτον (Αἰσχίνην) ἔφη Ἰδομενεὺς ἐν τῷ δεσμωτηρίῳ συμβουλεῦσαι, περὶ τῆς φυγῆς Σωκράτει, καὶ οὐ Κρίτωναι Πλάτωνα δὲ, ὅτι ἦν Ἀριστίππῳ μᾶλλον φίλος, Κρίτωνι περιθεῖναι τοὺς λόγους. — Pergit: Διεβάλλετο δ' ὁ Αἰσχίνης καὶ μάλισθ' ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ὡς τοὺς πλείστους διαλόγους, ὄντας Σωκράτους, ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης. Hæc quoque Idomeneus tradidit.

3.

Athenæus XIII, 611, D. E: Τίς γὰρ ἤλπισεν Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους, ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ μέτριον, πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκράτους ἐστὶ συγγράμματα, ἐχαρίσθη δὲ αὐτῷ ὑπὸ Ξανθίππης, τῆς Σωκράτους γυναι-

DE SOCRATICIS.

1.

Erat Socrates etiam in oratoria, sicut Idomeneus quoque refert, promptus atque acer: sed eum Trigintaviri dicendi artem, ut ait Xenophon, docere vetuerunt. Exagitatur etiam ab Aristophane, ut qui deteriorem causam superiorem faceret. Primus quippe ut Favorinus in Omnigena historia scribit, cum Æschine discipulo artem dicendi docuit; id quod Idomeneus quoque refert in libris De Socraticis.

2.

Sermones quos Critonem Plato fecit in carcere loquentem, quum Socrati fugam suaderet Æschinis fuisse tradit Idomeneus: illi vero a Platone hujus odio fuisse attributos.

Æschinem Idomeneus tradit in carcere fugam Socrati suadere tentasse, non Critonem: verum Platonem, quia Æschines Aristippum magis amplecteretur, Critoni illos sermones attribuisse. Insimulabatur Æschines, inprimis a Menedemo Eretriensi, quod Socratis dialogos complures pro suis venditaverit, quos a Xanthippe acceperit.

3.

Quis putasset Æschinem talibus fuisse moribus, qualem Lysias dicit in orationibus De contractibus? quem e Dialogis qui sub ipsius nomine feruntur, ut æquum et moderatum

χὸς, μετὰ τὸν ἐκείνου θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα φασίν.

[ΠΕΡΙ ΔΗΜΑΓΩΓΩΝ.]

4.

Athenæus XII, p. 532, F : Ἰδομενεὺς δέ φησι καὶ τοὺς Πεισιστρατίδας Ἱππίαν καὶ Ἵππαρχον εὑρεῖν θαλίας καὶ κώμους· διὸ καὶ ἵππων καὶ ἑτέρων πολλῶν ἐπιπολάσαι τὸ πλῆθος παρ' αὐτοῖς· ὅθεν βαρεῖαν αὐτῶν γενέσθαι τὴν ἀρχήν. Sequitur Theopompi fr. 147. — Πορνῶν κ. ἑταιρῶν Casaubonus, παρασίτων καὶ ἑταιρῶν Sintenis (ad Pl. Pericl. p. 318) scrib. proposuerunt.

5.

Athenæus XIII, p. 576, C : Θεμιστοκλῆς τε, ὥς φησιν Ἰδομενεύς, οὐχ ἅρμα ζευξάμενος ἑταιρῶν πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ; Ἦσαν δὲ αὗται Λάμια, καὶ Σκιώνη καὶ Σατύρα καὶ Νάννιον.

Idem XII, p. 533, D : Θεμιστοκλῆς δ', οὔπω Ἀθηναίων μεθυσκομένων οὐδ' ἑταίραις χρωμένων, ἐμφανῶς τέθριππον ζεύξας ἑταιρίδων, διὰ τοῦ Κεραμεικοῦ πληθύοντος ἑωθινὸς ἤλασεν. Ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν ὁ Ἰδομενεὺς, εἴτε ἑταίρας τέτταρας συνυπέζευξεν ὡς ἵππους, εἴτε ἀνεβίβασεν αὐτὰς ἐπὶ τὸ τέθριππον.

Priori loco ipsa Idomenei verba ab Athenæo posita esse monet Casaubonus.

6.

Schol. Aristoph. Vesp. 947 : Thucydides, Melesiæ f., Periclis adversarius, exilio decem annorum ex lege ostracismi mulctatus est. Ὅτι δὲ ὁ Ἀθηναίων δῆμος ἀειφυγίαν αὐτοῦ καταγνοὺς ἐδήμευσε τὴν οὐσίαν, καὶ πρὸς Ἀρταξέρξην ἧκε φεύγων, σαφὲς ποιεῖ Ἰδομενεὺς διὰ τοῦ β' τὸν τρόπον τοῦτον· « Οἱ μέντοι Ἀθηναῖοι αὐτοῦ καὶ γένους ἀειφυγίαν κατέγνωσαν, προδιδόντος τὴν Ἑλλάδα, καὶ αὐτοῦ ἡ οὐσία ἐδημεύθη. »

Clinton. F. H. III, p. 488 : « *This passage, referred by an error of the scholiast to Thucydides son of Melesias, appears to describe Themistocles.* » Plura in scholio isto perturbata sunt; quare verum tetigisse Clintonum nullus dubito. Sintenis (ad Plut. Pericl. c. 10) videns non posse verba schol. de eo exilio intelligi, quod Plutarchus memorat, « Si quid veri, inquit, est in ista Idomenei narratione, non video quomodo aliter res expediri possit, quam sic, ut Thucydides alio tempore iterum in exilium missus esse statuatur, tum quidem, ut προδοσίας accusatus, ἐπ' ἀειφυγίᾳ. »

7.

Plutarch. Pericle c. 10, 6 : Πῶς ἂν οὖν τις Ἰδομενεῖ πιστεύσειε κατηγοροῦντι τοῦ Περικλέους ὡς τὸν δημαγωγὸν Ἐφιάλτην φίλον γενόμενον καὶ κοινωνὸν ὄντα τῆς ἐν τῇ πολιτείᾳ προαιρέσεως δολοφονήσαντος διὰ ζηλοτυπίαν καὶ φθόνον τῆς δόξης; Ταῦτα γὰρ οὐκ οἶδ' ὅθεν συναγαγὼν ὥσπερ χολὴν τἀνδρὶ προσβέβληκε.

8.

Idem ibid. c. 35 de Pericle, post infelicem contra Epidaurum expeditionem accusato et condemnato loquens : Ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων, ὡς δὲ Θεόφραστος, Σιμμίας· ὁ δὲ Ποντικὸς Ἡρακλείδης Λακρατίδαν εἴρηκε.

9.

Plutarch. Aristid. c. 1 : Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς, οὐ κυαμευτὸν ἀλλ' ἑλομένων Ἀθηναίων φησίν.

Ad rem cf. sequentia, et cap. 5, ubi hæc : Φησὶν

---

hominem admiramur : nisi revera sapientis Socratis sunt scripta illa, huic vero donata a Xanthippe, uxore Socratis, post ejus obitum, ut Idomeneus ait.

[DE DEMAGOGIS.]

4.

Idomeneus scribit Pisistratidas quoque, Hippiam et Hipparchum, lauta epula et comessationes invenisse : itaque et equorum et aliarum rerum (*scortorum?*) ingens multitudo penes illos erat : unde grave ait fuisse illorum imperium.

5.

Themistocles, ut ait Idomeneus, nonne junctis quadrigis meretricum pleno foro in urbem invectus est? erant autem illæ Lamia et Scione et Satyra et Nannium.

Themistocles, quo tempore nondum Athenienses vulgo temulentiæ et scortationi dediti erant, *quadrigis junctis meretricularum* publice per Ceramicum hominibus frequentem mane transvectus est. Quam rem narrans Idomeneus ambigue locutus est; ut nescias, utrum quattuor meretrices veluti equos quadrigis junxerit, an in quadrigis illas fecerit sedere.

6.

Thucydidem Melesiæ filium (*deb. : Themistoclem*) exilio perpetuo ab Atheniensium populo mulctatum bonaque ejus publicata esse, ipsum vero ad Artaxerxem fugisse, planum facit Idomeneus libro secundo hunc in modum : « Athenienses, inquit, ipsum et familiam ejus exilio perpetuo mulctarunt, utpote Græciæ proditorem, atque bona ejus publicata sunt. »

7.

Qui ergo fidem mereatur Idomeneus, Periclem culpans, quod is Ephialten amicum suum atque ejusdem in republica factionis, æmulatione invidiaque gloriæ adductus, per fraudem necaverit? Hanc enim bilem nescio unde collectam ei viro suffudit.

8.

Accusationi Periclis subscripsit Cleon, si Idomeneum sequimur; sin Theophrastum, Simmias; Heraclides Ponticus Lacratidam nuncupat.

9.

Magistratum gessisse Aristidem, non tamen sorte, sed suffragiis Atheniensium electum, affirmat Idomeneus.

ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα (Ἀριστείδην) μικρὸν ἔμπροσθεν τοῦ θανάτου, μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. Quod in dubium vocat Plutarchus archontem Aristidem in ἀναγραφαῖς quærens frustra. Scilicet accidit ei, quod multis accidit, ut eum, qui alia quacunque ἀρχῇ functi erant, eponymos fuisse crederent. Vide Bœckh. De archontibus pseudeponym. p. 5 sq. Ceterum quamnam ἀρχὴν Idomeneus intellexerit, innuunt sequentia.

10.

Idem ibid. c. 4, 4: Τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητὴς οὐ μόνον τοὺς καθ' αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε πολλὰ νενοσφισμένους καὶ μάλιστα τὸν Θεμιστοκλέα·

Σοφὸς γὰρ ἀνὴρ, τῆς δὲ χειρὸς οὐ κρατῶν.

Διὸ καὶ συναγαγὼν πολλοὺς ἐπὶ τὸν Ἀριστείδην ἐν ταῖς εὐθύναις διώκων κλοπῆς καταδίκῃ περιέβαλεν, ὥς φησιν Ἰδομενεύς. Ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη. Προσποιούμενος δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτὸν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν, οὐκ ἐξελέγχων οὐδ' ἀκριβολογούμενος, ὥστε καταπιμπλαμένους τῶν δημοσίων ὑπερεπαινεῖν τὸν Ἀριστείδην καὶ δεξιοῦσθαι τὸν δῆμον ὑπὲρ αὐτοῦ σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι.

11.

Idem ibid. c. 10, 8: Ἐμβαλόντος δὲ Μαρδονίου τὸ δεύτερον εἰς τὴν Ἀττικὴν αὖθις εἰς Σαλαμῖνα διεπέρασαν. Ἀριστείδης δὲ πεμφθεὶς εἰς Λακεδαίμονα τῆς μὲν βραδυτῆτος αὐτοῖς ἐνεκάλει καὶ τῆς ὀλιγωρίας προεμένοις αὖθις τῷ βαρβάρῳ τὰς Ἀθήνας, ἠξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα τῆς Ἑλλάδος βοηθεῖν. Ταῦτα ἀκούσαντες οἱ Ἔφοροι μεθ' ἡμέραν μὲν ἐδόκουν παίζειν καὶ ῥαθυμεῖν ἑορτάζοντες· ἦν γὰρ αὐτοῖς Ὑακίνθια· νυκτὸς δὲ πεντακισχιλίους Σπαρτιατῶν ἐπιλέξαντες, ὧν ἕκαστος ἑπτὰ περὶ αὑτὸν εἵλωτας εἶχεν, ἐξέπεμψαν οὐκ εἰδότων τῶν Ἀθηναίων. Ἐπεὶ δὲ πάλιν ἐγκαλῶν ὁ Ἀριστείδης προσῆλθεν, οἱ δὲ σὺν γέλωτι ληρεῖν αὐτὸν ἔφασκον καὶ καθεύδειν, ἤδη γὰρ ἐν Ὀρεστείῳ τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους (ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας), οὐ κατὰ καιρὸν ἔφη παίζειν αὐτοὺς ὁ Ἀριστείδης ἀντὶ τῶν πολεμίων τοὺς φίλους ἐξαπατῶντας. Ταῦθ' οἱ περὶ τὸν Ἰδομενέα λέγουσιν. Ἐν δὲ τῷ ψηφίσματι τοῦ Ἀριστείδου πρεσβευτὴς οὐκ αὐτὸς, ἀλλὰ Κίμων καὶ Ξάνθιππος καὶ Μυρωνίδης φέρονται.

12.

Athenæus XIII, p. 590, C: Ὑπερίδης δ' ὁ ῥήτωρ ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν ἀποβαλὼν Γλαύκιππον, Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν ἀνέλαβε· καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν, ἐν Πειραιεῖ δὲ Ἀρισταγόραν, Φίλαν δ' ἐν Ἐλευσῖνι, ἣν πολλῶν ὠνησάμενος χρημάτων εἶχεν ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκουρὸν αὐτὴν ἐποιήσατο, ὡς Ἰδομενεὺς ἱστορεῖ.

Ex eodem Idomeneo sua habet Plutarchus in Vit. X. Or. p. 849, D: Ἐγένετο καὶ πρὸς τὰ ἀφροδίσια καταφερὴς, ὡς ἐκβαλεῖν μὲν τὸν υἱὸν, εἰσαγαγεῖν δὲ Μυρρίνην τὴν πολυτελεστάτην ἑταίραν, ἐν Πειραιεῖ δ' ἔχειν Ἀρισταγόραν, ἐν Ἐλευσῖνι δὲ ἐν τοῖς ἰδίοις κτήμασι Φίλαν τὴν Θηβαίαν εἴκοσι μνῶν λυτρωσάμενος.

13.

Athenæus XIII, p. 592, F de Demosthene: Ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν

10.

Aristides publicorum redituum procurator constitutus, non alios tantum sui temporis, sed etiam qui ante ipsum fuissent magistratus, multa peculatos ostendit, maxime autem Themistoclem, qui

catus quidem, ast incontinentis vir manus.

Itaque is, coitione multorum contra Aristidem facta, rationes administrati officii reddentem peculatus crimine condemnavit, ut refert Idomeneus. Sed primis et optimis civium indigne hoc ferentibus, non modo mulctatus ille non est, sed rursus eidem negotio præfectus Tum Aristides pœnituisse prioris se instituti simulans, seque leniorem præbens, peculatoribus placuit, quum non inquireret in eorum facta, neque ea detegeret: itaque hi publica onusti pecunia, summis laudibus Aristidem tollere, prensareque ejus nomine populum, ut rursus munus hoc ei demandarent.

11.

Mardonio iterum in Atticam irrumpente, rursus in Salaminem trajecerunt. Aristides autem Spartam missus tarditatem et negligentiam eis exprobravit, qui rursus Athenas barbaro prodidissent, simulque petiit, ut salvis adhuc Græciæ partibus opitulatum irent. Hæc ut audiverunt Ephori, interdiu festum diem agendo ludum et socordiam præ se ferebant (agebantur enim Hyacinthia), noctu clam Atheniensibus quinque millia delectorum Spartanorum, quorum quivis septem secum Helotas trahebat, emiserunt. Quum denuo incusaret eos Aristides, atque ipsi ridentes hominem delirare et somniare dicerent: jam enim ad Oresteum exercitum esse contra peregrinos (eo nomine Persas significabant) proficiscentem: alieno tempore eos ludere ac pro hostibus amicos decipere Aristides respondit. Hæc narratio est Idomenei: quippe in Aristidis edicto non ipse legatus, sed Cimon, Xanthippus et Myronides feruntur.

12.

Hyperides orator, paterna domo ejecto filio Glaucippo, Myrrhinam sumptuosissimam meretricem recepit, et hanc quidem habuit in urbe; in Piræeo vero Aristagoram; Eleusine Philam, quam ingenti pecunia emptam, dein liberam dimisit, et dispensandis rebus domesticis præfecit, ut Idomeneus tradit.

13.

Intemperanter libidinosus hic orator erat, ut ait Idomeneus. Sic Aristarchi cujusdam adolescentuli amore captus, ob illumque inter pocula insultans Nicodemo, oculos ei

Ἰδομενεύς. Ἀριστάρχου γοῦν τινος ἐρασθεὶς μειρακίου, καὶ δι' αὐτὸ παροινήσας εἰς Νικόδημον, ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. Παραδέδοται δὲ καὶ περὶ ὄψα καὶ περὶ νέους καὶ περὶ γυναῖκας πολυτελής. Τοιγαροῦν καὶ ὁ γραμματεύς ποτ' αὐτοῦ εἶπε· « Τί δ' ἄν τις περὶ Δημοσθένους λέγειν δύναιτο; τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα ἐκείνῳ μία γυνὴ μιᾷ νυκτὶ συνέχεεν. » Ἀναλαβεῖν γοῦν καὶ εἰς τὴν οἰκίαν λέγεταί τινα Κνωσίωνα μειρακίσκον, καίτοι γυναῖκα ἔχων· ὡς καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι.

Ἀριστάρχου γοῦν κτλ.] Cf. Demosth. c. Mid. § 104 sqq., Æschines C. Tim. p. 24, § 171 sq., Dinarch. C. Demosth. § 30, Zosimus Vit. Dem. p. 149, et plura ap. Westermannum De litibus quas Demosth. oravit (Lips. 1834) p. 23 sq.

14.

Plutarch. Phoc. c. 4 : Εἰ γὰρ ἦν, ὥς φησιν Ἰδομενεύς, δοιδυκοποιοῦ πατρὸς (ὁ Φωκίων), οὐκ ἂν ἐν τῷ λόγῳ Γλαυκίππος ὁ Ὑπερίδου μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ τὴν δυσγένειαν παρῆκεν.

15.

Schol. ad Æschin. De fals. leg. init.: Ὅτι μαθητὴς ἐγένετο (se. Αἰσχίνης ὁ ῥήτωρ), ὡς μὲν Δημήτριος ὁ Φαληρεύς, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος, ὡς δὲ Καικίλιος καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος, οὐκ ἤκουσε τῶν ἀνδρῶν μαθήσεως χάριν. Quibus subjiciuntur : Φησὶ γὰρ (Hermippus, puto, vel Cæcilius, qui Idomeneum citaverit) ὡς οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν, [οὔτε τὸ] ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πως ἐστὶν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου, καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερὴς, ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη, ἔχουσα δέ τι καὶ εὐφυὲς καὶ εὐάγωγον καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφανοῦς.

15 a.

Plutarch. Demosth. c. 15 : Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας ἄδηλον εἰ λέλεκται· καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. Ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθὲς, εἰ δεῖ τοῖς Περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι· μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος ὡς ἄχρι δίκης προελθόντος.

16.

Idem ibid. c. 23 : Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξῄτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν, ὀκτὼ δ' ὡς οἱ πλεῖστοι τῶν συγγραφέων. V. Duris fr. 9.

17.

Bekker. Anecd., p. 249 : Ἔμπουσα : Ἔμπουσα φάσμα ἐστὶ τῶν ὑπὸ τῆς Ἑκάτης πεμπομένων, εἰς πολλὰς ἀλλασσόμενον μορφάς. Ἐκαλεῖτο δὲ καὶ Ὀνοκώλη τοῦτο τὸ φάντασμα. Ἔμπουσα δὲ ὑπὸ τοῦ ἐμποδίζειν τοὺς ἀνθρώπους, ἢ ἀπὸ τοῦ τὸν ἕτερον πόδα χαλκοῦν ἔχειν, τὸν δὲ ἕτερον βολίτινον. Ἐκλήθη οὖν ἡ μήτηρ Αἰσχίνου Ἔμπουσα, ὡς μὲν λέγει Δημοσθένης (p. 270, 25), ἀπὸ τοῦ πάντα ποιεῖν καὶ πάσχειν (καὶ γὰρ τὸ φάσμα παντόμορφον)· ὡς δὲ Ἰδομενεύς φησι Περὶ δημαγωγῶν, ἐπεὶ ἀπὸ σκοτεινῶν τόπων ἀνεφαίνετο τοῖς μυουμένοις.

ἢ ἀπὸ κτλ.] distinctius Suidas v. Ἔμπουσα : Ἔμπουσα δὲ παρὰ τὸ ἑνὶ ποδίζειν, ἤγουν τὸν ἕτερον πόδα χαλκοῦν ἔχειν. — Ἰδομενεύς φ. π. δ.] vulgo

---

extudit. Perinde vero etiam in obsonia et in adolescentulos et in mulieres sumptus ingentes profudisse perhibetur. Quare scriba illius aliquando dixit : « De Demosthene quid dicere quispiam possit? Nam quæ ille toto anno meditatus est, ea una nocte una mulier miscet conturbatque. » Quin et domum suam recepisse fertur Cnosionem quendam adolescentulum, quamquam uxorem habens : quare indignata illa, ipsa quoque cum Cnosione concubuit.

14.

Si quidem pistillorum fabricatoris, ut Idomeneus ait, filius Phocion erat, ignobiles has ejus natales commemorare non omisisset in oratione sua Glaucippus, Hyperidis filius, qui sexcenta in eum convicia collegit effuditque.

15.

Æschines orator, secundum Demetrium Phalereum, Socratis philosophi, deinde vero Platonis discipulus fuit; secundum Cæcilium vero et Idomeneum et Hermippum, non audivit illos viros disciplinæ causa.

15 a.

Oratio, quam de falsa legatione contra Æschinem Demosthenes scripsit, num etiam dicta sit, haud liquet. Idomeneus quidem refert triginta tantum suffragiis absolutum Æschinem fuisse. Verum haud ita res se habere videtur, si quidem ex orationibus De corona ab utroque scriptis colligi aliquid licet. Neuter enim contentionis hujus diserte et perspicue ita meminit, ut ad causam forensem deventum esse pateat.

16.

Statim misit Alexander qui tradi sibi postularent demagogos decem, uti Idomeneus et Duris tradiderunt, vel octo potius, sicuti plurimi iique præstantiores scriptores referunt.

17.

Empusa spectrum est ex eorum numero, quæ Hecate immittere solet; varias illud assumere solet formas. Nominabatur vero etiam Onocole. Empusa autem dicebatur propterea quod ἐμποδίζειν, *impedire*, homines solet, aut inde quod (ἑνὶ ποδὶ, *uno tantum pede*, incedit, quoniam) alterum pedem æneum habet, alterum vero asininum. Æschinis itaque mater Empusa vocabatur, ut Demosthenes dicit, quod omnia faceret patereturque (nam spectrum quoque formas quascunque assumit); sicuti vero Idomeneus in libro De demagogis ait, quod e tenebricosis locis appareret initiandis.

'Ἰδομένης φησὶ δημαγωγόν, quod ita explicuit Lobeck. Agl. p. 121 : « Scilicet διὰ τούτων ἐδήλωσεν Δημοσθένης. Sic demagogus vocatur βάσκανος Ἐριννύς Dionys. H. IX, 45. » Sed quid tum sequentia? Quam recepi emendationem optimam proposuit H. Sauppe in *Welck. u. Ritschl. Rhein. Mus.* 1843, p. 451. Cf. Schol. Demosth. 18, § 130 : Τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν καὶ γίγνεσθαι δηλονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν. — Ἀνεφαίνετο τοῖς μ.] spectat ad ritus sacrorum Sabaziorum vel Phrygiorum, quorum Glaucotheam Æschinis matrem scimus fuisse antistitam. V. Suidas v. Αἰσχίνης. Cf. Lobeck. Agl. p. 652. Ceterum cf. schol. Aristoph. Ran. 293 : Δοκεῖ δὲ καὶ (sc. ἡ Ἔμπουσα) ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. Suidas et Etym. M. et Steph. Thes. v. Ἔμπουσα.

ΣΑΜΟΘΡΑΚΙΚΑ.

Suidas : Ἰδομενεύς, ἱστορικὸς ἔγραψεν ἱστορίαν τῶν κατὰ Σαμοθρᾴκην.

[ΤΡΩΙΚΑ.]

LIBRO PRIMO.

18.

Schol. Apoll. Rhod. I, 916 : Νῆσον ἐς Ἠλέκτρης: τὴν Σαμοθρᾴκην λέγει. Ἐκεῖ γὰρ ᾤκει Ἠλέκτρα ἡ Ἄτλαντος, καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων Στρατηγίς, ἥν φησιν Ἑλλάνικος Ἠλεκτρυώνην καλεῖσθαι. Ἐγέννησε δὲ τρεῖς παῖδας, Δάρδανον, τὸν ἐς Τροίαν κατοικήσαντα (ὃν καὶ Πολυάρχην φασὶ λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων), καὶ Ἠετίωνα, ὃν Ἰασίωνα (καὶ Ἠσίωνα cod. Par.) ὀνομάζουσι, καί φασι κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς Δήμητρος· τρίτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος. Καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὀνομάσαι ἱστορεῖ Ἑλλάνικος ἐν πρώτῳ Τρωικῶν καὶ Ἰδομενεὺς ἐν πρώτῳ Τρωικῶν.

De hoc loco Sintenis ad Plutarchi Pericl. Exc. V, p. 315 ita habet : « Dubium est, utrum Lampsacenus intelligendus sit an alius quidam : de Jonsii suspicione, qui, « Idomeneus, inquit, et Dictys Cretensis simul militarunt contra Trojanos : an forte ut hujus, sic et illius nomine Τρωικὰ aliquando exstitisse dicemus? » penes alios esto judicium. Item de mea, quæ hæc est. Apud Apollonium scholiastamque Apollonii agitur de Samothrace insula ejusque antiquissima historia : jam de Idomenei sive Lampsaceni seu alius historia Samothracica certo constat Suidæ testimonio. Quid igitur, si Idomeneo τὰ Τρωικὰ errore librariorum data existimamus, quum deberent Σαμοθρᾳκικῶν libri commemorari? ut Τρωικῶν temere repetitum sit ex prægressa Hellanici operum commemoratione, commutandumque cum Σαμοθρᾳκικῶν, mutatione ad speciem magis quam revera violenta. » Probabilia hæc. Ungerus in Paradox. Theban. p. 272, si quid mutandum esset, putaret Idomeneum tractasse *res patrias* aut *heroicas*. De re narrata v. Müller. *Min.* p. 462; Lobeck. Aglaoph. p. 1206; Unger. l. l.

DIONYSIUS HERACLEOTA.

Dionysius Heracleota, Theophanti filius, Zenonis discipulus (qui quum jam senex a Stoicis ad Cyrenaicos defecisset, Μεταθέμενος cognominatus est), præter alia etiam historici argumenti nonnulla scripsit, Περὶ ἀρχαίων βασιλέων scilicet, et Περὶ βαρβαρικῶν ἐθῶν, teste Diogene L. VII, 167 in Vita hujus philosophi. Fragmenta autem horum librorum non supersunt, quantum equidem scio. Cf. interpretes ad Diogenem, et de temporibus viri Clinton. F. H. tom. III, ad an. 263 et p. 496.

DE REBUS SAMOTHRACIÆ.

18.

In Samothracia habitabat Electra, Atlantis filia, ibique ab indigenis appellabatur Strategis. Eandem Hellanicus Electryonen dici ait. Peperit vero liberos tres; Dardanum, qui in Trojana regione sedem fixit, et quem ab indigenis etiam Polyarchen appellari ferunt; deinde Eetionem, quem etiam Iasionem vocant; hic quum in Cereris simulacrum superbisset, fulmine interfectus esse dicitur; filiam vero Electra habuit Harmoniam, quam Cadmus uxorem duxit. Hanc de Electræ matris nomine portas Thebarum Electridas nominasse narrat Hellanicus libro primo Troicorum et Idomeneus libro primo Troicorum (*De rebus Samothraciæ*).

BEROSUS CHALDÆUS.

Josephus A. J. I, 3, 6 : Βηρωσσὸς (*), ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις (fr. 7 not.). — Syncell. p. 28, B : Βήρωσσος δ' ἐν τῇ πρώτῃ τῶν Βαβυλωνιακῶν φησι γενέσθαι μὲν αὐτὸν κατὰ Ἀλέξανδρον τὸν Φιλίππου τὴν ἡλικίαν (fr. 1). — Tatian. Or. adv. Gr. c. 58 : Βηρωσὸς, ἀνὴρ Βαβυλώνιος, ἱερεὺς τοῦ παρ' αὐτοῖς Βήλου, κατ' Ἀλέξανδρον γεγονὼς (*qui Alexandri ætate vixit,* non vero, *natus est.*), Ἀντιόχῳ τῷ μετ' αὐτὸν τρίτῳ (Antiocho Soteri) τὴν Χαλδαίων ἱστορίαν ἐν τρισὶ βιβλίοις κατατάξας, καὶ τὰ περὶ τῶν βασιλέων ἐκθέμενος, ἀφηγεῖται κτλ. (v fr. 14 not.)... Βηρωσὸς δέ ἐστιν ἀνὴρ ἱκανώτατος, καὶ τούτου τεκμήριον Ἰόβας, ὅς, περὶ Ἀσσυρίων γράφων, παρὰ Βηρωσοῦ φησι μεμαθηκέναι τὴν ἱστορίαν. Εἰσὶ δὲ αὐτῷ βίβλοι Περὶ Ἀσσυρίων δύο. Tatiani locum repetit Eusebius in P. E. p. 488, A (fr. 14 not.), ubi libri pro Ἀντιόχῳ τῷ μετ' αὐτὸν τρίτῳ perperam exhibent : Ἀ. τῷ μετὰ Σέλευχον τρίτῳ. Quæ conflata sunt ex Ἀ. τῷ μετ' αὐτὸν τρίτῳ et Ἀ. τῷ μετὰ Σέλευχον. Antiochus Soter regnare cœpit ab anno 280 ; tum igitur jam provectus ætate Berosus erat. Nec longe post annum 280 historiam suam Berosum Antiocho dedicasse probabiliter statuit Clinton. F. H. ad an. 279 (*). — Apud Syncell. p. 14, B, Manetho, qui sub Ptolemæo I et II, floruit, scripsisse dicitur κατὰ μίμησιν Βηρωσσοῦ πεπλασμένα κατὰ τοὺς αὐτοὺς σχεδόν που χρόνους ἢ μικρὸν ὕστερον (**).

Quæ præterea de vita Berosi traduntur, apud Vitruvium legis atque Plinium. Quorum ille (IX, 4. fr. 24) narrat Berosum in Co insula scientiæ astrologicæ scholam aperuisse, Plinius vero (VII, 37. fr. 25) refert ei propter divinas prædictiones Athenienses publice in Gymnasio statuam inaurata lingua statuisse (?). His junge quæ de Beroso, patre Sibyllæ, fabulatur Justinus Martyr Coh. ad Gr. c. 30 : Ταύτην (sc. Σίβυλλαν) δὲ ἐκ μὲν Βαβυλῶνος ὡρμῆσθαι φασὶ, Βηρώσσου τοῦ τὴν Χαλδαϊκὴν ἱστορίαν γράψαντος θυγατέρα οὖσαν, εἰς δὲ τὰ μέρη τῆς Καμπανίας οὐκ οἶδ' ὅπως διαβᾶσαν, ἐκεῖ τοὺς χρησμοὺς ἐξαγορεύειν ἔν τινι Κουμᾷ οὕτω καλουμένῃ πόλει.... Ταύτης δὲ τῆς Σιβύλλης ὡς χρησμῳδοῦ πολλοὶ μὲν καὶ ἄλλοι τῶν συγγραφέων μέμνηνται καὶ Πλάτων ἐν τῷ Φαίδρῳ. Cf. Pausanias X, 12, 5 : Παρὰ Ἑβραίοις τοῖς ὑπὲρ τῆς Παλαιστίνης γυνὴ χρησμολόγος, ὄνομα δὲ αὐτῇ Σάββη. Βηρώσου δὲ εἶναι πατρὸς καὶ Ἐρυμάνθης μητρός φασι Σάββην· οἱ δὲ αὐτὴν Βαβυλωνίαν, ἕτεροι δὲ Σίβυλλαν καλοῦσι Αἰγυπτίαν. Eadem Suidas v. Σίβυλλα. Dubium vix est, quin alium quendam Berosum Sibyllæ patrem cum historico Justinus confuderit (†). Quem errorem

(*) RICHTER. Berosi Fragm. Lips. 1825, p. 1 : « Nomen Berosi varie exaratur a scriptoribus Græcis : Βηρωσσός (Joseph., Euseb., Syncell. ; alii), Βήρωσσος (Clem. Alex., Justin. Mart.), Βηρωσός (Tatian., Zonar.) et Βήρωσος (Theophil. Antioch., Pausan., Athenæus). Latini Berosum dicunt. [Græcæ consuetudini Βηρωσσὸς præ ceteris videtur convenire. Arcadius p. 78, 3 : τὰ εἰς σσος ὑπὲρ δύο συλλαβὰς τῷ ω παραληγόμενα ὀξύνεται, κερωσσός. G. DINDORF. in Steph. Thes. tom. II, p. 232 D.] Berosi nomen compositum esse e voce Chaldaica ביר (*filius*, quod Syris בר) et Hebræo הושע, ita ut *Berosus* significet *filius Hoseæ*, conjecit Jos. Scaliger. (Thes. tempp. p. 408 not.). Quæ nominis derivatio tamen minus fortasse aliis placebit ob verba e duabus linguis petita. Aliter verbum adstruere conatus est vir doct. Wahlius (*Erdbeschreib. v. Ostindien,* Hamburg. 1803, tom. I, p. 178). E vocibus בר et אסא vel אסיא, ut sit, si nomen interpretari velis, *filius medici*, illud derivandum putavit. Quod per se optime fieri potest. Semlerus (Misc. Lectt. fasc. I, p. 27) aliam proposuit nominis derivationem. « In Mischna, inquit, in Taanith fol. 24, occurrit nomen antiqui Judaici doctoris בר איש, *Barusch* vel *Barosch*, s. *filius Uschi*. Simile putamus nostrum nomen esse et levi mutatione ad Græcam linguam inde erit Βηρωσός, quam veram scripturam Græcam esse arbitramur. » Quæ omnia maximam veri speciem præ se ferre nemo facile negaverit, si effici possit nomen *Barusch* revera legi in Talmude. Memorantur quidem in tractatu Taanith c. 1, 5 *filii Puroschi* (בני־פרעוש); nomen Baruschi doctoris nusquam legi. Quo tamen rem non plane everti facile confiteor. Hebræis ברוש (Chaldæis ברת) est *abies*, lingua vernacula, *Fichte, Tanne*. Nonne quod Germanis etiam Chaldæis et Babyloniis viri nomen esse potuit? »

(*) Plinius H. N. VII, 57 narrat sec. Berosum (fr. 24) apud Babylonios 480 annorum observationes siderum coctilibus laterculis inscriptas esse. — « Hos annos, Casaubonus (Thes. tempp. p. 407) ait, Berosi procul dubio a Nabonassaro putandos esse constat, qui incidunt in annum XIII Antiochi Soteris, qui Seleuco successit. Constanter igitur affirmamus eo anno (268 a. C.) Berosum Babyloniaca sua Antiocho obtulisse. » Similiter Vossius Hist. Gr. p. 122 et Volney, *Œuvres complètes* (ed. Didot. 1838), p. 473. — Verum istis annis 480 aut totidem cycli significantur, aut scribendum est 480,000, uti dudum viri docti intellexerunt. Vide not. ad fr. 24.

(**) Berosum cum Manethone vel Antiochum cum Ptolemæo Philadelpho confundere videtur Moses Chorenensis p. 3 : *Multæ aliæ hujusmodi rationes sunt, ob quas eum* (sc. Ptolemæum Philadelphum) *Græciæ regem appellaverimus ; sed quum breviter omnia complecti statuimus, de illo satis dictum est. Multi porro ex Græcia celebres literarumque studiosi viri, non modo ad libros, qui in regiis aliarum gentium tabulariis et templis conditi erant, in Græcum sermonem convertendos incubuere (sicut eundem comperimus ad hanc rem Berosum invitavisse, virum Chaldaicum, omnis doctrinæ peritissimum), verum etiam quæcunque in artibus fuere magna et admiratione digna, studiose undecunque conquisivere.*

(†) Wachlerus (in *Ersch. u. Gruber's Encyclop.* v.

facile excusaveris, si verum est, quod sane verisimillimum est, ipsum Berosum Sibyllæ istius Berosianæ in Historiis suis meminisse. Nam quæ ex Sibylla narrat Alexander Polyhistor de turris Babylonicæ ædificio vix aliunde quam ex Nostri libris petita fuerint. Etiam in astrologicis libris Berosum Sibyllæ testimoniis usum esse suspicor.

Historiæ Berosi, quæ modo Χαλδαϊκῶν modo Βαβυλωνιακῶν nomine laudantur, tribus libris erant comprehensæ. Fragmenta satis ampla præ ceteris servarunt Josephus, Clemens Alexandrinus, Eusebius, Syncellus. Quorum tamen ne unus quidem ipsos Berosi libros inspexisse videtur. Syncellus ex Eusebio, vel sicuti Eusebius, sua hausit ex Africano; Africanus ex Alexandro Polyhistore, hic ex Apollodoro (v. fr. 5. 6), ut videtur. Eodem Polyhistore usus fuerit Josephus, etsi mentionem fontis injicere omisit. Clemens Alexandrinus ob oculos habuit Jubam Mauritanium, qui Berosi libros in Assyriis suis historiis excerpsisse videtur. Igitur quum per tot manus migraverint quæ ad nos perdurarunt fragmenta, haud miraberis variis modis verba Berosi deformata esse, cavendumque ne Beroso imputemus quæ sunt imputanda excerptoribus. Ceterum de pretio atque auctoritate eorum quæ ex Berosi Historiis traduntur, quum unanimis sit virorum doctorum consensus, pluribus de his disputare supersedeo.

Berosus) Justini verbis innitens, Historias Babylonias a serioris ævi hominibus quibusdam compositas, iisque celebratum istum Berosi, sacerdotis antiquissimi, nomen esse præfixum. Quam sententiam memorare est refellere. Vide Richter. l. l. p. 11.

ΒΑΒΥΛΩΝΙΑΚΑ sive ΧΑΛΔΑΪΚΑ.

E LIBRO PRIMO.

1.

Syncell. p. 28, B: (Ἐκ τοῦ Ἀλεξάνδρου τοῦ Πολυΐστορος, περὶ τῶν πρὸ τοῦ κατακλυσμοῦ βασιλευσάντων δέκα βασιλέων τῶν Χαλδαίων καὶ αὐτοῦ τοῦ κατακλυσμοῦ, καὶ περὶ τοῦ Νῶε καὶ τῆς κιβωτοῦ, ἐν οἷς καί τινα διὰ μέσου τερατώδη φάσκει, ὡς τῷ Βηρώσσῳ γεγραμμένα).

1. Βήρωσσος δὲ ἐν τῇ πρώτῃ τῶν Βαβυλωνιακῶν φησι γενέσθαι μὲν αὐτὸν κατὰ Ἀλέξανδρον τὸν Φιλίππου τὴν ἡλικίαν. Ἀναγραφὰς δὲ πολλῶν ἐν Βαβυλῶνι φυλάσσεσθαι μετὰ πολλῆς ἐπιμελείας ἀπὸ ἐτῶν που ὑπὲρ μυριάδων ιε´ περιεχούσας χρόνον· περιέχειν δὲ τὰς ἀναγραφὰς ἱστορίας περὶ τοῦ οὐρανοῦ καὶ θαλάσσης καὶ πρωτογονίας καὶ βασιλέων καὶ τῶν κατ' αὐτοὺς πράξεων.

2. Καὶ πρῶτον μὲν τὴν Βαβυλωνίων γῆν φησι κεῖσθαι ἐπὶ τοῦ Τίγριδος καὶ Εὐφράτου ποταμοῦ μέσην. Φύειν δὲ αὐτὴν πυροὺς ἀγρίους καὶ κριθὰς καὶ ὤχρον καὶ σήσαμον καὶ τὰς ἐν τοῖς ἕλεσι φυομένας ῥίζας ἐσθίεσθαι· ὀνομάζεσθαι αὐτὰς γόγγας· ἰσοδυναμεῖν δὲ τὰς ῥίζας ταύτας κριθαῖς. Γίνεσθαι δὲ φοίνικας καὶ μῆλα καὶ τὰ λοιπὰ ἀκρόδρυα καὶ ἰχθύας καὶ ὄρνεα χερσαῖά τε καὶ λιμναῖα. Εἶναι δὲ αὐτῆς τὰ μὲν κατὰ τὴν Ἀραβίαν μέρη ἄνυδρά τε καὶ ἄκαρπα, τὰ δὲ ἀντικείμενα τῇ Ἀραβίᾳ ὀρεινά τε καὶ ἄφορα (εὔφορα Goar.). Ἐν δὲ τῇ Βαβυλῶνι πολὺ πλῆθος ἀνθρώπων γενέσθαι ἀλλοεθνῶν κατοικησάντων τὴν Χαλδαίαν· ζῆν δὲ αὐτοὺς ἀτάκτως ὥσπερ τὰ θηρία.

3. Ἐν δὲ τῷ πρώτῳ ἐνιαυτῷ φανῆναι ἐκ τῆς Ἐρυθρᾶς θαλάσσης κατὰ τὸν ὁμοροῦντα τόπον τῇ Βαβυλωνίᾳ ζῶον ἄφρενον (ἄρρεν ὂν J. Voss.) ὀνόματι Ὠάννην, καθὼς καὶ Ἀπολλόδωρος ἱστόρησε, τὸ μὲν ὅλον σῶμα ἔχον ἰχθύος, ὑπὸ δὲ τὴν κεφαλὴν παραπεφυκυῖαν ἄλλην κεφαλὴν ὑποκάτω τῆς τοῦ ἰχθύος κεφαλῆς, καὶ πόδας ὁμοίως ἀνθρώπου, παραπεφυκότας δὲ ἐκ τῆς οὐρᾶς τοῦ

DE REBUS BABYLONIORUM.

E LIBRO PRIMO.

1.

Eusebius. Arm. Chron. p. 8 ed. Mai.:

De Chaldaica improbabili historia. Ex eodem Polyhistore Alexandro, de prædicto (sc. primo) *Chaldæorum libro.*

1. *Enimvero Berosus narrat in primo Babylonicarum rerum libro, se coætaneum fuisse Alexandro Philippi compluriumque auctorum codices exscripsisse, qui magna cura Babylone adservabantur jam inde ab annorum myriadibus ducentis et quindecim* (vide Syncell.): *quibus codicibus continebantur rationes temporum, itidemque scriptæ erant historiæ cœli terræque et maris, primæque rerum originis, nec non regum facinorumque ab his patratorum.*

2. *Et primum quidem dicit regionem Babyloniorum sitam esse ad amnem Deglathium: Arazanem autem eandem interfluere. Ibidem silvestre triticum nasci et hordeum et lentem et ervum et sesamum: tum in ripis paludibusque ejus fluminis radices quasdam occurrere esui aptas, quibus nomen est gongis, easque panis hordacei vim habere: denique ibi esse palmas et mala aliaque multi generis poma, piscesque et volatilia silvestria atque palustria. Porro regionis ejus partem, quæ Arabica est, aridam esse fructibusque carentem; quæ vero contra Arabiam sita est, eam montibus et fructibus abundare. Jam in ipsa urbe Babylone ingentem alienigenarum hominum, qui videlicet Chaldæam incolunt, colluviem versari, eosdemque luxuriosam et belluini prorsus ritus vitam agitare.*

3. *Atque primo anno e Rubro mari emersisse ait intra eosdem terminos Babyloniorum immanem quandam beluam, cui nomen Oanni, quod et Apollodorus in historia narrat: eamque toto quidem corpore piscem fuisse, verum sub capite piscis aliud caput appositum,*

ἰχθύος· εἶναι δὲ αὐτῷ φωνὴν ἀνθρώπου, τὴν δὲ εἰκόνα αὐτοῦ ἔτι καὶ νῦν διαφυλάσσεσθαι· τοῦτο δέ, φησι, τὸ ζῶον, τὴν μὲν ἡμέραν διατρίβειν μετὰ τῶν ἀνθρώπων, οὐδεμίαν τροφὴν προσφερόμενον, παραδιδόναι τε τοῖς ἀνθρώποις γραμμάτων καὶ μαθημάτων καὶ τεχνῶν παντοδαπῶν ἐμπειρίαν, καὶ πόλεων συνοικισμοὺς καὶ ἱερῶν ἱδρύσεις, καὶ νόμων εἰσηγήσεις καὶ γεωμετρίαν διδάσκειν, καὶ σπέρματα καὶ καρπῶν συναγωγὰς ὑποδεικνύναι, καὶ συνόλως πάντα τὰ πρὸς ἡμέρωσιν ἀνήκοντα βίου παραδιδόναι τοῖς ἀνθρώποις. Ἀπὸ δὲ τοῦ χρόνου ἐκείνου οὐδὲν ἄλλο περισσὸν εὑρεθῆναι. Τοῦ δὲ ἡλίου δύναντος τὸ ζῶον τουτονὶ (τοῦτο s. τουτί?) Ὠάννην δῦναι πάλιν εἰς τὴν θάλασσαν, καὶ τὰς νύκτας ἐν τῷ πελάγει διαιτᾶσθαι· εἶναι γὰρ αὐτὸ ἀμφίβιον. Ὕστερον δὲ φανῆναι καὶ ἕτερα ζῶα ὅμοια τούτῳ, περὶ ὧν ἐν τῇ τῶν βασιλέων ἀναγραφῇ φησι δηλώσειν. Τὸν δὲ Ὠάννην περὶ γενεᾶς καὶ πολιτείας γράψαι καὶ παραδοῦναι τόνδε τὸν λόγον τοῖς ἀνθρώποις.

4. Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ εἶναι καὶ ἐν τούτοις ζῷα τερατώδη, καὶ εἰδιφυεῖς (ἰδιοφυεῖς recte Richter.; αὐτοφυεῖς Mai.; διφυεῖς Scalig.) τὰς ἰδέας ἔχοντα ζωογονεῖσθαι. Ἀνθρώπους γὰρ διπτέρους γεννηθῆναι, ἐνίους δὲ καὶ τετραπτέρους καὶ διπροσώπους· καὶ σῶμα μὲν ἔχοντας ἕν, κεφαλὰς δὲ δύο, ἀνδρείαν τε καὶ γυναικείαν, καὶ αἰδοῖά τε δισσά, ἄρρεν καὶ θῆλυ· καὶ ἑτέρους ἀνθρώπους τοὺς μὲν αἰγῶν σκέλη καὶ κέρατα ἔχοντας, τοὺς δὲ ἱππόποδας, τοὺς δὲ τὰ ὀπίσω μὲν μέρη ἵππων, τὰ δὲ ἔμπροσθεν ἀνθρώπων, οὓς ἱπποκενταύρους τὴν ἰδέαν εἶναι. Ζωογονηθῆναι δὲ καὶ ταύρους ἀνθρώπων κεφαλὰς ἔχοντας καὶ κύνας τετρασωμάτους, οὐρὰς ἰχθύος ἐκ τῶν ὄπισθεν μερῶν ἔχοντας, καὶ ἵππους κυνοκεφάλους, καὶ ἀνθρώπους, καὶ ἕτερα ζῶα κεφαλὰς μὲν καὶ σώματα ἵππων ἔχοντα, οὐρὰς δὲ ἰχθύων, καὶ ἄλλα δὲ ζῶα παντοδαπῶν θηρίων μορφὰς ἔχοντα. Πρὸς δὲ τούτοις ἰχθύας καὶ ἑρπετὰ καὶ ὄφεις καὶ ἄλλα ζῶα πλείονα θαυμαστὰ καὶ παρηλλαγμένα τὰς ὄψεις ἀλλήλων ἔχοντα· ὧν καὶ τὰς εἰκόνας ἐν τῷ τοῦ Βήλου ναῷ ἀνακεῖσθαι. Ἄρχειν δὲ τούτων πάντων γυναῖκα ᾗ ὄνομα Ὁμόρωκα (Ὁμόρκα Scalig.)· εἶναι δὲ τοῦτο Χαλδαϊστὶ μὲν Θαλάτθ, Ἑλληνιστὶ δὲ μεθερμηνεύεσθαι θάλασσα, [κατὰ δὲ ἰσόψηφον σελήνη, quod Syncelli, ut videtur, addidamentum].

5. Οὕτως δὲ τῶν ὅλων συνεστηκότων ἐπανελθόντα Βῆλον σχίσαι τὴν γυναῖκα μέσην, καὶ τὸ μὲν ἥμισυ αὐτῆς ποιῆσαι γῆν, τὸ δὲ ἄλλο ἥμισυ οὐρανόν, καὶ τὰ ἐν αὐτῇ ζῶα ἀφανίσαι. Ἀλληγορικῶς δέ φησι τοῦτο πεφυσιολογῆσθαι. Ὑγροῦ γὰρ ὄντος τοῦ παντὸς καὶ ζώων ἐν αὐτῷ γεγενημένων, τοῦτον τὸν θεὸν ἀφελεῖν τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὸ ῥυὲν αἷμα τοὺς ἄλλους θεοὺς φυρᾶσαι τῇ γῇ, καὶ διαπλάσαι τοὺς ἀνθρώπους· δι' ὃ νοερούς τε εἶναι καὶ φρονήσεως θείας μετέχειν.

6. Τὸν δὲ Βῆλον, ὃν Δία μεθερμηνεύουσι, μέσον τεμόντα τὸ σκότος χωρίσαι γῆν καὶ οὐρανὸν ἀπ' ἀλλήλων, καὶ διατάξαι τὸν κόσμον· τὰ δὲ ζῶα οὐκ ἐνεγκόντα τὴν τοῦ φωτὸς δύναμιν φθαρῆναι. Ἰδόντα δὲ τὸν Βῆλον χώραν ἔρημον καὶ καρποφόρον κελεῦσαι ἑνὶ τῶν θεῶν τὴν

et in cauda pedes ad instar hominis, et loquelam humanæ similem: ejusque imaginem ad hunc usque diem delineatam superesse. Hanc beluam, inquit, interdiu cum hominibus versari solitam, nullumque cibum capere: docuisse homines literas et varia genera artium, descriptiones urbium, templorum structuras, legum lationem, finium regundorum doctrinam: semina præterea et fructuum collectionem demonstravisse, atque omnia prorsus, quæ mundanæ societati conducunt, hominibus tradidisse: ita ut ex eo tempore nemo præterea aliquid invenerit. Tum sub solis occasum eam beluam Oannem denuo mergi solitam mari, noctuque in immenso pelago collocari, atque ita ancipitem quandam vitam degere. Deinceps et alias superiori similes beluas semet prodidisse, de quibus in regum historia dicturum se pollicetur. Rursusque ab Oanne ait scriptum de rerum origine et de publico regimine, impertitamque ab eadem (belua) hominibus loquelam et industriam.

4. *Tempus, inquit, aliquando fuit cum universus orbis tenebris et aquis occupabatur: erantque ibi et aliæ beluæ, quarum quædam ex se ipsis ortæ erant, figuris tamen utebantur nascentium ex ante viventibus. Erant et homines, partim quidem duabus, partim quaternis alis instructi duabusque faciebus; et corpore in uno geminum caput habentes, muliebre videlicet et virile, cum duobus item genitalibus femineo et masculino. Erant et alii homines caprinis femoribus, capite cornigero: alii rursus equinis pedibus: alii denique posteriore parte equina; anteriore autem humana, cujusmodi hippocentauris figura est. Tauros quoque humanis cum capitibus procreatos esse (ait): et canes cum quadruplici corpore, quibus caudæ ad instar piscium e clunibus prominerent: equos præterea cynocephalos, et homines; aliasque beluas hippocephalas et humana forma cum piscium caudis: alia insuper multiplicia animalia draconum formam referentia: denique pisces Sirenum similes* (cf. Græca), *et reptilia et serpentes aliasque feras mira varietate inter se differentes, quarum imagines accurate depictæ in Beli fano adservabantur. Porro iis omnibus dominatam esse mulierem quandam, cui nomen Marghaiæ* (aliter Sync.) *eamque Chaldæorum lingua dici thagatlham* (cf. Syncell.), *græce vero converti* θάλατταν (*nempe mare.* Glossa Armen. interpr.).

5. *Quumque omnia ante mixta fuissent, supervenientem ait Belum mediam scidisse mulierem, ex ejusque dimidio altero terram, ex altero cælum fecisse, universis quæ in ipsa erant beluis internecione deletis. Ait autem de harum rerum naturis allegorice solere disseri. Nimirum quo tempore humidum et aqua omnia tenebant, nihilque ibi præter beluas erat, idolum illud caput suum præcidisse, sanguinemque inde manantem humo ab aliis idolis esse commixtum, et sic homines procreatos: qui idcirco et intelligentia præditi sunt et divinæ mentis participes.*

6. *Age vero Belum ajunt, quem Græci interpretantur* Δία (*Armenii vero Aramasdem*), *scissis tenebris ter-*

κεφαλὴν ἀφελόντι ἑαυτοῦ τῷ ἀπορρυέντι αἵματι φυρᾶσαι τὴν γῆν καὶ διαπλάσαι ἀνθρώπους καὶ θηρία τὰ δυνάμενα τὸν ἀέρα φέρειν· ἀποτελέσαι δὲ τὸν Βῆλον καὶ ἄστρα καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς πέντε πλανήτας. Ταῦτά φησιν ὁ Πολυΐστωρ Ἀλέξανδρος τὸν Βήρωσσον ἐν τῇ πρώτῃ φάσκειν. Ἐν δὲ τῇ δευτέρᾳ κτλ. (v. fr. 4).

Cum initio hujus fragmenti cf. Syncell. p. 14, B: Βήρωσσος ὁ τῆς Χαλδαϊκῆς ἀρχαιολογίας συγγραφεὺς ἀκμάσας κατὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὥς φησι, καὶ εὑρὼν ἐν Βαβυλῶνι πολλῶν ἀναγραφὰς φυλασσομένας ἐπιμελῶς, αἳ περιεῖχον ἐτῶν μυριάδας που δεκαπέντε καὶ μικρὸν πρὸς, ἱστορίας τινὰς περὶ οὐρανοῦ τε καὶ γῆς, καὶ θαλάσσης καὶ βασιλέων ἀρχαιότητος καὶ τῶν πράξεων αὐτῶν, περί τε θέσεως τῆς Βαβυλωνίας γῆς καὶ καρποφορίας αὐτῆς καὶ ζώων τινῶν ἐκ τῆς Ἐρυθρᾶς θαλάσσης φανέντων παρὰ φύσιν τῷ εἴδει, καὶ ἄλλα τινὰ μυθώδη ταῦτα, κομπολογίᾳ τινὶ συνέγραψεν. Deinde: Δοξάσαι θέλων τὸ τῶν Χαλδαίων ἔθνος καὶ δεῖξαι πάντων τῶν ἐθνῶν ἀρχαιότερον ὁ Βήρωσσος καὶ οἱ κατ' αὐτὸν, ὁ Ἀλέξανδρος, φημὶ, ὁ Πολυΐστωρ λεγόμενος καὶ Ἀβυδηνὸς, ταῦτα γεγράφασι.

Εἶναι δὲ τοῦτο Χαλδαϊστὶ... θάλαττα] « Hæc non possunt esse a Beroso. Non enim potuit magis ignorare linguam suam, quam Alexander Polyhistor græcam. Lingua Berosi τὴν θάλασσαν vocat *lamma*, non *thalath* (תלת), quod significat *tria*. Itaque sine dubio græculi Polyhistoris παρανοθεύματα sunt. » Casaubon. Thes. temp. p. 409. Nomen ὁμόρωκα vel ὁμόρκα esse pro ים מלחא (*aqua salsa*) statuit J. Vossius De LXX interpret. p. 409 et Richter. l. l. p. 18. Aliam vocis explicationem vide ap. Volney. *Mythologie de la création* (*OEuvres complètes*, p. 360). His omnibus doctiora exponit harum rerum judex peritissimus Movers., in *Phœnizien* p. 270-279. Eundem velim adeas de reliquis omnibus, quæ de Babyloniorum doctrina cosmogonica ex Beroso traduntur.

Chronogr. Barber. ap. Mai. Vett. scriptt. nov. coll. tom. VIII, p. 7: Πρώτην πασῶν ἀναγράφουσι τὴν Χαλδαίων βασιλείαν ἄνδρες ἐν παιδεύσει γνώριμοι Ἀλέξανδρος ὁ Πολυΐστωρ, Βηρωσσὸς καὶ Ἀβυδηνὸς καὶ Ἀπολλόδωρος, οἳ πρῶτον μὲν ἱστοροῦσιν ἀβασίλευτα ἔτη ,ανη'. Φασὶ γὰρ Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον ἡγήσασθαι τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ϡλ', μετὰ δὲ τοῦτον Σὴθ τὸν υἱὸν αὐτοῦ ἔτη ρκη'.

Hæc Judæi vel Christiani cujusdam commenta esse nemo non videt. Et in fragmentis Manethonis Panodorum vel Anianum hujus computi esse videbimus auctorem.

2.

Agathias De reb. Justin. II, p. 62 ed. Paris.: Ἀλλὰ Βῆλον μὲν τὸν Δία τυχὸν, Σάνδην δὲ τὸν Ἡρακλέα, καὶ Ἀναΐτιδα τὴν Ἀφροδίτην, καὶ ἄλλως τοὺς ἄλλους ἐκάλουν, ὥς που Βηρώσσῳ τε τῷ Βαβυλωνίῳ καὶ Ἀθηνοκλεῖ καὶ Σιμάκῳ(?), τοῖς τὰ ἀρχαιότατα τῶν Ἀσσυρίων τε καὶ Μήδων ἀναγραψαμένοις, ἱστόρηται. V. O. Müller. in Mus. Rhenan. III, 1, p. 22 sqq.

3.

Athenæus XIV, p. 639, C: Βήρωσος δ' ἐν πρώτῳ Βαβυλωνιακῶν τῷ Λώῳ φησὶ μηνὶ ἑκκαιδεκάτῃ ἄγεσθαι ἑορτὴν Σακέαν προσαγορευομένην ἐν Βαβυλῶνι ἐπὶ ἡμέρας πέντε, ἐν αἷς ἔθος εἶναι ἄρχεσθαι τοὺς δεσπότας ὑπὸ τῶν οἰκετῶν, ἀφηγεῖσθαί τε τῆς οἰκίας ἕνα αὐτῶν ἐνδεδυκότα στολὴν ὁμοίαν τῇ βασιλικῇ, ὃν καὶ καλεῖσθαι ζωγάνην. Μνημονεύει τῆς ἑορτῆς καὶ Κτησίας ἐν δευτέρῳ Περσικῶν (v. Ctes. fr. 16). Pro ἐν πρώτῳ vereor ne scribendum sit ἐν τρίτῳ.

E LIBRO SECUNDO.

4.

Syncellus p. 17, A: Ἐπίπλαστός ἐστιν ἡ τούτων ἐπίνοια ἀμφοτέρων, τοῦ τε Βηρώσσου καὶ τοῦ Μανεθῶ, τὸ ἴδιον ἔθνος θελόντων δοξάσαι, τοῦ μὲν τὸ τῶν Χαλδαίων, τοῦ δὲ τὸ τῶν Αἰγυπτίων. Θαυμαζέτω δὲ πῶς οὐκ ᾐσχύνθησαν ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ ἔτους ἀρχὴν θέσθαι ταῖς τερατώδεσιν αὐτῶν συγγραφαῖς· ἀλλ' ὁ μὲν Βήρωσσος διὰ σάρων καὶ νήρων καὶ σώσσων ἀνεγρά-

---

ram a cœlo separasse, pulchreque mundum disposuisse: beluas autem non sustinentes lucis vim exanimatas esse. Tunc Belum, qui regionem desertam attamen feracem cerneret, cuidam e diis imperavisse, ut cum sanguine, quæ e suo capite abscisso deflueret, terram subigeret, atque homines fingeret, cum ceteris brutis et beluis quæ hunc aerem pati possent. Deinde Belum stellas et solem et lunam et quinque sidera errantia condidisse. Hæc, Polyhistore teste, Berosus primo libro narrat. Secundo autem etc.

2.

Jovem Beli, Herculem Sandis, Venerem Anaitidis, alioque nomine alios deos colebant, ut Berosus Babylonius et Athenocles et Symmachus, qui antiquissimas Assyriorum Medorumque res conscripserunt, testantur.

3.

Berosus libro primo De rebus Babyloniorum scripsit, mensis Loi decimo sexto die per quinque dies Babylone festum celebrari, Saceas nominant, cujus tempore mancipia dominis imperant, et ex servis unus quidam præest ædibus, vestem indutus regiæ similem, eumque zoganam vocant. Meminit hujus festi etiam Ctesias libro secundo rerum Persicarum.

E LIBRO SECUNDO.

4.

Ficta est utriusque horum opinio, Manethonis scilicet et Berosi, qui suam quisque gentem, ille Ægyptiorum, hic Chaldæorum, efferre voluerunt. Ac mireris sane quomodo non puduerit eos ab eodem anno exordium ponere monstrosis suis historiis. Et Berosus quidem secundum

ψατο, ὧν ὁ μὲν σάρος τρισχιλίων καὶ ἑξακοσίων ἐτῶν χρόνον σημαίνει, ὁ δὲ νῆρος ἐτῶν ἑξακοσίων, ὁ δὲ σῶσσος ἑξήκοντα. Καὶ συνῆξε σάρους ἑκατὸν εἴκοσι διὰ βασιλέων δέκα, ἤτοι χρόνον ἐτῶν μυριάδων τεσσαράκοντα τριῶν καὶ δύο χιλιάδων.

Quomodo istud (Panodori) commentum, ex quo Manetho et Berosus ab eodem anno in supputationibus suis chronologicis profecti sint, explicari debeat, notabimus ad Manethonis fr. 2.

Syncell. p. 30, A : Ταῦτά φησιν ὁ Πολυΐστωρ Ἀλέξανδρος τὸν Βήρωσσον ἐν τῇ πρώτῃ φάσκειν (fr. 1). Ἐν δὲ τῇ δευτέρᾳ τοὺς δέκα· βασιλεῖς τῶν Χαλδαίων καὶ τὸν χρόνον τῆς βασιλείας αὐτῶν, σάρους ἑκατὸν εἴκοσιν, ἤτοι ἐτῶν μυριάδας τεσσαράκοντα τρεῖς καὶ δύο χιλιάδας, ἕως τοῦ κατακλυσμοῦ· λέγει γὰρ κτλ. (Vide fragm. 7).

5.

Euseb. Chron. p. 5 ed. Mai.: *Hæc quidem Berosus in primo libro narravit, secundo autem reges singillatim recensuit.* [*Ut ipse ait, Nabonassarus erat eo tempore rex.* Hæc sensu h. l. carent.] *Et regum quidem nomina diligenter acervat, nullum tamen eorum opus peculiariter recitat, fortasse quia nihil memorandum esse arbitratur. Ex eo igitur regum tantummodo seriem depromere licet. Hac vero ratione narrationem exorditur, ut Apollodorus* (1) *ait : nempe primum extitisse regem Alorum* (2) *ex urbe Babylone Chaldæum : hunc saris decem regno potitum. Porro is sarum ex annis ter mille sexcentis conflat. Addit etiam nescio quem nerum et sossum : nerum ait sexcentis annis constare, sossum annis sexaginta. Sic ille de veterum more annos supputat.*

(*****) Sic Scaliger (p. 20) cod. A. secutus, qui lectionem præbet ραμεσσῆ ιουβασση sine accentu; codd. B. sic : ραμεσσηΐ ουβαση.

Αἰγύπτου τῆς πάλαι Μεστραίας βασιλέων ἔτη.			Anni dominationis.	Anno mundi.
(p. 103.) Αἰγυπτίων κδ' ἐβασίλευσε Ῥαμεσσῆ Οὐάφρου. . . . . ἔτη	κθ'	τοῦ δὲ κόσμου ἦν ἔτος ,γυμβ'	29	3442
Αἰγυπτίων κε' ἐβασίλευσε Κόγχαρις. . . . . . ἔτη	ε'	,γυοα'	5	3471
Τούτῳ τῷ ε' ἔτει, τοῦ κε' βασιλεύσαντος Κογχάρεως τῆς Αἰγύπτου ἐπὶ τῆς ις' δυναστείας τοῦ Κυνικοῦ λεγομένου κύκλου παρὰ τῷ Μανεθῷ, ἀπὸ τοῦ πρώτου βασιλέως καὶ οἰκιστοῦ Μεστραῒμ τῆς Αἰγύπτου, πληροῦνται ἔτη ψ', βασιλέων κε', τοῦτ' ἔστιν ἀπὸ τοῦ καθολικοῦ κοσμικοῦ ,βψος' ἔτους, καθ' ὃν χρόνον ἡ διασπορὰ γέγονεν, ἐν τῷ λδ' ἔτει τῆς ἡγεμονίας Ἀρφαξὰδ, ε' δὲ ἔτει τοῦ Φαλέκ. Καὶ διεδέξαντο Τανῖται βασιλεῖς δ', οἳ καὶ ἐβασίλευσαν Αἰγύπτου ἐπὶ τῆς ιζ' δυναστείας ἔτη σνδ', ὡς ἐστοιχείωται.				
(p. 104.) Αἰγυπτίων κς' ἐβασίλευσε Σιλίτης. . ἔτη	ιθ'	— ,γυοζ'	19	3477
πρῶτος τῶν ς' τῆς ιζ' δυναστείας παρὰ Μανεθῷ.				
(p. 108) Αἰγυπτίων κζ' ἐβασίλευσε Βαίων. . . ἔτη	μδ'	— ,γυϛς'	44	3496
Αἰγυπτίων κη' ἐβασίλευσεν Ἀπαχνὰς. . . . . ἔτη	λς'	— ,γφμ'	36	3540
Αἰγυπτίων κθ' ἐβασίλευσεν Ἄφωφις. . . . . . ἔτη	ξα'	— ,γφος'	61	3576
Τοῦτον λέγουσί τινες πρῶτον κληθῆναι Φαραὼ, καὶ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τὸν Ἰωσὴφ ἐλθεῖν εἰς Αἴγυπτον δοῦλον. Οὗτος κατέστησε τὸν Ἰωσὴφ κύριον Αἰγύπτου καὶ πάσης τῆς βασιλείας αὐτοῦ τῷ ιζ' ἔτει τῆς ἀρχῆς αὐτοῦ, ἡνίκα καὶ τὴν τῶν ὀνείρων διασάφησιν ἔμαθε παρ' αὐτοῦ, καὶ τῆς θείας συνέσεως αὐτοῦ διὰ πείρας γέγονεν. Ἡ δὲ θεία γραφὴ καὶ τὸν ἐπὶ τοῦ Ἀβραὰμ βασιλέα Αἰγύπτου Φαραὼ καλεῖ.				
(p. 123.) Αἰγυπτίων λ' ἐβασίλευσε Σέθως. . . ἔτη	ν'	— ,γχλζ'	50	3637
Αἰγυπτίων λα' ἐβασίλευσε Κήρτως. . . . . ἔτη	κθ'	— ,γχπζ'	29	3687
κατὰ Ἰώσηππον, κατὰ δὲ τὸν Μανεθῶ ἔτη μδ'.				
Αἰγυπτίων λβ' ἐβασίλευσεν Ἀσὴθ . . . . ἔτη	κ'	— ,γψις'	20	3716
Οὗτος προσέθηκε τῶν ἐνιαυτῶν τὰς ε' ἐπαγομένας, καὶ ἐπὶ αὐτοῦ, ὥς φασιν, ἐχρημάτισεν τξε' ἡμερῶν ὁ Αἰγυπτιακὸς ἐνιαυτὸς, τξ' μόνον ἡμερῶν πρὸ τούτου μετρούμενος. Ἐπὶ αὐτοῦ ὁ μόσχος θεοποιηθεὶς Ἄπις ἐκλήθη.				
Αἰγυπτίων λγ' ἐβασίλευσεν Ἄμοσις καὶ ὁ Τέθμωσις. ἔτη	κς'	— ,γψλς'	26	3736
(p. 147) Αἰγυπτίων λδ' ἐβασίλευσε Χεβρὼν. . . ἔτη	ιγ'	— ,γψξβ' (*)	13	3762
Αἰγυπτίων λε' ἐβασίλευσεν Ἀμεμφὶς (Ἀμεμφὴς cod. A.). . . . . ἔτη	ιε'	— ,γψοε'	15	3775
Αἰγυπτίων λς' ἐβασίλευσεν Ἀμενσῆς. . . . . . ἔτη	ια'	— ,γψϛ'	11	3790
Αἰγυπτίων λζ' ἐβασίλευσε Μισφραγμούθωσις. ἔτη	ις'	— ,γωα'	16	3801
Αἰγυπτίων λη' ἐβασίλευσε Μισφρὴς. . . . . . ἔτη	κγ'	— ,γωιζ' (**)	23	3817

(*) Emendavit jam Goar. pro ,γψξ, quod præbent codd.
(**) Emendavit jam Goar. pro ,γωζ, quod præbent codd.

Αἰγύπτου τῆς πάλαι Μεστραίας βασιλέων ἔτη.			Anni dominationis.	Anno mundi.
Αἰγυπτίων λθ' ἐβασίλευσε Τούθμωσις. . . . . ἔτη	λθ'	τοῦ δὲ κόσμου ἦν ἔτος ,γωμ'	39	3840
(p. 151.) Αἰγύπτου μ' ἐβασίλευσεν Ἀμενῶφθις ἔτη	λδ'	— ,γωοθ'	34	3879
Οὗτος ὁ Ἀμενῶφθίς ἐστιν ὁ Μέμνων εἶναι νομιζόμενος καὶ φθεγγόμενος λίθος· ὃν λίθον χρόνοις ὕστερον Καμβύσης ὁ Περσῶν τέμνει νομίζων εἶναι γοητείαν ἐν αὐτῷ, ὡς Πολύαινος ὁ Ἀθηναῖος ἱστορεῖ.				
[Περὶ Αἰθιόπων πόθεν ἦσαν καὶ ποῦ ᾤκησαν.]				
Αἰθίοπες ἀπὸ Ἰνδοῦ ποταμοῦ ἀναστάντες πρὸς τῇ Αἰγύπτῳ ᾤκησαν.				
Αἰγυπτίων μα' ἐβασίλευσεν Ὧρος . . . . ἔτη	μη'	— ,γϡιγ'	48	3913
Αἰγυπτίων μβ' ἐβασίλευσεν Ἀχενχερὴς. . . . . ἔτη	κε'	— ,γϡξα'	25	3961
Αἰγυπτίων μγ' ἐβασίλευσεν Ἀθωρὶς. . . . . . ἔτη	κθ'	— ,γϡπς'	29	3986
Αἰγυπτίων μδ' ἐβασίλευσε Χενχερὴς . . . . . ἔτη	κς'	— ,διε'	26	4015
(p. 155.) Αἰγυπτίων με' ἐβασίλευσεν Ἀχερρὴς ἔτη	η' ἢ καὶ λ'	— ,δμα' (*)	8 30	4041
Αἰγυπτίων μς' ἐβασίλευσεν Ἀρμαῖος, ὁ καὶ Δαναὸς, ἔτη	θ'	— ,δμθ' (**)	9	4049
Ἀρμαῖος, ὁ καὶ Δαναὸς, φεύγων τὸν ἀδελφὸν Ῥαμεσσῆν τὸν καὶ Αἴγυπτον ἐκπίπτει τῆς κατ' Αἴγυπτον βασιλείας αὐτοῦ, εἰς Ἑλλάδα τε ἀφικνεῖται. Ῥαμεσσῆς δὲ, ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ Αἴγυπτος καλούμενος, ἐβασίλευσεν Αἰγύπτου ἔτη ξη', μετονομάσας τὴν χώραν Αἴγυπτον τῷ ἰδίῳ ὀνόματι, ἥτις πρότερον Μεστραία, παρ' Ἕλλησι δὲ Ἀερία ἐλέγετο. Δαναὸς δὲ, ὁ καὶ Ἀρμαῖος, κρατήσας τοῦ Ἄργους καὶ ἐκβαλὼν Σθένελον τὸν Κροτωποῦ Ἀργείων ἐβασίλευσε· καὶ οἱ ἀπόγονοι αὐτοῦ μετ' αὐτὸν Δαναΐδαι καλούμενοι ἐπ' Εὐρυσθέα τοῦ Σθενέλου τοῦ Περσέως· μεθ' οὓς οἱ Πελοπίδαι ἀπὸ Πέλοπος παραλαβόντες τὴν ἀρχὴν, ὧν πρῶτος Ἀτρεύς.				
(p. 160.) Αἰγυπτίων μζ' ἐβασίλευσε Ῥαμεσσῆς, ὁ καὶ Αἴγυπτος. . . . . ἔτη	ξη'	— ,δνη'	68	4058
Αἰγυπτίων μη' ἐβασίλευσεν Ἀμένωφις. . . . . ἔτη	η'	— ,δρκς' (***)	8	4126
Αἰγυπτίων μθ' ἐβασίλευσε Θούωρις . . . . . . ἔτη	ιζ'	— ,δρλδ'	17	4134
Αἰγυπτίων ν' ἐβασίλευσε Νεχεψὼς. . . . . . . ἔτη	ιθ'	— ,δρνα'	19	4151
Αἰγυπτίων να' ἐβασίλευσε Ψαμμουθὶς. . . . . ἔτη	ιγ'	— ,δρο'	13	4170
Αἰγυπτίων νβ' ἐβασίλευσε *** . . . . ἔτη	δ'	— ,δλπγ'	4	4183
Αἰγυπτίων νγ' ἐβασίλευσε Κήρτως . . . . . . ἔτη	κ' ****)	— ,δρπζ'	20	4187
Αἰγυπτίων νδ' ἐβασίλευσε Ῥάμψις . . . . . . ἔτη	με'	— ,δσζ'	45	4207
Αἰγυπτίων νε' ἐβασίλευσεν Ἀμενσὴς ὁ καὶ Ἀμμενέμης. ἔτη	κς'	— ,δσνβ'	26	4252

(*) Item pro ,δυμα'.
(**) Item pro ,δυμθ'.
(***) Emendavit Goar. pro ,δνη', quem numerum ex superiore versu transtulit cod. B. Dindorfius, additis ad hos 4058 annos octo illis, qui Amenophi adscribuntur, correxit ,δξς'.
(****) Emendavit recte Goar. ex ις'.

Αἰγύπτου τῆς πάλαι Μεστραίας βασιλέων ἔτη.				Anni dominationis.	Anno mundi.
(p. 169.) Αἰγυπτίων νϛ' ἐβασίλευσεν Ὀχυράς. . ἔτη	ιδ'	τοῦ δὲ κόσμου ἦν ἔτος	,δσοη'	14	4278
Αἰγυπτίων νζ' ἐβασίλευσεν Ἀμενδής. . . . . . ἔτη	κζ'	—	,δσϟβ'	27	4292
Αἰγυπτίων νη' ἐβασίλευσε Θούωρις (*). . . . ἔτη	ν'	—	δτιθ'	50	4319
Οὗτός ἐστιν ὁ παρ' Ὁμήρῳ Πόλυβος Ἀλκάνδρας (**) ἀνὴρ ἐν Ὀδυσσείᾳ φερόμενος, παρ' ᾧ φησι τὸν Μενέλαον σὺν τῇ Ἑλένῃ μετὰ τὴν ἅλωσιν Τροίας κατῆχθαι πλανώμενον.					
Αἰγυπτίων νθ' ἐβασίλευσεν Ἄθωθις, ὁ καὶ Φουσανός, ἐφ' οὗ σεισμοὶ κατὰ τὴν Αἴγυπτον ἐγένοντο μηδέπω γεγονότες ἐν αὐτῇ πρὸ τούτου. . . . . . ἔτη	κη'	—	,δτξθ'	28	4369
(p. 170.) Αἰγυπτίων ξ' ἐβασίλευσε Κενκένης . . ἔτη	λθ'	—	,δτϟζ'	39	4397
Αἰγυπτίων ξα' ἐβασίλευσεν Οὐέννεφις. . . . . ἔτη	μβ' (***)	—	,δυλϛ'	42	4436
(p. 177.) Αἰγυπτίων ξβ' ἐβασίλευσε Σουσακείμ ἔτη	λδ'	—	,δυοη'	34	4478
Σουσακεὶμ Λίβυας καὶ Αἰθίοπας καὶ Τρωγλοδύτας παρέλαβε πρὸ τῆς Ἱερουσαλήμ.					
Αἰγυπτίων ξγ' ἐβασίλευσε Ψούενος. . . . . . ἔτη	κε'	—	,δφιβ'	25	4512
Αἰγυπτίων ξδ' ἐβασίλευσεν Ἀμμενῶφις . . . . ἔτη	θ'	—	,δφλζ'	9	4537
Αἰγυπτίων ξε' ἐβασίλευσε Νεφεχέρης . . . . . ἔτη	ϛ'	—	,δφμϛ'	6	4546
Αἰγυπτίων ξϛ' ἐβασίλευσε Σαΐτης. . . . . . . ἔτη	ιε'	—	,δφνβ'	15	4552
Αἰγυπτίων ξζ' ἐβασίλευσε Ψινάχης. . . . . . ἔτη	θ'	—	,δφξζ'	9	4567
Αἰγυπτίων ξη' ἐβασίλευσεν Πετουβάστης. . . ἔτη	μδ'	—	,δφοϛ'	44	4576
Αἰγυπτίων ξθ' ἐβασίλευσεν Ὀσώρθων. . . . . ἔτη	θ'	—	,δχκ'	9	4620
Αἰγυπτίων ο' ἐβασίλευσε Ψάμμος. . . . . . . ἔτη	ι'	—	,δχκθ'	10	4629
Αἰγυπτίων οα' ἐβασίλευσε Κόγχαρις. . . . . ἔτη	κα'	—	,δχλθ'	21	4639
(p. 184.) Αἰγυπτίων οβ' ἐβασίλευσε Ὀσόρθων . ἔτη	ιε'	—	,δχξ'	15	4660
Αἰγυπτίων ογ' ἐβασίλευσε Ταχαλῶφις. . . . . ἔτη	ιγ'	—	,δχοε'	13	4675
Αἰγυπτίων οδ' ἐβασίλευσε Βόχχωρις (****). . . ἔτη	μδ' *****	—	,δχπη'	44	4688
Βόχχωρις (†) Αἰγυπτίοις ἐνομοθέτει, ἐφ' οὗ λόγος ἀρνίον φθέγξασθαι.					
Αἰγυπτίων οε' ἐβασίλευσε Σαβάκων . . . . . . ἔτη	ιβ'	—	,δψλβ'	12	4732
Αἰθίοψ. Οὗτος τὸν Βόχχωριν αἰχμάλωτον λαβὼν ζῶντα ἔκαυσεν.					
Αἰγυπτίων οϛ' ἐβασίλευσε Σεβήχων. . . . . . ἔτη	ιβ'	—	,δψμδ' ††	12	3744
(p. 191.) Αἰγυπτίων οζ' ἐβασίλευσε Ταράκης ἔτη	κ'	—	,δψνϛ'	20	4756
Αἰγυπτίων οη' ἐβασίλευσεν Ἀμαῆς. . . . . . . ἔτη	λη'	—	,δψοϛ'	38	4776
Αἰγυπτίων οθ' ἐβασίλευσε Στεφινάθης. . . . . ἔτη	κζ'	—	,δωιδ'	27	4814
Αἰγυπτίων π' ἐβασίλευσε Νεχεψός. . . . . . . ἔτη	ιγ'	—	,δωμα'	13	4841
(p. 210.) Αἰγυπτίων πα' ἐβασίλευσε Νεχαώ. . ἔτη	η'	—	,δωνδ'	8	4854
Αἰγυπτίων πβ' ἐβασίλευσε Ψαμμήτιχος (†††). . ἔτη	ιδ'	—	,δωξβ'	14	4862

(*) θούωρης codd. A. B.
(**) ἀλκανδρος codd. A. B.
(***) λβ' cod. B.
(****) βόχχορης cod. B.
(*****) μ', cod. B.
(†) βόχχωρης cod. B.
(††) ,δψνϛ' codd.
(†††) ψαμίτειχος cod. B.

Αἰγύπτου τῆς πάλαι Μεστραίας βασιλέων ἔτη.			Anni dominationis.	Anno mundi.
Αἰγυπτίων πγ' ἐβασίλευσε Νεχαὼ β' Φαραὼ . ἔτη	θ'	τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωος'	9	4876
Αἰγυπτίων πδ' ἐβασίλευσε Ψαμουθὴς ἕτερος ὁ καὶ Ψαμμήτιχος (*). . . . . ἔτη	ιζ'	— ͵δωπε'	17	4885
Αἰγυπτίων πε' ἐβασίλευσεν Οὔαφρις (**). . . . ἔτη	λδ'	— ͵δϡβ'	34	4902
Αἰγυπτίων πς' ἐβασίλευσεν Ἄμωσις (***). . . ἔτη	ν'	— ͵δϡλς'	50	4936

Ἕως τοῦ ͵δϡπς' χρόνου ἡ τῶν Αἰγυπτίων βασιλεία διαρκέσασα ἀπὸ τοῦ ͵βψος' κοσμικοῦ ἔτους ἐν δυναστείαις ι', βασιλεῦσι δὲ πς', ἔτεσι ͵βσια', ὑπὸ Καμβύσου καθηρέθη ἐπὶ τοῦ πς' βασιλεύσαντος τῆς Μεστραίας ἤτοι Αἰγύπτου χώρας Ἀμώσεως ἀπὸ τοῦ πρώτου αὐτῶν Μεστραΐμ τοῦ καὶ Μηνέως.

(*) Ψαμιτικός cod. B.
(**) Οὔαφρης cod. A. B.
(***) Ἄμασις codd.; at recurrit Ἀμώσεως infra.

REGES LATERCULI ERATOSTHENICI,

IISQUE RESPONDENTES REGES DYNASTIARUM MANETHONIANARUM.

(Ex Bunsenio, *Æg.* I, p. 164.)

ERATOSTHENES.			MANETHO.		
I.	Menes Thinites.	62 an.	Dyn. I, 1.	Menes Thinites.	62 an.
II.	Athothes fil.	59	2.	Athothis fil.	57
III.	Athothes II.	32			
IV.	Miabies.	19	6.	Miebidus.	26
V.	Pemphos.	18			
VI.	Momcheiri Memphita.				
VII.	Stoichosares.	6	III, 3.	Tyreis.	29
VIII.	Gosormies.	30	2.	Sesorthus.	7
IX.	Mares.	26			
X.	Anoyphis.	20	5.	Soyphis.	16
XI.	Sirius.	18			
XII.	Chnubos-Gneuros.	22			
XIII.	Rayosis.	13	IV, 5.	Ratoises.	25
XIV.	Biyres.	10	6.	Bicheres.	22
XV.	Saophis.	29	1.	Sôris.	29
XVI.	Saophis II.	27	3.	Suphis.	66
XVII.	Moscheres.	31	4.	Mencheres.	63
XVIII.	Moscheres II.	33			
XIX.	Pammes.	35	8.	Thamphthis.	9
XX.	Apappus.	100	VI, 2.	Phiops.	100
XXI.	*** (nomen corruptum.)	1	5.	Mentesuphis.	1
XXII.	Nitocris.	6	6.	Nitocris.	12
XXIII.	Myrtæus.	22	VII.	* reges.	70 dies
XXIV.	Uosimares.	12	VIII, 1.		
XXV.	Sethinilus.	8	2.		
XXVI.	Semphucrates.	18	3.	Septem reges dyn. VIII,	
XXVII.	Chuther.	128 { 7	4.	quorum nomina non	146
XXVIII.	Mieires.	12	5.	traduntur.	
XXIX.	Tomæphtha.	11	6.		
XXX.	Soicunius.	60	7.		
XXXI.	Peteatyres.	16	XI.	* reges.	43
XXXII.	Stammemenes.	26	XII, 1.	Ammenemes.	16
XXXIII.	Stammemenes II.	23	3.	Ammenemes.	38
XXXIV.	Sistosis.	55	4.	Sesostris.	48
XXXV.	Mares.	43	5.	Lamares.	8
XXXVI.	Siphthas.	5	XIII, 1.	Initium dyn. XIII, quæ	
XXXVII.	Phuoro.	19	2.	est regum 60 The-	
XXXVIII.	Amuthartæas.	63	3.	bæorum.	

SERIES CHRONOLOGICA DYNASTIARUM MANETHONIS

EX ADORNATIONE BUNSENII.

Dyn.			Dyn.		
I.	190 anni inde ab anno	3643 A. C.	XIX.	112	1409 A. C.
				(Initium regni Menophthæ	1322)
III.	224	3453	XX.	185	1297
IV.	155	3229	XXI.	130	1112
VI.	107	3074	XXII.	150	982
VII.	22	2967	XXIII.	89	832
VIII.	128	2945	XXIV.	6	743
XI.	16	2817	XXV.	50	737
XII.	147	2801	XXVI.	160	687
XIII.	86	2654	XXVII.	Initium dominationis Persarum	527
XV. XVI. XVII.	866 (Hyksos)	2567			
XVIII.	229	1638			

ΙΕΡΑ ΒΙΒΛΟΣ.

74.

Euseb. P. E. II procem. p. 44, D (p. 97 Gsfd.): Πᾶσαν μὲν οὖν τὴν Αἰγυπτιακὴν ἱστορίαν εἰς πλάτος τῆς Ἑλλήνων μετείληφε φωνῆς ἰδίως τε τὰ περὶ τῆς κατ' αὐτοὺς θεολογίας Μανεθῶς ὁ Αἰγύπτιος, ἔν τε ᾗ ἔγραψεν Ἱερᾷ βίβλῳ καὶ ἐν ἑτέροις αὐτοῦ συγγράμμασι.

Huc etiam pertinent verba Theodoreti in Therapeut. II p. 34 : Μανεθὼς τὰ περὶ Ἴσιδος καὶ Ὀσίριδος καὶ Ἄπιδος καὶ Σαράπιδος καὶ τῶν ἄλλων θεῶν τῶν Αἰγυπτίων ἐμυθολόγησε.

75.

Plutarch. De Is. et Osir. c. 9 p. 354, D : Τῶν πολλῶν νομιζόντων ἴδιον παρ' Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν Ἀμοῦν (ὃ παράγοντες ἡμεῖς Ἄμμωνα λέγομεν), Μανεθὼς μὲν ὁ Σεβεννύτης τὸ κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς. Cf. Hecatæi Abderit. fr. 9. Eadem, non nominato Manethone, affert Iamblichus De mysteriis VIII, 3, p. 159. Cf. Champollion. *Gramm. Æg.* p. 269, et Bunsen. I, p. 96 et p. 438 et 560, qui verbum *amn*, i. e. κρύπτειν, in hieroglyphis inveniri docent.

76.

Id. ibid. c. 49, p. 371, C : Βεβῶνα δέ τινες μὲν ἕνα τῶν [τοῦ] Τυφῶνος ἑταίρων γεγονέναι λέγουσιν, Μανεθὼς δ' αὐτὸν τὸν Τυφῶνα καὶ Βέβωνα καλεῖσθαι. Σημαίνει δὲ τοὔνομα κάθεξιν ἢ κώλυσιν, ὡς τοῖς πράγμασιν ὁδῷ βαδίζουσι καὶ πρὸς ὃ χρὴ φερομένοις, ἐνισταμένης τῆς τοῦ Τυφῶνος δυνάμεως.

Etiam ea, quæ de reliquis nominibus Typhonis Plutarchus affert, magnam partem ex eodem Manethone fluxerint. Bunsen. I, p. 97. V. 496 sqq. Cf. Hellanici fr. 140.

77.

Id. ibid. c. 62, p. 376, B : Ἔοικε δὲ τούτοις καὶ τὰ Αἰγύπτια. Τὴν μὲν γὰρ Ἶσιν πολλάκις τῷ τῆς Ἀθηνᾶς ὀνόματι καλοῦσι, φράζοντι τοιοῦτον λόγον, Ἦλθον ἀπ' ἐμαυτῆς· ὅπερ ἐστὶν αὐτοκινήτου φορᾶς δηλωτικόν· ὁ δὲ Τυφὼν, ὥσπερ εἴρηται, Σὴθ καὶ Βέβων καὶ Σμὺ ὀνομάζεται, βίαιόν τινα καὶ κωλυτικὴν ἐπίσχεσιν, ὑπεναντίωσιν ἢ ἀναστροφὴν ἐμφαίνειν βουλομένων τῶν ὀνομάτων. Ἔτι τὴν σιδηρῖτιν λίθον, ὀστέον Ὥρου, Τυ-

LIBER SACER.

74.

Manetho Ægyptius historiam Ægyptiorum universam Græcis literis fuse admodum explicavit, præsertim vero quæ ad ipsorum theologiam pertinebant quum in sacro volumine tum in aliis quibusdam voluminibus comprehendit.

Manetho de Iside et Osiride et Apide et Sarapide deque reliquis Ægyptiorum diis fabulas exposuit.

75.

Plurimis putantibus Amum (quod nos in *Ammonem* mutavimus) proprium apud Ægyptios Jovis nomen esse, Manethos Sebennytes voce hac *occultum* et *occultationem* indicari censet.

76.

Quidam dicunt Bebonem unum de sociis Typhonis fuisse; Manethos Typhoni etiam *Bebonis* nomen factum : voce obstaculum seu impedimentum significante; quod rebus recta incedentibus et ad suum finem tendentibus vis Typhonis obsistat.

77.

His conveniunt etiam Ægyptia. Isidem enim sæpenumero nomine Minervæ significant, quæ vox significat motum a se ipso profectum. Typhon autem, sicut monstratum fuit, *Seth*, *Bebon* et *Smy* appellatur : quibus verbis indicatur violenta quædam inhibitio, contrarietas, aut inversio. Præterea magnetem lapidem ossis Ori, ferrum ossis Typhonis nomine afficiunt, ut Manetho narrat. Sicut enim

φῶνος δὲ τὸν σίδηρον, ὡς ἱστορεῖ Μανεθῶς, καλοῦσιν. Ὥσπερ γὰρ ὁ σίδηρος πολλάκις μὲν ἑλκομένῳ καὶ ἑπομένῳ πρὸς τὴν λίθον ὅμοιός ἐστι, πολλάκις δ' ἀποστρέφεται καὶ ἀποκρούεται πρὸς τοὐναντίον, οὕτως ἡ σωτήριος καὶ ἀγαθὴ καὶ λόγον ἔχουσα τοῦ κόσμου κίνησις ἐπιστρέφεταί τε καὶ προσάγεται καὶ μαλακωτέραν ποιεῖ, πείθουσα τὴν σκληρίαν ἐκείνην καὶ τυφώνιον, εἶτ' αὖθις ἀνασχεθεῖσα εἰς ἑαυτὴν ἀνέστρεψε καὶ κατέδυσεν εἰς τὴν ἀπορίαν. Nomen *Smy* occurrit in *Libro mortuorum* c. 19, col. 5 : *Dies ille justificationis adversus Typhonem ejusque Smy*.

78.

In eodem fortasse opere Manetho narraverit quæ leguntur ap. Plutarch. l. l. c. 28, p. 361, F : Πτολεμαῖος δὲ ὁ Σωτὴρ ὄναρ εἶδε τὸν ἐν Σινώπῃ τοῦ Πλούτωνος κολοσσὸν, οὐκ ἐπιστάμενος, οὐδὲ ἑωρακὼς πρότερον, οἷος [ἦν] τὴν μορφὴν, κελεύοντα κομίσαι τὴν ταχίστην αὐτὸν εἰς Ἀλεξάνδρειαν. Ἀγνοοῦντι δ' αὐτῷ καὶ ἀποροῦντι, ποῦ καθίδρυται, καὶ διηγουμένῳ τοῖς φίλοις τὴν ὄψιν, εὑρέθη πολυπλανὴς ἄνθρωπος, ὄνομα Σωσίβιος, ἐν Σινώπῃ φάμενος ἑωρακέναι τοιοῦτον κολοσσὸν, οἷον ὁ βασιλεὺς ἰδεῖν ἔδοξεν. Ἔπεμψεν οὖν Σωτέλη καὶ Διόνυσον, οἳ χρόνῳ πολλῷ καὶ μόλις, οὐκ ἄνευ μέντοι θείας προνοίας, * ἤγαγον ἐκκλέψαντες. Ἐπεὶ δὲ κομισθεὶς ὤφθη, συμβαλόντες οἱ περὶ Τιμόθεον τὸν ἐξηγητὴν καὶ Μανέθωνα τὸν Σεβεννύτην Πλούτωνος εἶναι ἄγαλμα, τῷ Κερβέρῳ τεκμαιρόμενοι καὶ τῷ δράκοντι, πείθουσι τὸν Πτολεμαῖον, ὡς ἑτέρου θεῶν οὐδενὸς, ἀλλὰ Σαράπιδός ἐστιν. Οὐ γὰρ ἐκεῖθεν οὕτως ὀνομαζόμενος ἧκεν, ἀλλ' εἰς Ἀλεξάνδρειαν κομισθεὶς τὸ παρ' Αἰγυπτίοις ὄνομα τοῦ Πλούτωνος ἐκτήσατο, τὸν Σάραπιν.

De Serapi (i. e. *Osiri-Api*. Plutarch. l. l. c. 29. Athenodorus ap. Clement. Alex. Protr. p. 22. Ὀσαράπις in Papyro Leidensi) v. Bunsen. I, p. 502 sq. Fruinus l. l. p. 149 sqq. De Pontico deo cf. Macrob. I, 20. Quæ nostro fragm. leguntur, paullo aliter narrat Tacitus Hist. IV, 83, unde discimus Timotheum, Atheniensem Eumolpidam, antistitem ceremoniarum, Eleusine a Ptolemæo arcessitum esse. Nisi fallor, idem est cum eo, quem *non ignobilem theologorum virum* dicit Arnobius V, 5, ubi plura ex eo de diis Phrygiis. Eundem laudat Macrob. Sat. I, 17; Steph. B. v. Γάλλος.

79.

Ælian. N. H. X, 16 : Ἀκούω δὲ καὶ Μανέθωνα τὸν Αἰγύπτιον, σοφίας εἰς ἄκρον ἐληλακότα ἄνδρα, εἰπεῖν, ὅτι γάλακτος ὑείου ὁ γευσάμενος ἀλφῶν ὑποπίμπλαται καὶ λέπρας· μισοῦσι δὲ ἄρα οἱ Ἀσιανοὶ πάντες τάδε τὰ πάθη. Πεπιστεύκασι δὲ Αἰγύπτιοι τὴν ὗν καὶ ἡλίῳ καὶ σελήνῃ ἐχθίστην εἶναι· ὅταν δὲ Αἰγύπτιοι πανηγυρίζωσι τῇ σελήνῃ, θύουσι αὐτῇ ἅπαξ τοῦ ἔτους ὗς, ἄλλοτε δὲ οὔτε ἐκείνῃ οὔτε ἄλλῳ τῳ τῶν θεῶν τόδε τὸ ζῷον ἐθέλουσι θύειν, ὡς μυσαρόν.

« Eundem Manethonis locum tractasse videtur Plutarch. Mor. p. 353, F : Ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῷον ἡγοῦνται· ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης, καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας. Consentit Herodot. II, 47, ubi v. Wesseling; at dissentit idem II, 45. » SCHNEIDER. Cf. Bochart. Hieroz. I, p. 699; Bunsen. p. 97. Fortasse aptius hæc referuntur ad opus sequens.

ΤΩΝ ΦΥΣΙΚΩΝ ΕΠΙΤΟΜΗ.

Hunc librum sive amplius ejusdem generis opus innuit Suidas (v. Μανεθώς), Manethonem Φυσιολογικὰ scripsisse dicens.

80.

Diogenes L. Proœm. § 10 : Θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην· τὸν μὲν Ὄσιριν, τὴν δ' Ἶσιν καλουμένην.

---

ferrum sæpe simile est tracti a lapide et eum sequentis, sæpe avertitur in diversam partem, ita motus mundi salutaris, bonus, et ratione constans aliquando versat, ad se ducit et molliorem reddit obsequentem sibi duram illam ac Typhoniam vim : aliquando hæc in se revertitur, et in impotentiam relabitur.

78.

Ptolemæus Soter Plutonis colossum qui Sinopæ erat somnio vidit, quum neque nosset neque vidisset unquam talem, quali forma per quietem imaginatus fuerat se videre, ac juberi eum quamprimum Alexandriam perferre : ignoranti autem et anxie inquirenti ubinam locorum situs esset, amicisque rem narranti, oblatus est Sosibius quidam late vagatus homo, qui Sinopæ a se visum talem colossum diceret, qualem rex imaginatus fuerat : missi itaque Soteles et Dionysus, longo tempore et ægre, neque sine providentia divina, furtim ablatum colossum ad regem pertulerunt : qui ubi conspectus fuit, Timotheus sacrorum antistes, et Manetho Sebennyta a Cerbero et dracone conjecturis ductis collegerunt Plutonis esse simulacrum, Ptolemæoque persuaserunt, non esse alius dei quam Sarapidis. Non enim istinc hoc nomen gerens venerat; sed allatus Alexandriam, Sarapidis nomen, quo Ægyptii Plutonem afficiunt, invenit.

79.

Manethonem Ægyptium, summa sapientia virum, accepi dicere eum qui suillo lacte vescatur, vitiliginibus et lepra oppleri, quos quidem morbos Asiani omnes oderunt. Credunt vero Ægyptii suem et Soli et Lunæ inimicissimum esse animal. Et quando Lunæ festa celebrant, semel ei per annum suem mactant, alias vero neque Lunæ neque alii deo istud animal, utpote impurum, sacrificare volunt.

PHYSICORUM EPITOME.

80.

Deos Ægypti habent solem et lunam; illum Osirim, hanc Isim appellari. Eosque indicari signis scarabæi et serpentis

Αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὥς φησι Μανεθῶς ἐν τῇ τῶν Φυσικῶν Ἐπιτομῇ. Cf. Hecatæi Abderit. fr. 7. Plurima eorum quæ de Ægyptiorum philosophia Diogenes tradit, ex Hecatæo potius quam e Manethone fluxisse, ex comparato Diodoro, Hecatæi sectatore, fit probabile.

81.

Eusebius Pr. E. III, 2 p. 88, A (p. 187 Gsfd.) : Τὴν Ἶσιν φασὶ καὶ τὸν Ὄσιριν τὸν ἥλιον καὶ τὴν σελήνην εἶναι, καὶ Δία μὲν τὸ διὰ πάντων χωροῦν πνεῦμα, Ἥφαιστον δὲ τὸ πῦρ, τὴν δὲ γῆν Δήμητραν ἐπονομάσαι· Ὠκεανόν τε τὸ ὑγρὸν νομίζεσθαι παρ' Αἰγυπτίοις καὶ τὸν παρ' αὐτοῖς ποταμὸν Νεῖλον, ᾧ καὶ τὰς τῶν θεῶν ἀναθεῖναι γενέσεις· τὸν δὲ ἀέρα φασὶν αὐτοὺς προσαγορεύειν Ἀθηνᾶν. Τούτους δὲ τοὺς πέντε θεοὺς, τὸν Ἀέρα λέγω καὶ τὸ Ὕδωρ τό τε Πῦρ καὶ τὴν Γῆν καὶ τὸ Πνεῦμα, πᾶσαν τὴν οἰκουμένην ἐπιπορεύεσθαι, ἄλλοτε ἄλλως εἰς μορφὰς καὶ ἰδέας ἀνθρώπων τε καὶ παντοίων ζώων σχηματιζομένους· καὶ τούτων ὁμωνύμως παρ' αὐτοῖς Αἰγυπτίοις γεγονέναι θνητοὺς ἀνθρώπους, Ἥλιον καὶ Κρόνον καὶ Ῥέαν, ἔτι δὲ καὶ Δία καὶ Ἥραν καὶ Ἥφαιστον καὶ Ἑστίαν ἐπονομασθέντας. Γράφει δὲ καὶ τὰ περὶ τούτων πλατύτερον μὲν ὁ Μάνεθως (sic), ἐπιτετμημένως δὲ ὁ Διόδωρος (Sequitur locus Diodori I, 11 sqq.)

Eusebius sua e Diodoro, Diodorus ex Hecatæo, qui Manethonis erat æqualis. Res h. l. expositæ vereor ne magnam partem a Manethone alienæ fuerint.

ΠΕΡΙ ΕΟΡΤΩΝ.

82.

Jo. Lydus De mens. IV, 55 : Ἰστέον δὲ, ὡς ὁ Μανέθων (sic) ἐν τῷ Περὶ ἑορτῶν λέγει τὴν ἡλιακὴν ἔκλειψιν πονηρὰν ἐπήρειαν ἀνθρώποις ἐπιφέρειν περὶ τῆς τὴν κενὴν (περὶ τὸν κενεῶνα corr. Schow.) καὶ τὸν στόμαχον.

De festis Ægyptiorum præter Manethonem scripsit Nicomachus, quem laudat Athenæus XI, 478, A : Νικόμαχος δ' ἐν πρώτῳ περὶ ἑορτῶν Αἰγυπτίων φησί· « Τὸ δὲ κόνδυ ἐστὶ μὲν Περσικὸν, τὴν δὲ ἀρχὴν, ἣν Ἕρμιππος ὁ ἀστρολογικὸς, ὡς ὁ κόσμος, ἐξ οὗ τῶν θεῶν τὰ θαύματα καὶ τὰ καρπώσιμα γίνεσθαι ἐπὶ γῆς· διὸ ἐκ τούτου σπένδεσθαι. » Locus vix persanandus. Casaubonus conj. : Ἔστι μὲν περσικὸν τὴν ἀρχήν· εἶδος δ' ἔχει, ὥς φησιν Ἕρμ. κτλ. Alii : Τὴν δὲ ἀρχὴν ἣν ὡς ὁ κόσμος, ἐξ οὗ, φησὶν Ἕρμ. κτλ. Idem Nicomachus intelligendus ap. Jo. Lydum De mensib. IV, 46, p. 220 ed. Rœth. : Ἡρακλῆς δὲ ὁ χρόνος παρὰ τῷ Νικομάχῳ εἴρηται, ἀλλὰ μὴν καὶ Ἥλιος, λέγοντι οὕτως· « Ἡρακλῆς μὲν οὖν ὁ τὴν περὶ τὸν ἀέρα κλάσιν τῇ τῶν ὡρῶν περιτροπῇ ποιούμενος, τουτέστι Ἥλιον. Cf. etiam Joan. Lyd. p. 94 (cf. Müller. *Dor.* I, 450). Alius, opinor, Nicomachus fuit Pythagoreus, qui de Pythagora quædam scripsit. V. Iamblich. Vit. Pythag. c. 35, § 252. Simplic. in Aristot. De cœlo p. 123. Nostri Nicomachi nomen fortasse corruptum est in Νίκαρχος ap. Bekker. An. p. 380, 30. Vide Lysimachi fragm. 1.

ΠΕΡΙ ΑΡΧΑΪΣΜΟΥ ΚΑΙ ΕΥΣΕΒΕΙΑΣ.

83.

Porphyr. De abstin. II, 55 (et ex eo Euseb. Pr. E. IV, 16. p. 155, D) : Κατέλυσε δὲ καὶ ἐν Ἡλίου (Εἰληθυίας correx. Fruin.) πόλει τῆς Αἰγύπτου τὸν τῆς ἀνθρωποκτονίας νόμον Ἄμωσις, ὡς μαρτυρεῖ Μανεθὼς ἐν τῷ Περὶ ἀρχαϊσμοῦ καὶ εὐσεβείας. Ἐθύοντο δὲ τῇ Ἥρᾳ· καὶ ἐδοκιμάζοντο καθάπερ οἱ ζητούμενοι καθαροὶ μόσχοι καὶ συσφραγιζόμενοι· ἐθύοντο δὲ τῆς ἡμέρας τρεῖς, ἀνθ' ὧν κηρίνους ἐκέλευσεν ὁ Ἄμωσις τοὺς ἴσους ἀποτίθεσθαι. Cf. Theodoret. Therap. lib. VII, p. 109. Erravit igitur Herodot. II, 45. V. Movers. *Phœniz.* I, p. 42.

---

et accipitris et aliorum, uti tradit Manetho in Physicorum Epitome.

81.

Aiunt Ægyptii Osiridem solem esse, Isidem vero lunam; Jovem spiritum cuncta pervadentem; Vulcanum ignem, terram Cererem, Oceanum humorem ac Nilum apud illos fluvium, cui ipsas quoque deorum procreationes attribuunt; aerem denique Minervam ab iisdem nominari ferunt. Atque hos quinque deos, Aerem videlicet, Aquam, Ignem, Terram ac Spiritum, orbem universum percurrere, varias subinde hominum et omnis generis animalium figuras ac vultus induentes; quorum nomina cum aliquot hominibus morti obnoxiis et in Ægypto natis communicata fuerint, quos utique Solem, Saturnum, Rheam, Jovem, Junonem, Vulcanum Vestamque cognominarunt. Quæ Manethos quidem omnia fusius uberiusque persequitur, summatim vero Diodorus.

DE FESTIS.

82.

Sciendum est Manethonem in libro De festis dicere Solis defectum malum damnum hominibus afferre circa ilia et ventrem.

DE PRISCIS MORIBUS DEQUE PIETATE.

83.

Hominum immolandorum consuetudinem in Ilithyiæ urbe Ægypti urbe sustulit Amosis, uti testatur Manetho in libro, quem De priscis moribus deque pietate scripsit. Immolabantur vero homines Junoni, atque accurate examinabantur uti vituli isti, quos quærebant, puri et sigillo notati. Mactabantur per eundem diem tres, quorum loco cereos jussit Amosis pari numero consecrari.

84.

Id. ibid. p. 380, D : Πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῷα τὴν [τοῦ] Τυφῶνος αὐτοῦ διάρασθαι ψυχὴν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος, ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς [τοῦ] κακοῦ δαίμονος γέγονε μοίρας, κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν· ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ χαλεπὸς αὐχμὸς, ἐπάγων ὑπερβαλλόντως ἢ νόσους ὀλεθρίους ἢ συμφορὰς ἄλλας παραλόγους καὶ ἀλλοκότους, ἔνια τῶν τιμωμένων οἱ ἱερεῖς ἀπάγοντες ὑπὸ σκότους μετὰ σιωπῆς καὶ ἡσυχίας, ἀπειλοῦσι καὶ δεδίττονται τοπρῶτον, ἂν δ' ἐπιμένῃ, καθιεροῦσι καὶ σφάττουσιν, ὡς δή τινα κολασμὸν ὄντα τοῦ δαίμονος τοῦτον, ἢ καθαρμὸν ἄλλως μέγαν ἐπὶ μεγίστοις· καὶ γὰρ ἐν Εἰληθυίας πόλει ζῶντας ἀνθρώπους κατεπίμπρασαν, ὡς Μανεθὼς ἱστόρηκε, Τυφωνίους καλοῦντες, καὶ τὴν τέφραν αὐτῶν λικμῶντες ἠφάνιζον καὶ διέσπειρον. Ἀλλὰ τοῦτο μὲν ἐδρᾶτο φανερῶς καὶ καθ' ἕνα καιρὸν ἐν ταῖς κυνάσιν ἡμέραις· αἱ δὲ τῶν τιμωμένων ζῴων καθιερεύσεις ἀπόῤῥητοι καὶ χρόνοις ἀτάκτοις πρὸς τὰ συμπίπτοντα γινόμεναι, τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι, καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια πάντων παρόντων συνεμβάλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΚΥΦΙΩΝ.

84.

De κῦφι confectione scripsisse Manethonem *Mendesium* sacerdotem testis est Suidas v. Μάνεθως. Verum istum Mendesium a Nostro non esse diversum recte procul dubio statuunt Fabricius et Bernhardy. — E Manethone potissimum hauserit Plutarchus De Is. et Osir. c. 80, p. 383, D :

Τὸ δὲ Κῦφι, μῖγμα μὲν ἑκκαίδεκα γενῶν συντιθεμένων ἐστὶ, μέλιτος καὶ οἴνου καὶ σταφίδος καὶ κυπέρου, ῥητίνης τε καὶ σμύρνης καὶ ἀσπαλάθου καὶ σεσέλεως, ἔτι δὲ σχίνου τε καὶ ἀσφάλτου καὶ θρύου καὶ λαπάθου, πρὸς δὲ τούτοις, ἀρκευθίδων ἀμφοῖν (ὧν τὴν μὲν μείζονα, τὴν δὲ ἐλάττονα καλοῦσι) καὶ καρδαμώμου καὶ καλάμου, κτλ. Cf. idem c. 52; Steph. Thes. v. Κῦφι et Kircherus in Œdip. tom. II, p. II, p. 539.

[ΤΑ ΠΡΟΣ ἩΡΟΔΟΤΟΝ.]

85.

Etym. M. v. Λεοντοχόμος : Τὸ λέων παρὰ τὸ λάω, τὸ θεωρῶ· ὀξυδερκέστατον γὰρ τὸ θηρίον, ὥς φησι Μανέθων ἐν τῷ Πρὸς Ἡρόδοτον· ὅτι οὐδέποτε καθεύδει ὁ λέων, τοῦτο δὲ ἀπίθανον. Eustath. ad Il. Λ, 480 : (Τινὲς λέγουσιν) ὅτι ἐκ τοῦ λάω, τὸ βλέπω, γίνεται ὥσπερ ὁ λέων, οὕτω καὶ ὁ λὶς, κατὰ τὸν γραμματικὸν Ὦρον, ὡς ὀξυδερκής, καὶ ὅτι, ὥς φησι Μανέθων ἐν τοῖς Πρὸς Ἡρόδοτον, οὐ καθεύδει ὁ λέων.

Herodotum utpote falsa de rebus Ægyptiis tradentem sæpius a Manethone reprehensum esse testatur Josephus (v. introduct.). Idque passim in Man. scriptis factum esse. Num præterea peculiare opus de Herodoti erroribus a Manethone conscriptum sit vel sub nomine ejus editum sit sciri nequit. De leonibus fabulosa quædam Herodotus tradit III, 108, ut de hoc loco Manetho disputasse possit existimari.

84.

Porro quum multi dicant ipsam Typhonis animam in has bestias avolasse : fabulæ involucro tegi hoc potest videri, omnem brutam et belluinam naturam malo genio jure deberi, eumque placantes et demulcentes eos ista colere atque venerari. Magno autem æstu incidente ac molesto, qui ultra modum adducat vel pestilentes morbos, vel alias inusitatas calamitates, sacerdotes quædam eorum quæ coluntur animalium abducentes tacite in tenebras, terrent primum ea minis : sin malum duret, immolant atque mactant : tamquam supplicium aliquod genii hoc si esset, aut alias expiatio magni mali magna. Nam et in Ilithyiæ urbe vivos combusserunt homines, ut Manetho scribit, Typhonios appellantes, et cinerem eorum ventilando dissiparunt atque aboleverunt. Verum hoc palam factum est, et certo tempore, diebus canicularibus : consecrationes animalium quæ coluntur occultæ, neque statis fiunt temporibus, et vulgo sunt ignotæ : nisi quod sepulturam Apidis celebrantes, atque illa producentes, quædam omnibus præsentibus una in sepulcrum conjiciunt, existimantes hoc pacto se Typhoni voluptatem percipienti vicissim molestiam objicere, lætitiamque ejus infringere.

DE CYPHIORUM PRÆPARATIONE.

84.

Kyphi porro, mixtura est sedecim rerum in unum compositarum : mellis, vini, uvæ passæ, cyperi, resinæ, myrrhæ, aspalathi, seselis, junci odorati, bituminis, folii ficulni, rumicis, juniperi utriusque (duas enim nominant, majorem ac minorem), cardamomi, et calami.

CONTRA HERODOTUM.

85.

Leo dicitur a voce *lao*, i. e. video; nam visum acutissimum habet animal istud, ut Manetho dicit libro contra Herodotum scripto. Quod autem dicit nunquam dormire leonem, id non est probabile.

CRATERUS MACEDO.

Phlegon (Mir. 32) ex Cratero Antigoni (Gonatæ) regis fratre mirabile quoddam affert de homine qui vitæ anno septimo canus senex, relictis liberis, diem supremum obierit (fr. 18). Cujusnam generis scriptum hoc a Phlegonte laudatum fuerit, ex unico illo fragmento non satis liquet. Neque aliunde de Cratero scriptore qui Antigoni regis frater fuerit, traditum aliquid accepimus. Sin Niebuhrium (*Kl. Schriften* p. 225) audias, frater ille Antigoni idem est Craterus, cujus Περὶ ψηφισμάτων libros vel Ψηφισμάτων συναγωγὴν sæpius grammatici excitant. Hoc quum neque affirmari neque negari possit, in medio nos relinquimus. Opus illud Περὶ ψηφισμάτων satis amplum fuit. Nam præter librum tertium, qui in belli Medici vel in Cimonis temporibus versabatur, laudari videmus librum nonum, ex quo quæ afferuntur ad posteriora tempora belli Peloponnesiaci pertinent. Quodsi igitur auctor eadem ubertate ad suam usque ætatem scribendo progressus est, pergrande opus condidisse debet. Psephismata hæc populi Atheniensium erant. Non omnia tamen neque qualiacunque decreta Craterus collegisse, sed delectum instituisse eorum putandus est, quæ ad historiam reipublicæ Atheniensium, sive administrationem ejus, sive bella et fœdera, sive clarorum fata virorum spectes, momenti alicujus esse poterant. Hæc ordine chronologico auctorem disposuisse, et addidisse quæ intelligentiæ eorum inservirent, sponte intelligitur. Neque vero in his Craterus se continuit. Nam Plutarchus (Aristid. c. 26) postquam ex Cratero nonnulla apposuit de Aristidis condemnatione fatisque postremis, addit : Τούτων δ' οὐδὲν ἔγγραφον ὁ Κράτερος τεκμήριον παρέσχεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. Quibus verbis quum dubium non sit indicari illam ipsam Ψηφισμάτων συναγωγὴν, ex qua idem Plutarchus in Cimonis Vita ἀντίγραφα συνθηκῶν commemorat : eo deducimur, ut Craterum statuamus continuam historiam Atheniensium (non ab antiquissimis inde seculis, opinor, sed inde a Medicorum fere bellorum temporibus) ita contexuisse, ut τὰ ψηφίσματα quasi fundamentum operis constituerent, ab iisque inscriptio ejus repeteretur, deinde vero etiam alia monumenta publica, quæ illustrandæ historiæ essent, verbotenus apponerentur, reliqua denique ex fide historicorum, quos nominatim utplurimum auctor introducebat, supplerentur. — Quantopere jactura ejusmodi operis dolenda sit, non est quod dicam. Nullus vero dubito quin haud pauca de eo comperta haberemus, si rhetorum commentatores quæcunque ex Cratero hauserunt, etiam nomine ejus insignire voluissent. Nam frequentissime illos ad Crateri thesauros accessisse consultantes, vel ex Harpocratione (fr. 8) colligas, qui, allato Demosthenis loco de pictis in Pœcile Platæensibus Marathonomachis, subjungit hæc : Οὐδεὶς τοῦτο εἴρηκεν, οὐδὲ Κράτερος ἐν τῇ τῶν Ψηφισμάτων συναγωγῇ.

Ceterum ad talem monumentorum collectionem tanto majorem judicii severitatem et acumen historicus afferre debet, quanto facilius accidit, ut falsa et supposititia pro veris et genuinis venditentur. Ab eo autem periculo non satis sibi cavisse Craterus videtur. Nam ἀντίγραφα illa συνθηκῶν, quas Cimone auctore Athenienses cum Persarum rege pepigisse dicuntur (fr. 7), nonnisi e spurio monumento describi poterant. Revera exstitisse adulterinum ejusmodi documentum e Theopompo constat. Quare nihil cogit, cur cum Dahlmanno (*Forschungen auf d. Gebiete d. Geschichte* I, p. 90) censeamus Craterum, seri ævi hominem, decreta sua e rhetorum et historicorum scriptis collegisse. Quod deinde ea attinet quæ non ex monumentorum fide sed ex auctoritate historicorum attulit, etiam in his non optimis semper se testibus addixit. Id quod narratione illa de Aristidis morte (fr. 6) satis comprobatur.

ΨΗΦΙΣΜΑΤΩΝ ΣΥΝΑΓΩΓΗ.

E LIBRO TERTIO.

1.

Stephanus Byz. : Καρήνη, πόλις Μυσίας. Ἡρόδοτος ἑβδόμῃ. Τὸ ἐθνικὸν Καρηναῖος, ὡς Κράτερος γ' Περὶ ψηφισμάτων · « Γρυνεῖς, Πιταναῖοι, Καρηναῖοι. » Herodotus VII, 42 Καρίνην (sic; non Καρήνην) memorat in descriptione itineris, quo Xerxes cum exercitu Sardibus Abydum tendit. Crateri quoque locus ad tempora belli Medici pertinuerit. Cf. tamen not. ad fr. 2. Apud Plinium H. N. V, 3, 122 *Carene* recensetur inter urbes quæ interciderint.

DECRETORUM COLLECTIO.

1.

Carene, urbs Mysiæ. Gentile Carenæus, ut Craterus libro tertio De decretis : « Grynenses Pitanæi, Carenæi. »

2.

Idem v. Δῶρος: Ἔστι καὶ Καρίας Δῶρος πόλις, ἣν συγκαταλέγει ταῖς πόλεσι ταῖς Καρικαῖς Κράτερος ἐν τῷ Περὶ ψηφισμάτων γ'· « Καρικὸς φόρος· Δῶρος, Φασελῖται... » Craterus fortasse urbes Græcas Asiæ minoris, quæ tributum Xerxi expeditionem contra Athenienses molienti solverint, recensuit. Objici huic sententiæ possit, quod uberior ejusmodi de rebus Persarum expositio aliena esse videri debeat ab opere, quod in Atheniensium historia se continuisse consentaneum sit. Nescio igitur an rectius fragmenta libri tertii ad Cimonis tempora referantur. Cimon quum urbes Asiæ minoris ad oram maris Ægæi sitas a Persis in suas partes traduxerit, et inter alia a Phaselitis decem talenta acceperit (Plutarch. Cim. 12), deinde post celeberrimam ad Eurymedontem victoriam etiam Chersonesum totam Atheniensibus subjecerit: omnia quæ ex libro tertio Crateri supersunt, percommode ad hæc tempora, et ad recensionem civitatum, quæ Atheniensibus tum tributum pependerint, referri possunt. Quodsi hoc probaveris, fragmenta 5 et 6 de Themistoclis exilio et de morte Aristidis collocanda sunt ante fragmenta libri tertii, cui ipsi vindicandum foret quod fr. 7 de pace Cimonea legitur.

3.

Idem: Τυρέδιζα, πόλις Θράκης μετὰ Σέρριον. Ἑλλάνικος δὲ Τυρόδιζαν αὐτήν φησιν ἐν Περσικῶν δευτέρῳ. Τὸ ἐθνικὸν δεῖ Τυροδιζαῖος, ὡς Γαζαῖος· νῦν δὲ Τυροδιζηνοὶ λέγονται, ὡς Κράτερος ἐν τρίτῳ Περὶ ψηφισμάτων. Tyrodizam in Perinthiorum ditione sitam, Doriscum et Eionem Herodotus VII, 25 narrat ea fuisse Thraciæ loca, quo commeatus exercitui conferri jusserit rex Persarum.

E LIBRO QUARTO.

4.

Harpocration: Ναυτοδίκαι· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. Ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κράτερος γοῦν ἐν τῷ δ' τῶν Ψηφισμάτων φησίν· « Ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς [ἔξεστιν, ἐν τοῖς ναυτοδίκαις· οἷς δὲ] δίκαι εἰσὶ [πρὸς τοὺς ξένους] λαγχάνειν τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. » Ἀριστοφάνης Δαιταλεῦσιν· « Ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην ἐξαίφνης. »

Κράτερος] χάρτερος in duobus codd. — ἐὰν δέ τις ἐ. ἀ. ξένοιν] sic etiam Photius qui eadem habet. Apud Harpocrat. unus codex *A* præbet: ἐὰν δέ τις μὴ ἐξ ἀ. ξ. Suidas s. v. Ναυτοδίκαι ita: ἐὰν δέ τις ἐξ ἀμφοῖν γένοιν — διώκειν εἶναι] εἶναι om. cod. A; διώκειν δεῖ Suidas. — Quæ deinde uncis inclusimus, supplevit Meierus De bon. damn. p. 95. Codices: οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ κτλ.

Cf. de nautodicis Pollux VIII, 126: Οἱ δὲ ναυτοδίκαι ἦσαν οἱ τὰς τῆς ξενίας δίκας εἰσάγοντες. Addit: ὑβριστοδίκαι δὲ ἐκαλοῦντο, εἴ τι χρὴ Κρατέρῳ πιστεύειν τῷ τὰ ψηφίσματα συνάγοντι, οἱ μὴ βουλόμενοι τὰς δίκας εἰσαγαγεῖν· ἐπεπόλασε δὲ τὸ τοιοῦτον ἐν Σικελίᾳ.

Lexic. Rhetor. p. 283, 3: Ναυτοδίκαι ἄρχοντές τινές εἰσι τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργάταις. Eadem etiam Suidas l. l. — Hesychius: Ναυτοδίκαι οἱ περὶ τοῦ ἐμπορίου δικασταί, ἐφ' ὧν καὶ αἱ τῆς ξενίας ἐκρίνοντο δίκαι. Inter rhetores nautodicas unus memorat Lysias Περὶ δημοσ. ἀδικημ. p. 595. Atque ex iis quæ Schœmannus et Meierus in *Attisch. Prozess* p. 84 sq. exponunt, recte colligitur Philippi et Demosthenis temporibus magistratum hunc jam antiquatum et munera ejus (de quibus cf. Fritschius De Aristophan. Dædal. p. 114) thesmothetis demandata esse. Ceterum ab Solone nautodicas jam institutos esse merito in dubium vocat Schœmannus l. l., monens in ea tempora originem eorum referendam esse, quibus emporii Attici commercia adeo jam accreverant, ut ejusmodi magistratus desiderari deberet. Id vero in Solonis ætatem minime cadit. Ex verbis vero fragmenti nostri, ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, patet ad obtinendam civitatem tum satis fuisse, si alter parentum Atheniensis fuit, adeoque institutionem nautodicarum antiquiorem esse lege Periclea quæ jussit μόνους Ἀθηναίους εἶναι τοὺς ἐκ δυοῖν Ἀθηναίων γεγονότας (Plutarch. Per. 37). Jam quum libro tertio Craterus agat aut de belli Medici temporibus aut de Cimonis expeditione Persica,

2.

Dorus etiam Cariæ urbs est, quam inter Caricas urbes recenset Craterus libro tertio De decretis: « Caricum tributum: Dorus, Phaselitæ. »

3.

Tyrediza, Thraciæ urbs post Serrium sita. Hellanicus Rerum Persicarum libro secundo eam Tyrodizam nominat. Gentile Tyrodizæus, similiter ac Gazæus dicitur, esse debebat; dicitur tamen Tyrodizenus, uti apud Craterum libro tertio De decretis.

4

Nautodicæ Athenis magistratus quidam erat, cujus mentionem libro quarto De decretis facit Craterus sic inquiens: « Si quis vero peregrinus ex utroque parente se pro phratore gerat, eum quilibet Atheniensium judicio apud nautodicas persequi potest. Si quis autem contra peregrinos (mercatores) litiget, actionem instituat apud nautodicas ultimo die mensis. »

et libro nono adhuc in temporibus belli Peloponnesiaci versetur, sponte nascitur suspicio institutos nautodicas fuisse vel paucis annis post pugnam Salaminiam, vel brevi post pacem Cimoneam quam dicunt, atque fragmentum nostrum ex eo ipso Crateri operis loco petitum esse, ubi psephisma de creandis nautodicis attulit.

5.

Lexicon Rhetor. ad calc. Photii p. 667,12 : Εἰσαγγελία· κατὰ κοινῶν καὶ ἀγράφων ἀδικημάτων· αὕτη μὲν οὖν ἡ Καικιλίου δόξα. Θεόφραστος δὲ ἐν τῷ τετάρτῳ Περὶ νόμων φησὶ γενέσθαι, ἐάν τις καταλύῃ τὸν δῆμον ῥήτωρ, ἢ μὴ τὰ ἄριστα συμβουλεύῃ [τῷ δήμῳ] χρήματα λαμβάνων, ἢ ἐάν τις προδιδοὺς χωρίον (φρουρίον Phot.) ἢ ναῦς ἢ πεζὴν στρατιὰν, ἢ ἐάν τις εἰς τοὺς πολεμίους ἀφικνῆται [ἄνευ τοῦ πεμφθῆναι παρὰ τοῦ δήμου] ἢ μισθοφορῇ παρ' αὐτοῖς ἢ στρατεύηται μετ' αὐτῶν, ἢ δῶρα λαμβάνῃ [ἐπὶ βλάβῃ τοῦ δήμου]. Συνομολογεῖ δὲ τοῖς ὑπὸ Θεοφράστου (sc. λεγομένοις), ὅτι Θεμιστοκλέα εἰσήγγειλε κατὰ Κράτερον Λεωβότας Ἀλκμαίωνος Ἀγραύληθεν.

Εἰς τοὺς πολεμίους κτλ.] Codex εἰς τ. πολέμους ἀφικνεῖται, ἢ νικοίη παρ' αὐτοῖς... ἢ δῶρα λαμβάνῃ· συνομολογεῖ δὲ τ. ὑ. Θεοφράστου εἴτε Θεμιστοκλέα εἰσαγγέλ. ἢ εἰσήγγειλε κρατερὸς Λεσβώτης κτλ. Emendavit et supplevit Meierus ad h. l., qui « Partem supplementorum, inquit, Polluci VIII, 52 debeo, qui quum etiam ipse sua se ab Theophrasto mutuatum esse profiteatur, alter ex altero grammatico redintegrari potest. Apud Pollucem igitur hæc leguntur : Ἐγίγνοντο δὲ εἰσαγγελίαι κατὰ (ita enim scribendum est, quum in libris καὶ aut ante εἰσαγγελ. aut ante κατὰ interponatur) τῶν καταλυόντων τὸν δῆμον ῥητόρων ἢ μὴ τὰ ἄριστα τῷ δήμῳ λεγόντων, ἢ πρὸς τοὺς πολεμίους ἄνευ τοῦ πεμφθῆναι ἀπελθόντων, ἢ προδόντων φρουρίον ἢ στρατιὰν ἢ ναῦς, ὡς Θεόφραστος ἐν τῷ (scribendum aut ἐν τοῖς, aut ἐν τῷ δ') Περὶ νόμων. Reliqua supplementa semet ipsa tuebuntur; sic ἐπὶ βλάβῃ τοῦ δήμου ex Demosth. Mid. p. 551, 22 adjicienda putavi, quod, etsi Demosthenes De fals. leg. p. 343,9 auctor est lege cautum fuisse ἁπλῶς μηδαμῶς δῶρα λαμβάνειν, ne quis omnino dona acciperet, id quod, si quidem non plane falsus est Demosthenes, ad oratores tantum et legatos pertinuisse videtur (cf. De lit. Attic. p. 353), εἰσαγγελία tamen acceptorum donorum causa vix aliter institui poterat, nisi ea viderentur in perniciem reipublicæ accepta esse. Mox scribendum esse συνομολογεῖ δὲ etc. (v. supra) jam significavi in commentatione De ostracismo. » — Cf. Plutarch. Themist. c. 23 : Ὁ δὲ γραψάμενος αὐτὸν (Themistoclem) Λεωβότης ἦν Ἀλκμαίωνος Ἀγραύληθεν. Alcmæonem, non Alcmæonis filium, inter accusatores Themistoclis nominat Plutarch. in Aristid. c. 25 et in Moral. p. 805, C.

5 a.

Apud Aristophan. Eccles. v. 1089 juvenis qui a duabus simul vetulis ad coitum sollicitatus huc illuc trahitur, ait : Τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον. Scholiasta ad verba κατὰ τὸ Καννώνου notat hæc : Ψήφισμα γεγράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ' εἰσαγγελίαν κρινόμενον· Κράτερος (Κρατῖνος libri) δὲ καὶ πρὸς κλεψύδραν κελεῦσαι· Ξενοφῶν δὲ εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν καὶ τὴν οὐσίαν ἀπολέσαντα.

Pro τὸν κρινόμενον in Aldina est τὸν ἀποκρινόμενον. Hucusque scholiastam exscripsit Suidas v. Εἰσαγγελία. Quæ sequuntur ap. schol. Κρατῖνος δὲ κτλ. non habet codex Ravennates. Κράτερος pro Κρατῖνος reponendum esse suspicatur Dindorfius. Recte procul dubio. Sic etiam apud Harpocrationem v. Ἀρκτεῦσαι Crateri et Cratini nomina confunduntur. — Quis fuerit ille Cannonus non liquet. Psephisma quum ad εἰσαγγελίας pertineat, cum iis quæ sequente fragmento leguntur conjungendum est. De re ita habet Xenophon Hell. I, 7, 20 : Ἴστε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες, ὅτι τὸ Κανώνου (Καννώνου cod. Paris.) ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ· καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα ἐς τὸ βάραθρον ἐμβληθῆναι· τὰ δὲ χρήματα αὐτοῦ δημευθῆναι, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον εἶναι. Hesychius Aristophanis verba respiciens : Καννόνου (sic) ψήφισμα. Εἰσήνεγκε γὰρ οὗτος ψήφισμα, ὥστε διειλημμένους τοὺς κρινομένους ἑκατέρωθεν ἀπολογεῖσθαι. Hæc simplicissime Morus interpretatur dicens cautum fuisse, ut reus causam diceret

5.

Theophrastus libro quarto De legibus ait εἰσαγγελίαν institui si rhetor aliquis statum reip. popularem evertere studeat non optima populo persuadens quod pecunia se corrumpi passus sit, vel si quis castellum vel classem vel pedestrem exercitum prodiderit, vel ad hostes se conferat, populo non jubente, vel mercede ab hostibus conductus militiam cum iis faciat, vel si quis dona in reip. damnum recipiat. Consentit cum his quod in Themistoclem εἰσαγγελίας actionem instituit, Cratero teste, Leobatas Alcmæonis filius ex Agraulo demo.

5 a.

Cannonus decretum scripserat, ut utrimque prehensus se purgaret qui εἰσαγγελίας judicio teneretur. Craterus etiam addit jussisse eum ut orationes reorum ad clepsydram fierent. Xenophon denique dicit condemnatos ex hoc decreto in barathrum dejici et bona eorum publicari.

prehensus, hoc est, adstantibus utrimque, qui manus vel ei injicere minarentur, vel vinctum tenerent. Qui sensus ad Aristophanis verba transferri commode potest, neque aliam explicationem admittunt verba scholiastæ κατεχόμενον ἑκατέρωθεν. Contra Brunckius et Schneiderus ad Xenoph. l. l. ita statuunt. Juvenem apud Aristophanem, aiunt, significare rem ita transigendam esse ex decreto Cannoni, ut utrique mulieri separatim morigeretur. Cannoni nempe decreto cautum fuisse, ut singulorum seorsim causa cognosceretur, si plures simul ejusdem criminis accusarentur. Scholiastam a sensu decreti aberrasse, aut verba ejus vitiata esse. Docere hoc locum Hesychii, qui ipsa verba decreti servasset, ut ex vocabulo διειλημμένους cognoscatur, quod etiam Comicus exhibeat. [Ex comico etiam Hesychius sumere potuit.] Hesychium præterea recte monere de pluribus simul accusatis loqui decretum; male contra unum reum nominare scholiasten et verbum διειλημμένον pessime explicare κατεχόμενον; nam alterum verbum ἑκατέρωθεν in ipso decreto fuisse videri [quonam sensu?] ideoque retentum ab Hesychio. Recte Xenophontem infra § 37 explicare διειλημμένους κρίνεσθαι per κρίνεσθαι δίχα ἕκαστον. Igitur sancitum fuisse decreto, ut si quis τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, ejusmodi reus vinctus in judicium duceretur, ibique causam diceret: ut, si forte plures ejusdem criminis publici rei agerentur, non omnes simul judicarentur, sed singuli suam quisque causam dicerent. Hæc Schneiderus, cujus sententia uno fulcro nititur verbis Xenophontis I, 7, 34, ubi post recitatam Euryptolemi accusationem pergit scriptor: Τοῦτ' εἰπὼν Εὐρυπτόλεμος, ἔγραψε γνώμην κατὰ τὸ Καννώνου ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας, δίχα ἕκαστον· ἡ δὲ τῆς βουλῆς ἦν, μιᾷ ψήφῳ ἅπαντας κρίνειν. At vero Cannoni decretum h. l. non ita memorat, ut hujus auctoritate δίχα ἕκαστον κρίνεσθαι significet: sed quoniam orator initio orationis suæ dixerat se quidem postulare, ut duces illi judicentur ex Cannoni decreto (quod supra Xenophontis verbis dedimus), neque tamen se refragari, si qui mallent judicari illos ex ea lege, quæ de sacrilegis et proditoribus lata sit, ex qua condemnati extra Atticam sepeliendi et bona eorum publicanda sint: propterea Euryptolemus rogationem deinceps scribens expresse memoravit se ex Cannoni decreto (non ex lege proditorum) cum reis agendum esse censere. Quod vero addit δίχα ἕκαστον, non psephismatis jussu, sed e sua sententia addit. Nam etiam e lege proditorum καθ' ἕνα ἕκαστον κρίνεσθαι voluit. Hanc sententiam, non ψηφίσματος jussum senatus impugnavit, et impugnare poterat. Ita enim § 23 ait: Τούτων (sc. τῶν νόμων, τοῦ ἐπὶ ἱεροσύλοις καὶ προδόταις et τοῦ ἐκ Καννώνου ψηφίσματος) ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθωσαν οἱ ἄνδρες καθ' ἕνα ἕκαστον. Igitur nihil ego video cur verba scholiastæ corrupta esse vel ipsum scholiastam errasse censeamus.

6.

Plutarchus Aristid. c. 26: Τελευτῆσαι δ' Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ φασὶν ἐκπλεύσαντα πράξεων ἕνεκα δημοσίων, οἱ δ' Ἀθήνησι γήρᾳ τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. Κράτερος δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. Μετὰ γὰρ τὴν Θεμιστοκλέους φυγήν φησιν ὥσπερ ἐξυβρίσαντα τὸν δῆμον ἀναφῦσαι πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρομένων ὑπ' εὐτυχίας καὶ δυνάμεως. Ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας, Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς φόρους ἔπραττε, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος, ἐκτῖσαι δ' οὐκ ἔχοντα τὴν καταδίκην πεντήκοντα μνῶν οὖσαν ἐκπλεῦσαι καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. Τούτων οὐδὲν ἔγγραφον ὁ Κράτερος τεκμήριον παρέσχεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. Οἱ δ' ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν, ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ στρατηγοὺς διεξίασι, τὴν μὲν Θεμιστοκλέους φυγὴν καὶ τὰ Μιλτιάδου δεσμὰ καὶ τὴν Περικλέους ζημίαν καὶ τὸν Πάχητος ἐν τῷ δικαστηρίῳ θάνατον ἀνελόντος αὑτὸν ἐπὶ τοῦ βήματος, ὡς ἡλίσκετο, καὶ πολλὰ τοιαῦτα συνάγουσι καὶ θρυλοῦσιν, Ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι. In rationes hujus

6.

